G R.
415

[illegible]
[illegible]
[illegible]
[illegible]

[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]

**415.** Concilium Chalcedonense (1); — Concilium Sardicense (126 v°); — Concilium Carthaginiense IV. (137); — Cyrilli epistolæ ad Nestorium (208) — et ad Joannem Antiochenum (211 v°).
XIII s. Parch. 216 fol. (Delamare.-Reg. 2041, 2.) M.

415.

Volume de 216 Feuillets
Les feuillets 118–120 sont mutilés
21 janvier 1884.

Ὅρος ἐκτεθεὶς παρὰ τῆς οἰκουμενι
κῆς συνόδου τῆς ἐν Χαλκηδόνι· κατὰ
τῶν ἀσεβεστάτων Εὐτυχιανιστῶν·
καὶ κατὰ τῶν ἄλλων πλείστων αἱρέσεων·
καὶ κατὰ μεγορίου τοῦ φρεμουχαιδους·
Ἡ ἁγία καὶ οἰκουμενικὴ καὶ μεγάλη σύ
νοδος· ἡ κατὰ Θ(εο)ῦ χάριν καὶ θέσπισμα
τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων
ἡμῶν βασιλέων· Οὐαλεντινιανοῦ
καὶ Μαρκιανοῦ· συναχθεῖσα ἐν τῇ
Χαλκηδονέων μητροπόλει τῆς Βι
θυνῶν ἐπαρχίας· ἐν τῷ μαρτυρεί
ῳ τῆς ἁγίας καὶ καλλινίκου μάρτυρος
Εὐφημίας· ὥρισε τὰ ὑποτεταγ
μένα· ὁ Κ(ύριο)ς ἡμῶν καὶ σ(ωτ)ὴρ Χ(ριστό)ς τῆς
πίστεως τὴν γνῶσιν τοῖς μαθηταῖς
βεβαιῶν, ἔφη· εἰρήνην τὴν ἐμὴν
δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμὴν ἀφί
ημι ὑμῖν· ὥστε μηδένα πρὸς τὸν
πλησίον διαφωνεῖν ἐν τοῖς δόγμασι
τῆς εὐσεβείας· ἀλλ' ἐπίσης τὸ τῆς
ἀληθείας ἐπιδείκνυσθαι κήρυγμα·
ἐπειδὴ δὲ οὐ παύεται διὰ τῶν ἑαυτοῦ
ζιζανίων ὁ πονηρὸς τοῖς τῆς εὐσε
βείας ἐπιφυόμενος σπέρμασι· καί
τι καινὸν κατὰ τῆς ἀληθείας ἐφευ

De la Mare. 570. Reg. 2041. 2.

-ρίσκομαι ἀεί. διὰ τοῦτο συνήθως ὁ δεσπό-
-της προνοούμενος τοῦ ἀνθρωπείου γέ-
-νους, τὸν εὐσεβῆ τοῦτον καὶ πιστὸν
πρὸς ζῆλον ἀνέστησε βασιλέα· καὶ τοὺς
πανταχῇ τῆς ἱερωσύνης πρὸς ἑαυτὸν
ἀρχηγοὺς συνεκάλεσεν· ὥστε τῆς χά-
-ριτος τοῦ πάντων ἡμῶν δεσπότου Χριστοῦ
ἐνεργούσης. πᾶσαν μὲν τοῦ ψεύδους
τῆς τοῦ Χριστοῦ ποίμνης ἀποσείσασθαι λύ-
-μην, ταῖς δὲ τῆς ἀληθείας αὐτὴν καταπια-
-πιαίνειν βλαστήμασιν· ὃ δὴ καὶ πεποιή-
-καμεν κοινῇ ψήφῳ τὰ τῆς πλάνης ἀ-
-πελάσαντες δόγματα, τὴν δὲ ἀπλανῆ
τῶν πατέρων ἀνανεωσάμενοι πίστιν· τό,
-τε τῶν τριακοσίων δέκα ὀκτὼ σύμβο-
-λον τοῖς πᾶσι κηρύξαντες· καὶ ὡς οἰκεί-
-ους τοὺς τοῦτο τὸ σύνθημα τῆς εὐσεβεί-
-ας δεξαμένους πατέρας ἐπιγραψάμενοι
οἵπερ εἰσὶν οἱ μετὰ ταῦτα ἐν τῇ μεγά-
-λῃ Κωνσταντινουπόλει συνελθόντες
ἑκατὸν πεντήκοντα· καὶ αὐτοὶ τὴν
αὐτὴν ἐπισφραγισάμενοι πίστιν· ὁρίζο-
-μεν τοίνυν τὴν τάξιν· καὶ τοὺς περὶ τῆς
πίστεως ἅπαντας τύπους φυλάττον-
-τες τῆς κατ' Ἔφεσον πάλαι γεγενημένης
ἁγίας συνόδου· ἧς ἡγεμόνες οἱ ἁγιώτατοι
τὴν μνήμην· Κελεστῖνος ὁ τῆς Ῥωμαίων.

καὶ Κύριλλος ὁ τῆς Ἀλεξανδρέων ἐπιτυ-
χών· προλάμπειν μὲν τῆς ὀρθῆς καὶ
ἀμωμήτου πίστεως· τὴν ἔκθεσιν τῶν
τριακοσίων δεκαοκτὼ ἁγίων καὶ μακα-
ρίων πατέρων τῶν ἐν Νικαίᾳ· ὑπὸ τοῦ
τῆς εὐσεβοῦς μνήμης Κωνσταντίνου
βασιλέως συναχθέντων· κρατεῖν δὲ
καὶ τὰ παρὰ τῶν ἑκατὸν πεντήκοντα
ἁγίων πατέρων ὁρισθέντα πρὸς ἀν-
αίρεσιν τῶν τότε φυεισῶν αἱρέσεων· βε-
βαίωσιν δὲ τῆς αὐτῆς καθολικῆς [illegible]
πίστεως:

ἔκθεσις τῆς [illegible]

ἔκθεσις πίστεως

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκρά-
τορα· πάντων ὁρατῶν τε καὶ ἀοράτων
ποιητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν
τοῦ θεοῦ τὸν μονογενῆ· γεννηθέντα ἐκ
τοῦ πατρὸς μονογενῆ· τουτέστιν ἐκ τῆς οὐ-
σίας τοῦ πατρός· θεὸν ἐκ θεοῦ· φῶς ἐκ φωτός·
θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ· γεννηθέν-
τα οὐ ποιηθέντα· ὁμοούσιον τῷ πατρί·
δι᾽ οὗ τὰ πάντα ἐγένετο· τά τε ἐν τοῖς
οὐρανοῖς καὶ ἐν τῇ γῇ· τὸν δι᾽ ἡμᾶς τοὺς
ἀνθρώπους· καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν·
κατελθόντα καὶ σαρκωθέντα καὶ ἐναν-
θρωπήσαντα· παθόντα καὶ ἀναστάν-
τα τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀνελθόντα εἰς

τοὺς οὐρανούς· καὶ ἐρχόμενον κρῖναι
ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ ἅγιον
πνεῦμα· τοὺς δὲ λέγοντας· ὅτι ἦν ποτὲ
ὅτε οὐκ ἦν· καὶ πρὶν γεννηθῆναι οὐκ ἦν·
καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο ἢ ἐξ ἑτέρας
ὑποστάσεως· ἢ οὐσίας φάσκοντας
εἶναι τρεπτὸν ἢ ἀλλοιωτὸν τὸν υἱόν·
τούτους ἀναθεματίζει ἡ ἁγία καθο-
λικὴ καὶ ἀποστολικὴ ἐκκλησία·

ἔκθεσις τῶν ρν πατέρων

(margin: ἔκ τῶν ρν ἐκθέσις πατ.)

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκρά-
τορα, ποιητὴν οὐρανοῦ καὶ γῆς· ὁρατῶν
τε πάντων καὶ ἀοράτων· καὶ εἰς ἕνα
κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ.
τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάν-
των τῶν αἰώνων· φῶς ἐκ φωτός· θεὸν
ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ· γεννηθέντα
οὐ ποιηθέντα· ὁμοούσιον τῷ πατρί· δι' οὗ
τὰ πάντα ἐγένετο· τὸν δι' ἡμᾶς τοὺς
ἀνθρώπους· καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν· κα-
τελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέν-
τα ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθέ-
νου καὶ ἐνανθρωπήσαντα· σταυρωθέν-
τα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου·
καὶ παθόντα· καὶ ταφέντα καὶ ἀνα-
στάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γρα-
φάς· καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς· καὶ

καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρός· καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς· οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ κύριον καὶ ζωοποιόν· τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον· τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον· τὸ λαλῆσαν διὰ τῶν προφητῶν· εἰς μίαν ἁγίαν καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν· ὁμολογοῦμεν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· προσδοκῶμεν ἀνάστασιν νεκρῶν· καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος ἀμήν:–

Ἤρκει μὲν οὖν εἰς ἐντελῆ τῆς εὐσεβείας ἐπίγνωσίν τε καὶ βεβαίωσιν· τὸ σοφὸν καὶ σωτήριον τοῦτο τῆς θείας χάριτος σύμβολον· περί τε γὰρ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ἐκδιδάσκει τὸ τέλειον· καὶ τοῦ κυρίου τὴν ἐνανθρώπησιν, τοῖς πιστῶς δεχομένοις παρίστησιν· ἀλλ' ἐπειδήπερ οἱ τῆς ἀληθείας ἀθετεῖν ἐπιχειροῦντες τὸ κήρυγμα διὰ τῶν οἰκείων αἱρέσεων τὰς κενοφωνίας ἀπέτεκον· οἱ μὲν τὸ τῆς δι' ἡμᾶς τοῦ κυρίου οἰκονομίας μυστήριον παραφθείρειν τολμῶντες· καὶ τὴν θεοτόκον ἐπὶ τῆς παρθένου φωνὴν ἀ-

παρνούμενοι· οἱ δὲ, σύγχυσιν καὶ κρᾶ-
σιν εἰσάγοντες· καὶ μίαν εἶναι φύσιν
τῆς σαρκὸς καὶ τῆς θεότητος ἀναπλατ-
τοντες· καὶ παθητὴν τὴν τοῦ μονογε-
νοῦς τὴν θείαν φύσιν τῇ συγχύσει τερα-
τευόμενοι· διὰ τοῦτο πᾶσαν αὐτοῖς
ἀποκλεῖσαι κατὰ τῆς ἀληθείας μηχανὴν
βουλομένη ἡ παροῦσα νῦν αὕτη ἁγία
καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος·
τὸ τοῦ κηρύγματος ἄνωθεν ἀσάλευτον
ἐκδιδάσκουσα· ὥρισε προηγουμένως.
τὴν τῶν τριακοσίων δεκαοκτὼ ἁγίων
πατέρων πίστιν μένειν ἀπαρεγχείρητον·
καὶ διὰ μὲν τοὺς τῷ ἁγίῳ πνεύματι μαχομέ-
νους· τὴν χρόνοις ὕστερον παρὰ τῶν
ἐπὶ τῆς βασιλευούσης πόλεως ἑκατὸν
πεντήκοντα συνελθόντων πατέρων·
περὶ τῆς τοῦ πνεύματος οὐσίας παραδοθεῖ-
σαν διδασκαλίαν κυροῖ· ἣν ἐκεῖνοι πᾶ-
σιν ἐγνώρισαν· οὐχ ὥς τι λεῖπον τοῖς
προλαβοῦσιν ἐπεισάγοντες· ἀλλὰ τὴν
περὶ τοῦ ἁγίου πνεύματος αὐτῶν ἔννοιαν
κατὰ τῶν τὴν αὐτοῦ δεσποτείαν ἀθε-
τεῖν πειρωμένων· γραφικαῖς μαρτυ-
ρίαις τρανώσαντες· διὰ δὲ τοὺς τὸ τῆς
οἰκονομίας παραφθείρειν ἐπιχειροῦντας
μυστήριον· καὶ ψιλὸν ἄνθρωπον εἶναι τὸν ἐκ

εἶπεν· ἐμάθομεν ὡς διὰ τῶν δεήσε-
ων ἀμεδίδαξεν ὁ εὐλαβέστατος Εὐτυχής·
πράξεις ὑπομνημάτων ἐντετυχη-
κέναι· κἀκεῖθεν τὰς αἰτίας τῶν αὐτῶν
προσόντων δικαιολογιῶν εὑρηκέναι
ταύτην τὴν πρᾶξιν ἀξιοῦμεν οὖν λεγόν-
τος· ὁ μεγαλοπρεπέστατος πατρί-
κιος εἶπε· διὰ τοῦτο συγκρίνεσθαι τοῖς
αὐθεντικοῖς ὑπομνήμασι τὰ ἀντί-
γραφα εἴπομεν· Ἀέτιος διάκονος
καὶ νοτάριος εἶπεν· ἀξιοῦμεν μαθεῖν
πρότερον αὐθεντικά ἐστιν ἢ ἀντίγρα-
φα· ἢ τί τοιοῦτον παρά τινος αὐτῶν π-
ρεχέθη· ὁ μεγαλοπρεπέστατος πατρί-
κιος εἶπεν· ὁ εὐλαβέστατος Κωνστάν- αὐθεντικὰ ἢ ἀντίγραφα.
τιος· εἰ αὐτὸ προφέρει ἀντίγραφα εἰσὶν
ἢ αὐθεντικὰ διδάξει· Κωνστάντιος
διάκονος καὶ μονάζων εἶπεν· ἴσα ἐστίν·
ὁ μεγαλοπρεπέστατος πατρίκιος εἶ-
πε· μὴ οὖν ἡ ἀνάγνωσις παρακολουθήσει·
καὶ πρὶν ἀναγνωσθῆναι· Ἀέτιος διά-
κονος καὶ νοτάριος εἶπεν· ἀξιοῦμεν
ἐντυχεῖν τῇ πράξει τῶν ὑπομνημά-
των τῇ παρ' αὐτῶν προκομισθείσῃ·
ἵνα γνωρίσωμεν τίνος χειρός ἐστι καὶ πα-
ρὰ τίνος δέδοται ἢ ἐκδέδοται παρὰ νο-
ταρίου δόξασθαι τὰς ἡμετέρας αἰτήσεις

οὐκ ἀπὸ τοῦ ἴσου οὔσας· ὁ μεγαλοπρε-
πέστατος πατρίκιος εἶπεν· εἰ τοῖς
αὐθεντικοῖς ὑπομνήμασι τὰ ἀντί-
γραφα οὐ συμφωνοῖσι τοῦτο τότε
ἀξίως ἐπιζητηθείη· Ἀέτιος διάκο-
νος καὶ νοτάριος εἶπεν· οὐδὲν κωλύ-
ει ἀεὶ ἐδικάσατε. καὶ δικάζοντες διε-
λάμψατε· ὁ μεγαλοπρεπέστατος πα-
τρίκιος εἶπε· τῶν περὶ τῶν ἐκτεθέν-
των ἡ ἀνάγνωσις γινέσθω· καὶ διὰ
ἀστερίου τοῦ καθωσιωμένου σκέ-
πτορος τὸ αὐθεντικὸν χιδάριον·
τὸ ἀπὸ τῶν νοταρίων προενεχθὲν
ἀλλ' οὐ τὰ ἀντίγραφα· ἅπερ ἦσαν ἐκ τοῦ
μέρους εὐτυχοῦς τοῦ εὐλαβεστάτου
ἀρχιμανδρίτου προσενεχθέντα
συγκρινόμενα πρὸς ἀνεγνώσθησαν· καὶ
ἀνεγνώσθη ἐξ ἀρχῆς ἡ πρώτη καὶ ἡ
δευτέρα πρᾶξις· ἥτις καὶ ἐν τοῖς
ὑπομνήμασιν ἐμφέρεται οὕτως·
ὑπατείας φλαυϊανοῦ ζήνωνος καὶ
πουστουμιανοῦ τῶν λαμπροτάτων
τῇ πρὸ ἓξ εἰδῶν νοεμβρίων· ἐν τῇ φιλο-
χρίστῳ καὶ βασιλευούσῃ κωνσταντινου-
πόλει ῥώμῃ. καὶ τὰ λοιπά· καὶ μετὰ
τὸ ἀναγνωσθῆναι τὴν πρώτην καὶ
τὴν δευτέραν πρᾶξιν· καὶ πληρωθῆ-

μαι τὰς καθαιρέσεις τῶν εὐλαβεστάτων
ἐπισκόπων· Ἀέτιος διάκονος καὶ
νοτάριος εἶπεν· ἀξιοῦμεν τὴν ἁγί-
αν καὶ μεγάλην σύνοδον· ἐρωτηθῆ-
ναι ἀκούσασαν τῶν ἰδίων φωνῶν
καὶ τῆς πράξεως τῶν ὑπομνημά-
των· μή τι παραπεποίηται ἢ παρα-
πέφθαρται· ὁ μεγαλοπρεπέστατος
πατρίκιος εἶπεν· ἐν ὅσῳ σιωπῶ-
σι· συγκατατίθεσθαι φέρονται· ὅθεν
καὶ δὴ τὰ λοιπὰ ἀναγινωσκέσθω·
καὶ διὰ τοῦ καθωσιωμένου ἐξσκέ-
πτορος ἀνεγνώσθη ἡ τρίτη πρᾶξις
καὶ ἐμφέρεται ἐν τοῖς ὑπομνήμασι·
καὶ ἀναγινωσκομένης τῆς καθαιρέ-
σεως τοῦ εὐλαβεστάτου πρεσβυτέρου
καὶ ἐκδίκου Ἰωάννου· Κωνσταντῖνος
διάκονος καὶ μοναχὸς εἶπεν· οὗτος
οὐκ ἐλέχθη τῶν ποδῶν ὑμῶν· ὡς δὲ
ὁ αὐτὸς καθωσιωμένος ἐξσκέπτωρ
ἐπαναληφθείσης τῆς ἀναγνώσεως
ἀνέγνω· εἰ δέ που τύχοι παρ᾽ αὐτῶν ἐν
τισὶ λόξεσι μὴ διασφαλθὲν ἢ διαπλα-
νηθέν· τοῦτο μήτε διαμάχειν μήτε
καταδέχεσθαι· μόνας δὲ τὰς γραφὰς
ἐρευνᾶν· ὡς βεβαιοτέρας οὔσας τῆς
τῶν πρώην ἐκθέσεως· καὶ ὁπότε

ἀνεγνώσθη. Κωνσταντῖνος ὁ εὐλαβέ-
στατος διάκονος καὶ μοναχὸς εἶπεν·
ὅτι διαφόρως μὲν ἐλάλησαν οἱ ἅγιοι πα-
τέρες· καὶ πάντα δέχομαι· εἰς κανό-
να δὲ πίστεως οὐ δέχομαι· καὶ ὁπότε
σχισμὸς καὶ θόρυβος ἀνεφύη·· Κων-
σταντῖνος ὁ εὐλαβέστατος διάκονος
καὶ μονάζων εἶπε· τοῦτο παρακαλῶ
ὥστε τοὺς ἐξελθόντας καὶ ἀκούσαν-
τας παρὰ τοῦ ἀρχιμανδρίτου μετὰ
τοῦ συνειδότος ὡς ἐπὶ τοῦ Χ(ριστο)ῦ ἃ ἤ-
κουσαν μετὰ ἀληθείας εἴπωσι· πρὸ
κρίματος μὴ γινομένου τῷ ἀρχιμαν-
δρίτῃ ἐκ τῆς ἐμῆς καταθέσεως·
ἀξιῶ τοὺς παραγενομένους εὐλα-
βεστάτους κληρικοὺς καταθέσθαι ἅ-
περ ἤκουσαν παρ' αὐτοῦ καὶ τὸν εὐλα-
βέστατον διάκονον Ἀθανάσιον· Σέ-
λευκος ὁ εὐλαβέστατος ἐπίσκοπος
εἶπε· πρὸ τῆς καταθέσεως τοῦ ἀδελ-
φοῦ Κωνσταντίνου· οἱ εἰς πρόσωπον
ἀποσταλέντες τοῦ τὰς δεήσεις προσα-
νατείναντος ὑπέσχοντο πάντα ἃ ἂν
αὐτοὶ εἴπωσι· στοιχεῖν τὸν ἀρχιμανδρί-
την αὐτῶν· καὶ ἀξιοῦμεν τὴν ἐπὶ τῷ
προκρίματι φωνὴν πρὸ κρίματι τῇ πρά-
ξει τῶν ὑπομνημάτων μὴ ποιεῖν·

κωνσταντῖνος διάκονος καὶ μονάζων
εἶπεν· ἀξιῶ ἐκεῖνον περιαιρεθῆναι τὸ
εἰς τὸν κανόνα τῆς πίστεως· ὅπερ ἐν
θορύβῳ μὴ εἰδὼς ἐλάλησα· σέλευκος
ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ὅτι ἡσυ-
χίας οὔσης πρὸ τοῦ θορύβου ταύτην
τὴν φωνὴν ὁ ἀδελφὸς κωνσταντῖνος
κατέθετο· μαρτυροῦσι καὶ οἱ ἁγιώτα-
τοι ἐπίσκοποι. καὶ ἡ ὑμῶν ἐξουσία·
ὁ μεγαλοπρεπέστατος πατρίκιος
εἶπε· περὶ τῆς αἰτίας ἕως ἑκατέρου
μέρους τί σκεπτέον δοκιμάζουσιν οἱ
εὐλαβέστατοι ἐπίσκοποι· θαλάσσιος
καὶ εὐσέβιος καταξιώσουσιν εἰπεῖν·
ὁ εὐλαβέστατος ἐπίσκοπος θαλάσσιος
εἶπεν· οὐ δύναται ὁ ἀποσφαλεὶς παρὰ
τοῦ εὐλαβεστάτου μοναχοῦ· τινὰ μὲν
ὧν κατατίθεται αὐτὸς τῇ ἰδίᾳ φωνῇ
καταδέχεσθαι· τινὰ δὲ μὴ καταδέχε-
σθαι· ὁ εὐλαβέστατος ἐπίσκοπος εὐ-
σέβιος τῆς ἀγκυρανῶν πόλεως εἶπε·
καὶ ἐμοὶ ταὐτὸ σύμφωνον δοκεῖ· ὥστε τὸ
τὸ πρόσωπον ἀναδεξάμενον τοῦ
εὐλαβεστάτου ἀρχιμανδρίτου εὐτυχοῦς·
πάντα κύρια ἡγεῖσθαι τὰ παρὰ τῆς
ἑαυτοῦ φωνῆς εἰρημένα· καὶ μὴ μέρος
μὲν βούλεσθαι κρατεῖν· μέρος δὲ

θέλειν τῶν μὲν εἰρημένων ἀνατρέπε-
σθαι· ὁ μεγαλοπρεπέστατος πα-
τρίκιος εἶπεν· ὁ εὐλαβέστατος ἰω-
άννης ὁ πρεσβύτερος· καὶ ἀνδρέ-
ας ἅπερ ἀναγινώσκουσιν ἑαυτοῖς·
παρὰ εὐτυχοῦς τοῦ εὐλαβεστάτου
μοναχοῦ ἀκηκοέναι μεμνημένοι
τῆς ἰδίας ὑπολήψεως καταθῶνται·
καὶ ὅποτε εἰς μέσον ἔλθωσιν· ἰωάν-
νης ὁ εὐλαβέστατος πρεσβύτερος·
καὶ ἔκδικος τῆς ἁγίας ἐκκλησίας·
ταύτης τῆς ἐνδόξου πόλεως· καὶ
ἀνδρέας ὁ εὐλαβέστατος διάκονος·
κωνσταντῖνος διάκονος εἶπον·
οὐκ εἴπομεν ὅτι στοιχεῖ πάντα τοῖς
ἀρχιμανδρίτῃ ὅσα λέγω· ὁ μεγαλο-
πρεπέστατος πατρίκιος εἶπεν·
αἱ φωναὶ σου ἐν τοῖς ὑπομνήμασι
περιέχονται· σέλευκος ὁ εὐλαβέστα-
τος ἐπίσκοπος εἶπεν· φθάσας
ὁ μεγαλοπρεπέστατος ῥεφερενδά-
ριος ὡς ἀπὸ τοῦ εὐσεβεστάτου καὶ
φιλοχρίστου βασιλέως ἡμῶν· κατέ-
θετο εἰς πρόσωπον τοῦ ἀρχιμαν-
δρίτου εὐτυχοῦς· ἀπεσταλθαι κων-
σταντῖνον καὶ τοὺς σὺν αὐτῷ ὀφεί-
λοντας ἀναδέξασθαι τὰ εἰς αὐτὸν

ἀναφερόμενα· ὁ μεγαλοπρεπέ-
στατος πατρίκιος εἶπε· τὰ ῥήματα τ
ὡσαύτως τὰ σὰ τοῖς ὑπομνήμα-
σι περιέχονται· καὶ προσέθηκεν· ὁ
εὐλαβέστατος πρεσβύτερος ἰωάν-
νης τί μαι παρὰ εὐτυχοῦς τοῦ μονα-
χοῦ ἤκουσεν ἐκθῆται· καὶ περὶ μὴ κα-
ταθέσθαι· μελίφθογγος ὁ εὐλαβέστα-
τος ἐπίσκοπος εἶπεν· ἐκ προμηθεί-
ας τιμὸς παρὰ τὰς ἀρχὰς εὐθὺ τῆς
κατηγορίας ἐμιγάμενος ἐμνημό-
νευσας· καὶ εἶπον· ὅτι οὐ περὶ τῶν τυ-
χόντων ἡ κατηγορία γίνεται· οὔτε δὴ
ἐν πολέως τὸ τοιοῦτον ἐπικίνδυνον
πρᾶγμα δοκιμάζεται· ἢ ὀφείλει γενέ-
σθαι· ἀλλὰ χρήζομεν τῆς παρουσί-
ας τοῦ κατηγορουμένου· τούτων καὶ
τοῦ νόμου βουλομένων· εἰ δὲ ἄρα πα-
ρίσταται τῷ εὐσεβεστάτῳ βασιλεῖ δι' ἐν
πολέως ἐγκληματικὴν συμφάζεσθαι
δίκην· καὶ κατηγορεῖν ἀκινδύνως·
καὶ παραφαίη· τοῦτο ὁρισθείη ἂν
τῶν· καὶ ἀνάγκη ἡμᾶς εἶξαι φιλοχρίστῳ
βασιλεῖ πάντα κελεύοντι· ὁ εὐλαβέ-
στατος ἐπίσκοπος βασίλειος σελευ-
κείας εἶπε· βεβαιωθέντων τῶν πρα-
χθέντων καὶ τήμερον ἐκ τῆς κατα-

θεοσεβῶς τοῦ μεγαλοπρεπεστάτου ῥε-
φερενδαρίου· καὶ τῆς συναινέσεως
τῶν ἁγιωτάτων ἐπισκόπων· καὶ
τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξο-
τάτου ἀπὸ ὑπάτων καὶ πατρικίου
Φλωρεντίου. κατατιθέαθωσαν καὶ
οἱ εὐλαβέστατοι πρεσβύτεροι· Ἰωάν-
νης· καὶ ὁ διάκονος Ἀνδρέας· ἅπερ
ἴσασιν· Ἰωάννης ὁ εὐλαβέστατος
πρεσβύτερος καὶ ἔκδικος εἶπε· τὰ
μὲν κατατεθέντα παρ' ἐμοῦ καὶ ὑπα-
ναγνωσθέντα τῇ ἁγιωτάτῃ καὶ θεο-
φιλεστάτῃ συνόδῳ· παρόντος καὶ τοῦ
μεγαλοπρεπεστάτου· καὶ τοῦ πάντα
ἐνδοξοτάτου τοῦ ἀπὸ ὑπάτων καὶ
πατρικίου Φλωρεντίου· ὅτι γε δὴ ἀληθεί-
ας ὑπηρχόμενος τοῦτο καὶ ὁ εὐλαβέ-
στατος διάκονος· οὐ λέγοντος· Κων-
σταντῖνος διάκονος εἶπεν· ἀλλ' οὐκ
ἀνεγνώσθη· ὁ αὐτὸς Ἰωάννης ὁ εὐλα-
βέστατος πρεσβύτερος καὶ ἔκδικος
εἶπεν· ἐγὼ εἶπον ἐν ἀλόγῳ ἐν θορύβῳ·
καὶ ἐγράφη οὐ λέγοντος· ὁ εὐλαβέστα-
τος ἐπίσκοπος Θαλάσσιος εἶπεν·
ἤρκει μὲν καὶ ὑπόληψις Ἰωάννου τοῦ
πρεσβυτέρου· ἐπειδὴ δὲ τὸ εὐαγγέλιον
πᾶσι προετέθη ἡμῖν· εὔλογόν ἐστι· καὶ

αὐτὸν ἐφ' οἷς λέγει ἐπὶ τοῦ εὐαγγελίου πι-
στώσασθαι· ὁ αὐτὸς Ἰωάννης ὁ εὐλαβέ-
στατος πρεσβύτερος καὶ ἔκδικος ὑπο-
ζεύξας εἶπεν· ὅτι ἐπειδὴ ἀληθείας ἐστὶν τος
ὑπάρχει· πρὸς οἷς ἔδοξεν ὅσον ἀμφιβάλ-
λειν· πλείονι δεομένων ἀληθείας κατέδησε·
καὶ τοῦτο ἡ θεοφιλὴς καὶ ἁγία σύνοδος
ἔγνω· ἀφ' ὧν τελευταῖον πρὸς ἀνατρο-
πὴν εἶδε τῶν οἰκείων λόγων· ἐπειδὴ δὲ
δεῖ τελείαν ὑπανάγνωσιν γενέσθαι καὶ
πεισθῆναι με ἀπὸ τῶν ἑπομένων·
ὥστε γνωρίσαι με τὰ κατατεθέντα
παρὰ τοῦ εὐλαβεστάτου ἀρχιμανδρί-
του Εὐτυχοῦς· καὶ εἰ συμβαίνονται ἐπὶ
τοῖς κατατεθεῖσι· τὸ τηνικαῦτα παρ'
ἐμοῦ· ἢ ἀπαρνήσασθαι εἴγε ἄρα τύχοι
μὴ ἐπιγνωσθὲν παρ' ἐμοῦ· ἀξιῶ τὴν
ὑμετέραν θεοφίλειαν ὑπαναγνωσθῆ-
ναι καὶ πληρεστάτην γενέσθαι τὴν ἀ-
νάγνωσιν· ὥστε σκοπῆσαί με δι' αὐ-
τῶν· διὰ τὸ σέβας τῶν ἁγίων εὐαγγε-
λίων τὸ προτεθὲν παρὰ τῆς ὑμετέρας
θεοφιλείας· καὶ ἀκολουθῆσαι τῷ λόγῳ
τῆς ἀληθείας :—

ὁ μεγαλοπρεπέστατος πατρίκιος
εἶπεν· αὖθις Ἰωάννου τοῦ πρεσβυτέ-
ρου αἱ φωναὶ ἐκ τῶν ὑπομνημάτων

ἐπαναληφθέντων· ὅπου ἑαυτὸν [illegible]
παρ' ὧν εἰς τὸν χ(ριστὸ)ν ἀκηκοέναι κατέθετο·

[illegible]

καὶ μωρίας· ὅ περὶ ἰδίων ἔσχηκε· τοῦ μὲν
λόγου κατεργαζομένου. τοῦ θεοῦ ὄντος ὑπὲρ ἐ-
-φι τοῦ λόγου· τοῦ δὲ σώματος ἐκτελοῦν-
-τος· ἅπερ ἐστὶ τοῦ σώματος· καὶ τὸ
μὲν αὐτῶν, διαλάμπει τοῖς θαύμασι·
τὸ δὲ, τοῖς ὑπερβὰν ὑποπέπτωκε· καὶ
καθάπερ ὁ λόγος ἀπὸ τῆς ἰσότητος
τῆς τοῦ πρὸς δόξης ἐστὶν ἀχώριστος·
οὕτως τὸ σῶμα τὴν φύσιν τοῦ ἡμετέ-
-ρου γένους οὐκ ἀπολέλοιπεν· εἰ σὰρξ
καὶ ὁ αὐτὸς ἀληθῶς υἱὸς τοῦ θεοῦ· καὶ ἀληθῶς
υἱὸς ἀνθρώπου τυγχάνει· θεὸς μὲν, κατὰ τοῦ-
-το· καθὸ ἐν ἀρχῇ ἦν ὁ λόγος· καὶ ὁ λόγος
ἦν πρὸς τὸν θεόν. καὶ θεὸς ἦν ὁ λόγος· ἄνθρωπος
δὲ, κατὰ τοῦτο· καθὸ ὁ λόγος σὰρξ ἐγέ-
-νετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ θεὸς
μὲν, κατὰ τοῦτο· καθὸ δι' αὐτοῦ τὰ πάν-
-τα ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο
οὐδὲ ἕν· ἄνθρωπος δὲ, κατὰ τοῦτο· καθὸ γε-
-γονὼς ἐκ γυναικός· γενόμενος ὑπὸ νόμον·
καὶ ἡ μὲν τῆς σαρκὸς σύστασις γέννησις ἀν-
-θρωπίνως ἐστὶ δηλοῦσα φύσεως· ὁ δὲ
τόκος τῆς παρθένου· μήνυμα τῆς
θείας ὑπάρχει δυνάμεως· καὶ ἡ μὲν
νηπιότης τοῦ βρέφους· διὰ τῆς τῶν
σπαργάνων εὐτελείας ἐπιγινώσκεται·
τὸ δὲ μέγεθος τῆς αὐτοῦ μεγαλωσύνης·

διὰ τῶν εὐαγγελικῶν φωνῶν ἀνα-
δείκνυται· καὶ ὁμοιοῦται μὲν τοῖς με-
σοφορτικοῖς μὲν οἷς ἀνθρώποις· οὗτος οὖν ἡ-
ρώδης ἀσεβῶς φονεῦσαι βουλεύεται·
ἀλλ' ὅμως δεσπότης τῶν ὅλων· ὃν μάγοι
χαίροντες ἱκετευτικῶς προσκυνεῖν·
ὅτε δὲ πρὸς τὸ τοῦ προδρόμου αὐτοῦ
ἰωάννου ἔρχεται βάπτισμα· ὡς
ἀμνὸν λαθεῖν ὅτι περὶ τῶν προκαλύμμα-
τι τῆς σαρκὸς ἡ θεότης ἐκρύπτετο· ἡ
τοῦ πρὸς φωνὴν ὁ ζῶν ἐπιμελῶσαι
φησίν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς
ἐν ᾧ ηὐδόκησα· τοιγαροῦν ὃν ὡς ἄνθρωπον
ἡ τοῦ διαβόλου πειράζει πανουργία·
τοῦτον ὡς αὐτὸν δὴ θεὸν ἡ τῶν ἀγγέλων τάξις
διακονεῖν· τὸ μὲν γὰρ πεινῆν καὶ διψῆν·
καὶ κοπιᾶν καὶ ὑπνοῦν· ὁμολογουμένως
ἐστὶν ἀνθρώπου· ἀλλὰ τὸ πέντε ἄρτοις· πεν-
τακισχιλιάδας ἀνδρῶν κορέσαι· καὶ χαρίσα-
σθαι τῇ σαμαρείτιδι ζῶν ὕδωρ· ὃ θεὸν
ἀρυσαμένη αὐτῇ ὑπῆρξε μηκέτι δι-
ψῆν· καὶ ἐπὶ μὲν νώτων θαλάσσης
περιπατεῖν τῶν ποδῶν οὐ βαπτιζο-
μένων· τὰς δὲ τῶν κυμάτων οἰδήσεις
ἐπιτιμωμένου τοῦ κλύδωνος καταπαυ-
μάζειν· ἐστὶν ἀναμφιβόλως θεοῦ· ὡς γὰρ
οὖν εἶναι τὰ πολλὰ παραλείψω οὕτης

αὐτῆς ἐστι φύσεως τὸ κλαίειν ἐκ δια-
θέσεως οἶκτου τὸν τελευτήσαντα
φίλον· καὶ τὸ τὸν αὐτὸν ἀναστῆναι μέλλον-
τα διασκεδασθέντος τοῦ προσχώ-
ματος τῆς τεταρταίας ἤδη ταφῆς
ὅθεν ἀναστῆσαι τὸν ἀναστήσαντα· πρὸς
τὸ κέλευσμα τῆς φωνῆς· ἐπὶ ξύλου
ἠρτῆσθαι· καὶ ὅθεν ἡμέρας εἰς νύκτα
μεταβληθέντα τὰ στοιχεῖα· πάν- οἷς
τα συσσεισθῆναι· ἢ τὸ διαπεπάρθαι
ἥλοις καὶ τὰς τοῦ παραδείσου πύ-
λας ἀνοῖξαι τῇ πίστει τῇ τοῦ λῃστοῦ·
οὕτως οὖν τῆς αὐτῆς ἐστι φύσεως
τὸ λέγειν· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ
τὸ λέγειν ὁ πατήρ μου μείζων μού ἐστιν·
εἰ καὶ τὰ μάλιστα γὰρ ἐν τῷ δεσπότῃ ἡμῶν
Ἰησοῦ Χριστῷ τοῦ θεοῦ καὶ τοῦ ἀνθρώπου ἓν ἐστι πρό-
σωπον· ὅμως ἕτερον ἐστὶν ἐκεῖνο ὅθεν
οὖν ἐν ἑκατέρῳ κοινόν ἐστι τὸ τῆς ὕ- ἧς
βρεως· καὶ ἕτερον ὅθεν οὐ κοινὸν τὸ τῆς
δόξης καθέστηκεν· ὅθεν ἡμῶν μὲν γὰρ
ἐστιν αὐτοῦ· ἡ ἐλάσσων τοῦ πατρὸς ἀνθρω-
πότης· ἀφ' οὗ δὲ τοῦ πατρός ἐστιν αὐτοῦ·
ἡ μετὰ τοῦ πατρὸς ἴση θεότης· διὰ ταύ-
την τοίνυν τοῦ προσώπου τὴν ἑ-
νωσιν τὴν ἐν ἑκατέρᾳ φύσει νοεῖσθαι
ὀφείλουσαν· καὶ υἱὸν ἀνθρώπου ὡς κομι-

ἀνθρώπου· κατεληλυθέναι ἐξ οὐρανοῦ· ὁπότε
ὁ υἱὸς τοῦ θεοῦ· τὸ σῶμα ἐξ αὐτῆς τῆς
παρθένου· ἐξ ἧς ἐτέχθη προσέλαβε·
καὶ πάλιν ὁ υἱὸς τοῦ θεοῦ σταυρωθεὶς λέγε-
ται καὶ ταφείς· ὁπότε ταῦτα οὐκ ἐν
αὐτῇ τῇ θεότητι· ἐν ᾗ μονογενὴς καὶ
συναΐδιος καὶ ὁμοούσιος τῷ πατρί·
ἀλλ' ἐν τῇ ἀσθενείᾳ τῆς ἀνθρωπίνης ὑπο-
μεμένηκε φύσεως· ὅθεν τὸν μονο-
310 γενῆ υἱὸν τοῦ θεοῦ· τὸν σταυρωθέντα καὶ
ταφέντα· πάντες καὶ ἐν τῷ συμβό-
λῳ ὁμολογοῦμεν κατ' ἐκεῖνο τὸ ἀ-
ποστολικόν· εἰ γὰρ ἔγνωσαν· οὐκ ἂν
τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· ὅτε δὲ
αὐτὸς ὁ κύριος ἡμῶν καὶ σωτὴρ τὴν πίστιν τῶν
μαθητῶν διὰ τῶν οἰκείων ἐξέτα-
ζεν ἐρωτήσεων· τίνα με φησὶ
λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου·
καὶ ἐκείνων ἀποκριναμένων ἄλλας
ἄλλων εἶναι δόξας· ὑμεῖς δέ φησι τίνα
με λέγετε εἶναι; ἐμὲ δηλαδὴ τὸν υἱὸν
τοῦ ἀνθρώπου· καὶ ὃν ἐν μορφῇ δούλου καὶ
ἀληθείᾳ σώματος θεωρεῖτε· τίνα
με λέγετε; ἔνθα ὁ μακάριος Πέτρος
θεόθεν ἐμπνευσθείς· καὶ διὰ τῆς
οἰκείας ὁμολογίας πᾶσι μέλλων γί-
νεσθαι σωτηρία τοῖς ἔθνεσι· σὺ εἶ φησὶν

ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος· καὶ ἀ-
ξίως μακάριος ἀπεφάνθη παρὰ τοῦ
χριστοῦ καὶ ἀπὸ τῆς πρωτοτύπου πέτρας
τὸ φερώνυμον ἐπεσπάσατο τῆς ἀρετῆς
καὶ τῆς προσηγορίας· ὅστις δι᾿ ἀπο-
καλύψεως τοῦ πατρὸς τὸν αὐτὸν καὶ υἱὸν
θεοῦ ὡμολόγησε καὶ χριστόν· ὥσπερ δὴ πτερ-
ὸν τοῦτο διχασθὲν περιλαμβανόμε-
νον· ἀνόνητον ἐτύγχανεν εἰς σωτηρίαν·
καὶ τοῦ αὐτοῦ ὑπῆρχε κινδύνου· τὸ
τὸν χριστὸν μὴ τὸν χριστὸν θεὸν μόνον ἄνευ ἀνθρώπου· ἢ
διχάσαι θεοῦ πιστεύειν ἄνθρωπον μόνον· μετὰ
δὲ τὴν ἀνάστασιν τοῦ χριστοῦ ἥ τις δήλω-
σις τοῦ ἀληθοῦς αὐτοῦ σώματος γε-
γονυῖα· ἐπειδὴ περ οὐκ ἄλλος ἀνέστη
εἰ μὴ ὁ φρουρηθεὶς καὶ ἀποθανών· τί
ἕτερον ἡ τῶν τεσσαράκοντα ἡμε-
ρῶν αὐτοῦ διαγωγὴ γεγονυῖα· ἢ ἵνα
ἐκ πάσης ἀχλύος ταῖς τῆς πίστεως
ἡμῶν καθαρθῇ· διαλεγόμενος γὰρ
τοῖς ἑαυτοῦ μαθηταῖς καὶ συνδιαι-
τώμενος· καὶ συναλιζόμενος· ἀκρι-
βέστερον δὲ καὶ πολυπραγμονικώτε-
ρον διὰ τῆς ἁφῆς ἑαυτὸν ψηλαφᾶ-
σθαι παρὰ τούτων οὓς ἐπλήττετο τὸ
ἀμφίβολον ἐνδιδούς· διὰ τοῦτο κεκλει-
σμένων τῶν θυρῶν εἰσῆλθε πρὸς τοὺς

μαθητὰς· καὶ τῷ φυσήματι τοῦ στόματος
αὐτοῦ. παρεῖχεν ἅγιον πνεῦμα· καὶ χα-
ριζόμενος τὸ φῶς τῆς γνώσεως·
τῶν θείων γραφῶν ἀπεκάλυπτεν τὰ
ἀπόρρητα· καὶ πάλιν ὁ αὐτὸς τὰ
τραύματα τῆς πλευρᾶς· καὶ τὰς
διατρήσεις τῶν ἥλων· καὶ πάντα
τὰ τοῦ νεαροῦ πάθους ἐπεδείκνυ
σημεῖα λέγων· ψηλαφήσατέ με καὶ
ἴδετε ὅτι πνεῦμα, σάρκα καὶ ὀστέα οὐκ
ἔχει καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα·
ὅπως ἂν μεμνημένοι ὦμεν ἐν αὐτῷ γνω-
σθῆναι ἰδιότητος· τῆς τε θείας καὶ τῆς
ἀνθρωπίνης φύσεως ἀδιαίρετος·
οὕτω τε παθόντα τὸν λόγον μὴ
τοῦτο εἶναι ὅπερ ἡ σάρξ· ἀλλ' εἶναι
υἱὸν τοῦ θεοῦ καὶ τὸν λόγον· ὁμολογήσω-
μεν· καὶ τὴν σάρκα νῦν τινος τῷ τρόπῳ
τοῦ μυστηρίου κούφως ὢν εὐτυχὴς
ὄντως καὶ ἀμέτοχος ὀφείλει νομίζεσ-
θαι· ὃς τὴν φύσιν τὴν ἡμετέραν ἐν τῷ
μονογενεῖ τοῦ θεοῦ οὔτε διὰ τῆς ταπει-
νότητος τῆς ἀνθρωπότητος· οὔτε
διὰ τῆς δόξης ἐπενωτῆς ἀναστάσε(ως)·
οὔτε τὴν ἀπόφασιν ἐφοβήθη τοῦ μα-
καρίου ἀποστόλου καὶ εὐαγγελιστοῦ Ἰω(άννου)
λέγοντος· πᾶν πνεῦμα ὃ ὁμολογοῦ(ν)

ἰν̄ χν̄ ἐν σαρκὶ ἐληλυθέναι ἀπὸ θῦ ἐστί·
καὶ πᾶν πνεῦμα τὸ διαιροῦν ἰν̄ χν̄, ἀπὸ τοῦ
θῦ οὐκ ἔστι· καὶ οὗτός ἐστι τοῦ ἀντιχρίσ-
του· τὸ δέ ἐστι τὸ διαιροῦν ἰν̄. εἰ μὴ τὴν ἀν-
θρωπίνην αὐτοῦ φύσιν ἀποχω-
ρίζειν· καὶ τὸ μυστήριον δι' οὗ περιεσώ-
θημεν· μόνον πειρᾶσθαι ματαίοις
διαπλάσμασιν ἀναιδῶν ἀπεργά-
ζεσθαι· ὁ δὲ τὴν ἀχλὺν ἀφιστάμενος
περὶ τὴν φύσιν τοῦ σώματος τοῦ χῦ·
ἀναγκαίως καὶ περὶ τὸ πάθος αὐτοῦ
τῇ παραπλησίᾳ τυφλώσει παρα-
φρονεῖ· καὶ γὰρ εἰ τὸν σταυρὸν τοῦ δεσπότου
ψευδῆ μὴ νενόμικε· καὶ τὸ πάθος τὸ
ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας ἀναδεχθὲν
ἀληθὲς γενόμενον· οὐδαμῶς ἀμφιβάλ-
λει· ὁ τοίνυν ὁμολογῶν ἐπιγινώσκει τὸν θά-
νατον· ἐπιγινωσκέτω τὴν σάρκα· χῦ
μηδὲν τῆς ἡμετέρας αὐτὸν σαρκὸς
ἄμοιρον ἀπαρνείσθω· ὃν παθητὸν ἐπι-
γενόμενον· ἐπειδήπερ ἡ ἄρνησις τοῦ
ἀληθοῦς σώματος· ἄρνησίς ἐστι καὶ
τοῦ πάθους τοῦ σώματος· ἐν τούτῳ
δέχεται τὴν σωτηρίαν ὢν καὶ ἀπὸ
τοῦ κηρύγματος τοῦ εὐαγγελίου· μὴ
τὴν οἰκείαν ἀκοὴν ἀποστρέφει· σκο-
πεῖ τῷ ποία φύσις διαπεπαρμένη

τοῖς ἥλοις ἐν τῷ τοῦ σταυροῦ ξύλῳ ἐκρέμα-
το· καὶ νυγείσης τῆς πλευρᾶς τοῦ προσ-
πεπηγότος τῷ σταυρῷ διὰ τοῦ δόρατος
τοῦ στρατιώτου· νοεῖται πόθεν τὸ αἷμα
καὶ τὸ ὕδωρ ἐρρύη· ὥστε τὴν ἐκκλησίαν
τὴν τοῦ θεοῦ τῷ λουτρῷ καταρδεύεσθαι
καὶ τῷ πόματι· ἀκούετε δὲ καὶ τοῦ μα-
καρίου Πέτρου τοῦ ἀποστόλου κηρύτ-
τοντος· ὅτι ὁ καθαρισμὸς τοῦ πνεύματος·
διὰ τοῦ ῥαντισμοῦ γίνεται τοῦ αἵματος
τοῦ Χριστοῦ· μηδὲ παροδικῶς ἀμφιγνοοῦσ κέ-
τῳ τοῦ αὐτοῦ ἀποστόλου τὰ ῥήματα
λέγοντος· εἰδότες ὅτι οὐ φθαρ-
τοῖς ἀργυρίῳ ἢ χρυσίῳ· ἐξηγοράσθητε
ἐκ τῆς ματαίας ὑμῶν πατροπαραδό-
του ἀναστροφῆς· ἀλλὰ τῷ τιμίῳ αἵμα-
τι ὡς ἀμνοῦ ἁγίου καὶ ἀμώμου Χριστοῦ Ἰησοῦ·
καὶ τοῦ μακαρίου δὲ Ἰωάννου τοῦ ἀποστό-
λου τὴν μαρτυρίαν μὴ ἀμφισταθῶ λέγοντος·
καὶ τὸ αἷμα Ἰησοῦ τοῦ υἱοῦ τοῦ θεοῦ καθαρίζει
ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας· καὶ πάλιν
αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον
ἡ πίστις ἡμῶν· τίς ἐστιν ὃς ἐνίκησε τὸν
κόσμον· εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ
υἱὸς τοῦ θεοῦ· οὗτός ἐστιν ὁ ἐρχόμενος δι᾽ ὕδατος
καὶ αἵματος Ἰησοῦς Χριστός· οὐκ ἐν τῷ ὕδατι μό-
νον· ἀλλ᾽ ἐν ὕδατι καὶ αἵματι· καὶ τὸ πνεῦμα

ἐστὶ τὸ μαρτυροῦν· ὡσεὶ δὴ τὸ πνεῦμα ἐ-
στὶν ἡ ἀλήθεια· τρεῖς γάρ εἰσιν οἱ μαρτυ-
ροῦντες· τὸ πνεῦμα· καὶ τὸ ὕδωρ· καὶ τὸ
αἷμα· καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσι· τὸ πνεῦμα
δηλονότι τοῦ ἁγιασμοῦ· καὶ τὸ αἷμα
τῆς λυτρώσεως· καὶ τὸ ὕδωρ τοῦ βα-
πτίσματος· ἅπερ τὰ τρία ἕν ἐστι· καὶ
ἀμέριστα μένει· καὶ οὐδὲν αὐτῶν ἀπὸ
τῆς ἑαυτῶν χωρίζεται συναφείας·
ὡσεὶ δὴ ἥπερ ἡ καθολικὴ ἐκκλησία ἐν
ταύτῃ ζῇ καὶ προκόπτει τῇ πίστει· ἵνα
μήτε δίχα τῆς ἀληθοῦς θεότητος ἡ
ἀνθρωπότης προορίζηται· μήτε δίχα
τῆς ἀληθοῦς ἀνθρωπότητος ἡ θεότης
πιστεύηται· προσιεμένη τοίγε τὴν δια-
λαλιὰν τῆς ὑμετέρας ἀκροάσεως
ὡς εὐτυχὴς ἀπεκρίνατο λέγων· ὁμο-
λογῶ ἐκ δύο φύσεων γεγενῆσθαι τὸν
κύριον ἡμῶν πρὸ τῆς ἑνώσεως· μετὰ
δὲ τὴν ἕνωσιν μίαν φύσιν ὁμολογῶ·
θαυμάζω τὴν οὕτως ἀλλόκοτον· καὶ
οὕτω διεστραμμένην ὁμολογίαν· μη-
δὲ μὴν αὐτῶν δικαζόντων ἐπιτιμήσα-
δόξασαν ἐπιλήψιμον· καὶ τὸν οὕτως
ἄφρονα λόγον ἐν παραδρομῇ γεγονό-
τα· ὡς τῶν ἀκουσάντων οὐδενὶ προσ-
κρουσάντων· ὁπότε τὸν αὐτὸν προσῆ-

ἐστὶν ἀσεβέστερον· τὸ λέγειν ὡς ἐκ δύο φύ-
σεων πρὸ τῆς ἐνανθρωπήσεως ὁ μο-
νογενὴς ἐστὶν υἱὸς τοῦ θεοῦ· ὥσπερ ἐστὶν
ἀθέμιτον διαβεβαιοῦσθαι ὡς μετὰ τὸ
τὸν λόγον σάρκα γενέσθαι μίαν ἐν αὐτῷ
φύσιν ἐστίν· ὅπερ ὅπως ἂν μὴ ὁ Εὐτυχὴς
ὀρθῶς εἴτουν ἀνεκτῶς ὑπολάβῃ ῥηθὲν·
ἐπειδήπερ οὐδεμιᾶς ἡμῶν ἐπε-
στομίσθη ψήφου· τὴν τῆς σῆς ἀγάπης
ὑπομιμνήσκομεν ἀκρίβειαν ἀδελφὲ
τιμιώτατε· ἵνα εἰ διὰ τῶν τοῦ θεοῦ οἰ-
κτιρμῶν εἰς ἀπολογίαν περιΐσταται
τὰ τοῦ πράγματος· ἡ ἀγνωσία τοῦ
ἀπαιδεύτου ἀνδρὸς καὶ ἀπὸ ταύτης τῆς
φθορᾶς τῆς κατὰ τὴν οἰκείαν διάνοι-
αν καθαρθῇ· ὅστις μὲν οὖν· ὡς ἡ τά-
ξις τῶν πεπραγμένων δηλοῖ καλῶς
ἀναχωρεῖν ἦν ἀρξάμενος ἀπὸ τῆς
ἰδίας ἐμφάσεως· ὁπηνίκα τῇ ὑμῶν
ἀποφάσει συνεχόμενος· ὁμολογεῖ λέ-
γειν ἑαυτὸν ὃ πρότερον οὐκ εἰρήκει· καὶ
ταύτῃ ἐφησυχάζειν τῇ πίστει· ἧς ἐτύγ-
χανε πρῴην ἀλλότριος· ἀλλ᾽ ὁπότε ἐν
τῷ ἀναθεματίσαι τῷ ἀσεβεῖ δόγμα-
τι συναινεῖν οὐκ ἠβούλετο. ἔγνω αὐτὸν
ἡ ὑμῶν ἀδελφότης ἐν τῇ οἰκείᾳ διαμ-
μένοντα κακοδοξίᾳ· καὶ ἄξιον οἶμαι.

τοῦ δέχεσθαι τὴν κρίσιν τῆς καθαι-
-ρέσεως· ἐφ' ὧνπερ· εἰ ἐπιφορᾶς καὶ συμ-
-φερόντως ἀλγεῖ· καὶ εἰ ῥᾴδιον τούτων,
ὅμως ἐπιγινώσκει ὅπως εἰς δέον ἢ
τῶν ἐπισκόπων ἐπὶ τῷ ἀναθέματι
κεκίνηται· εἰ πρὸς τὸ τέλειον τῆς ἀ-
-πολογίας ἴδοι ὥστε πάντα τὰ παρ'
αὐτοῦ κακῶς φρονηθέντα· ἐν ἀρχῇ
καὶ παρρησίᾳ τῇ φωνῇ καὶ οἰκείᾳ δὲ
καταδίκας θεῖναι ὑπογραφῇ· οὐκ
ἔσται καταγνώσεως ἄξιος· περὶ τῶν
διορθωθέντων. ὁ ποσὸς οὖν ἔλεος·
ἐπειδὴ περ ὁ χ(ριστὸ)ς ἡμῶν ὁ ἀληθινὸς καὶ
ἀγαθὸς ποιμήν· ὁ τὴν ψυχὴν θεὶς
ὑπὲρ τῶν προβάτων τῶν ἑαυτοῦ·
καὶ ὃς ἦλθε τὰς ψυχὰς τῶν ἀνθρώπων σῶ-
-σαι οὐκ ἀπολέσαι· μιμητὰς ἡμᾶς
τῆς οἰκείας ἀγαθότητος εἶναι βε-
-βούλευται· ἵνα τοὺς μὲν ἁμαρτάνον-
-τας. σωφρονίσῃ τὸ δίκαιον· τοὺς
ἐπιστρέψαντας δέ, ὁ τῆς συμπαθεί-
-ας μηδαμῶς οἶκτος ἀπώσηται·
τότε γὰρ ὄντως τό τε σὺν ἀγαθῷ τῶν
καρπῶν τὸ τῆς ἐπιγνώσεως ἀληθὲς ἐκ-
δικεῖται· ὅτε καὶ παρὰ τῶν τῆς ἀσ-
-σεβείας ἐξάρχων ἡ οἰκεία κακοδοξία
καταδικάζεται·~

Ἐδόθη εἰδοῖς Ἰουνίαις, Ἀστερίου καὶ Προ-
τογένους τῶν λαμπροτάτων ὑπάτων:
Ὁμοίως μαρτυρία ἁγίων π(ατέ)ρων καὶ ὁμο-
λογητῶν τοῦ ἁγίου Ἱλαρίου ἐπισκόπου
καὶ ὁμολογητοῦ ἐν τῷ περὶ πίστεως
ἐν ἀπολόγῳ: Οὐκ οἶδεν οὐχ ὁ εἰ-
δὼν ὄντως τὴν ἑαυτοῦ ζωήν· ὁ Ἰ(ησοῦ)ν
τὸν Χ(ριστὸ)ν ὡς ἀληθῆ θ(εὸ)ν ὄντως· καὶ ἀληθῆ
ἄν(θρωπ)ον οὐκ ἐπίσταται· τοῦ γὰρ αὐτοῦ κιν-
δύνου τὸ πρᾶγμα τυγχάνει· ἐὰν Χ(ριστὸ)ν
Ἰ(ησοῦ)ν ἢ πν(εῦμ)α θ(εὸ)ν ἢ σάρκα τοῦ ἡμετέρου ἀρ-
νησώμεθα σώματος· ἅπας τοιγαρ-
οῦν ὅστις ἂν ὁμολογήσῃ με ἔμπροσθεν
τῶν ἀν(θρώπ)ων, κἀγὼ ὁμολογήσω αὐτὸν ἔμ-
προσθεν τοῦ π(ατ)ρ(ό)ς μου τοῦ ἐν τοῖς
οὐρανοῖς· ὃς δ' ἂν ἀπαρνήσηταί με ἔμ-
προσθεν τῶν ἀν(θρώπ)ων, κἀγὼ ἀρνήσομαι
αὐτὸν ἔμπροσθεν τοῦ π(ατ)ρ(ό)ς μου τοῦ
ἐν τοῖς οὐρανοῖς· ταῦτα ὁ λόγος σὰρξ
γενόμενος ἔλεγε· καὶ ἄν(θρωπ)ος Ἰ(ησοῦ)ς Χ(ριστὸ)ς ὁ κ(ύριο)ς
τῆς δόξης· ἐδίδασκε πρὸς τὴν τῆς ἐκ-
κλησίας σωτηρίαν· μεσίτης αὐτὸς ὑπάρ-
χων· ἐν ἑαυτῷ τοῦ τῶν μυστηρίου δι'
οὗπερ θ(ε)ῷ καὶ ἀν(θρώπ)οις ἐμεσίτευσεν· εἷς
τυγχάνων τὸ συναμφότερον ἐκ τῶν ἑ-
νωθεισῶν εἰς τὸ αὐτὸ τοῦτο δὴ φύσεων·
ἓν καὶ ταὐτὸν δι' ἑκατέρας φύσεως ὤν·

πλὴν οὕτως. ὡς δὲ ἐν ἑκατέρῳ μηδὲ
-τέρου χηρεύειν. μὴ πως παύσηται
θεὸς εἶναι τικτόμενος ἄνθρωπος. ἢ πάλιν
ἄνθρωπος οὐκ ἔτι, τῷ διαμένειν θεός. οὐκοῦν
τοῦτο τῆς ἐν ἀνθρώποις ἀληθοῦς πίστεως
τὸ μακάριον. τὸ τὸν μὲν θεὸν καὶ ἄνθρωπον
κηρύττειν. τὴν δὲ σάρκα καὶ λόγον
ὁμολογεῖν. καὶ τόν τε θεὸν εἰδέναι. ὅτι καὶ
ἄνθρωπος εἴη. καὶ τὴν σάρκα μὴ ἀγνοεῖν.
ὅτι καὶ λόγος ἐστίν. ὁμοίως τοῦ αὐτοῦ
ἐν τῷ αὐτῷ λόγῳ· ἐκ παρθένου μὲν οὕτω τοί-
-νυν τεχθεὶς ἄνθρωπος ὁμολογούμενος θεὸς καὶ
κατὰ τὴν συμπλήρωσιν τοῦ καιροῦ
μέλλων αὐτὸς ἐν ἑαυτῷ τὴν τοῦ ἀρχῆς
προκοπὴν εἰς θεὸν ἀνωθεν ἐργάζεσθαι
ταύτην τὴν τάξιν. ἐν ἀφορμαῖς τοῖς
εὐαγγελικοῖς λόγοις ἐφύλαξεν. ἄρας
ἑαυτὸν καὶ υἱὸν εἶναι θεοῦ διδάξη πιστε-
-ύεσθαι. καὶ ἀνθρώπου υἱὸν ὑπὸ [illegible] κη-
-ρύττεσθαι. τῷ μὲν ἄνθρωπος εἶναι λαλῶν
ἅπαντα καὶ πράττων ἅπερ ἐστὶ
θεοῦ. ἀνθ᾽ ὧν δὲ καὶ τῷ θεὸς ὑπάρχειν λα-
-λῶν τε ἅπαντα καὶ πράττων ἅπερ
ἐστὶν ἀνθρώπου. οὕτω μέντοι ὥστε ταύτῃ
αὐτῇ τῇ καθ᾽ ἑκάτερον γενόμενος αὐτὸν ὁ-
-μιλίᾳ μηδέποτε λαλεῖν. εἰ μὴ μετὰ
τοῦ σημαίνειν θεόν τε καὶ ἄνθρωπον. ἐντεῦθεν

τοιγαροῦν οὐδὲ λέγειν τοῖς ἀπλου-
στέροις καὶ τοῖς ἀγνοοῦσι τοῖς αἱ-
ρετικοῖς γίνεται πρόφασις· ὥστε τὰ
παρ' ἐκείνου κατὰ τὴν ἀνθρωπότη-
τα λαληθέντα ψευδωνύμοις λέγειν·
ὡς κατ' ἀσθένειαν τῆς θείας εἴρηται
φύσεως· καὶ ἐπειδήπερ εἷς καὶ ὁ αὐτὸς
ἐστὶν ὁ πάντα λαλῶν ὅσαπερ καὶ ἐλάλει·
φιλονεικεῖν αὐτοῖς περὶ ἑαυτοῦ πάντα
αὐτὸν εἰρηκέναι· καὶ οὐδ' ἡμεῖς μὲν ἀρ-
νούμεθα πάντας τοὺς ὄντας αὐτοῦ
λόγους τῆς ἰδίας αὐτοῦ φύσεως εἶναι·
ἀλλ' εἰ περὶ τοῦ Χριστοῦ ἀνθρώπου καὶ θεοῦ· καὶ οὔτε
ἄνθρωπος ποτὲ πρὸ τῶν θεός· οὔτε μὴν
ὁ ἄνθρωπος ποτὲ οὐκ ἦν καὶ θεός· οὐδὲ μετὰ
τὸν ἄνθρωπον ὢν τὸν Χριστόν· οὐχὶ ὅλος ἄνθρωπος καὶ
ὅλος θεός· ὃ ἐπ' ἀνάγκης ἔφην ἓν καὶ τὸ αὐτὸ
εἶναι μυστήριον τῶν αὐτοῦ λόγων· ὃ καὶ
τοῦ τόκου καθήκει· καὶ ὅταν ὢν αὐτῶν
κατὰ καιρὸν τὸν ἄνθρωπον ἀπὸ τοῦ θεοῦ διαι-
ρῇς· τό τε ταῦτα τε τοῦ θεοῦ καὶ τοῦ ἀνθρώπου δια-
χωρίζεις ῥήματα· καὶ ὅτ' ἂν πη μὴ καὶ θεὸν καὶ
ἄνθρωπον ὁμολογῇς· ὢν καιρὸς ταῦτα τοῦ θεοῦ καὶ
ἀνθρώπου διακρῖναι ῥήματα· ὅταν δὲ ἐκ θεοῦ
καὶ ἀνθρώπου· πάλιν ἀνθρώπου καθόλου καὶ καθό-
λου θεοῦ τὸν καιρὸν εἶναι μόνης· εἴ τι τοιοῦτον
λελάληται πρὸς τὴν μνήμην· τὸ κατ' ἐκεῖνο

καιροῦ τῶν καιρῶν ταῖς λεχθεῖσιν ταῖς προσαρ-
μόσομεν· καὶ ἐπειδήπερ ἄλλος ἐστὶ πρὸ τῶν
αἰώνων θεός· ἄλλος δὲ πάλιν ἄνθρωπος καὶ θεός· καὶ
ἄλλο μετὰ τὸν ἄνθρωπον καὶ θεὸν ὅλος ἄνθρωπος
καὶ ὅλος θεός· μὴ συγχέωμεν τοῖς καιροῖς
καὶ τοῖς γενομένοις τὸ τῆς οἰκονομίας μυσ-
τήριον· ἀναγκαῖον ἀρχὰς κατὰ τὴν ποιότητα
τῶν γενῶν καὶ τῶν φύσεων· ἀλλὰ
μὲν αὐτοῦ γενέσθαι ἤ σεαυτὴν ὁμιλίαν μη-
δέπω κατὰ τὸ τοῦ ἀνθρώπου τεχθὲν τοῦ μυ-
στήριον· ἀλλὰ μὴ δὲ ἐπιπροσελαύνοντος
τῶν θανάτων· καὶ ἄλλην ἤδη τυγχάνον-
τος αἰωνίου· δι' ἣν μάλιστα τοῖς νῦν ἅπαντα
ταῦτα μὲν ὁμῶν χριστοῦ· καὶ τεχθεὶς ἄνθρωπος·
σώματος ἡμετέρου· κατὰ τὴν συνή-
θειαν τῆς ἡμετέρας ἐλάλησε φύσεως·
οὐ μὴν τῆς οἰκείας φύσεως ἀπομαλ
τὸ εἶναι θεός· εἰ γὰρ καὶ ἐν τῷ τόκῳ καὶ
τῷ πάθει καὶ τῷ θανάτῳ τὰ τῆς
ἡμετέρας φύσεως πράξεις δηλοῖ μυσ·
ὅμως ἀπ' αὐτῶν τὰ ταῦτα τῇ δυνάμει
τῆς ἑαυτοῦ διεπράξατο φύσεως·
Ὁμοίως τοῦ αὐτοῦ· ἐν τῷ αὐτῷ λόγῳ·
ῥᾶστ' ἄρα οὕτως θεὸν καὶ ἄνθρωπον ὁμολογεῖ, αἰ-
ώς τε τὸν μὲν θάνατον· τῷ ἀνθρώπῳ· τῷ
δὲ θεῷ· τῆς σαρκὸς λογίζεσθαι τὴν ἀνα-
στασιν· τὴν μὲν γὰρ τοῦ θεοῦ φύσιν. ὃν τῇ

δυνάμει τῆς ἀναστάσεως· μόνη τὴν δὲ
κατ' ἄνθρωπον οἰκονομίαν. ἐν τῷ θανάτῳ,
ἐπιτίμως θεῖ· καὶ ἐπειδήπερ ἑκατέρα ἐν
ταῖς οἰκείαις γεγονὴν ταῖς φύσεσιν· ἐν αὐ-
τῷ χ(ριστ)ῷ ἐκεῖνον εἶναι μνημονεύει, τὸν ὄν-
τα ἀμφότερα· ταῦτα δὲ τούτου χάριν
διακεκραγότων ὑπέδειξα· ἵνα ἑκατέραν
φύσιν ἐν τῷ χ(ριστ)ῷ ἡ κοινὴ ἐν τῷ χ(ριστ)ῷ νοεῖσθαι ἡνω-
μένας αὐτῷ· ὅπερ ὢν ἐν μορφῇ θ(εο)ῦ· ἔλαβε
δούλου μορφήν:

Τοῦ ἁγίου Γρηγορίου τοῦ Ναζιανζηνοῦ· ἐκ
τῆς ὁμιλίας τῆς περὶ τῶν ἐπιφανίων·
Ἐπειδὴ ποιμένι προῆλθεν ἐκ τῆς παρ-
θένου θ(εὸ)ς μετὰ τῆς προσλήψεως· ἓν ἐκ
δύο τῶν ἐναντίων ἣν προσέλαβεν ἀνθρω-
πεία φύσει· ἐπειδὴ τῶν ἑαυτοῖς ἐναν-
τίων σαρκὸς καὶ πνεύματος· ὧν τὸ μὲν αὐτῶν.
εἰς τὸν θ(εὸ)ν προσελήφθη· τὸ δὲ, τὴν χάριν
παρέσχε τῆς θεότητος:

Ὁμοίως τοῦ αὐτοῦ μετ' ὀλίγα·
Λ ...ωσεσαλῆ κεν· ἀλλ' ὡς ἄνθρωπος· διπλῆ γὰρ
ἦν ἡ φύσις ἐν αὐτῷ· ἀμέλει τοι ἐν πεῦθεν·
καὶ ἐκοπίασε· καὶ ἐπείνησε· καὶ ἐδίψησε·
καὶ ἠγωνίασε· καὶ ἐδάκρυσεν ἀνθρωπίν(ου)
σώματος νόμῳ:

Τοῦ ἁγίου Ἀμφιλο-
χίου ἐπισκόπου καὶ ὁμολογητοῦ ἐκ τῶν
περὶ υἱοῦ λόγων τοῦ προσγραπτᾶ ομ

βασιλέα λόγου δευτέρου:

Θεὸν ἔχειν μόνον τὸ ἀναμάρτητον ἀπαθὲν· πῶς ὁ κύριος
τῆς δόξης σταυροῦται. μὴ τῆς ἑαυτοῦ
δόξης σταυρωθείσης μόνης οὔσης μὲν· ἀλλ'
ἐπειδὴ ὁ αὐτὸς θεός τε καὶ ἄνθρωπος· κατὰ
μὲν τὴν θεότητα θεός· κατὰ δὲ τὴν
πρόσληψιν τῆς σαρκὸς ἄνθρωπος ὁ Χριστὸς
ὁ κύριος τῆς δόξης σταυρωθῆναι λέγεται·
καὶ γὰρ ἑκατέρας μετέχει φύσεως ὁ Χριστός·
τουτέστιν ἀνθρωπίνης καὶ θείας· ἐν τῇ τῶν
ἀνθρώπου γὰρ φύσει τὸ πάθος ὑπέμεινεν
ἵνα ἀδιαιρέτως καὶ κύριος τῆς δόξης καὶ
υἱὸς ἀνθρώπου εἶναι λέγηται ὁ παθών· καὶ
καθὼς γέγραπται ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς:·

Ὁμοίως τοῦ αὐτοῦ ἐν τῷ αὐτῷ λόγῳ
ἐν ἄλλῳ τόπῳ:· Εἰ γὰρ τοσαῦται
γὰρ οὖν αἱ περὶ τῶν λόγων ματαίαι
ζητήσεις· ἡ γὰρ τοῦ θεοῦ βασιλεία καὶ
καθὼς γέγραπται οὐκ ἐν πειθοῖς λόγοις
ἐστίν· ἀλλ' ἐν ἀποδείξει δυνάμεως·
φυλάξωμεν τὴν διαφορὰν τῆς σαρ-
κός τε καὶ τῆς θεότητος· εἷς γὰρ θεοῦ
υἱὸς ἐν ἑκατέρᾳ λαλεῖ· ἐπειδήπερ
ἑκατέρα φύσις ἐστὶν ἐν αὐτῷ· ἀλλ' εἷς
καὶ ὁ αὐτὸς λαλεῖ. οὐχ ἕνα μὲν τοῖς γε
τὸν αὐτὸν τρόπον λαλεῖ· ὁρᾷς γὰρ
ἐν αὐτῷ. μίαν μὲν δόξαν θεοῦ· μίαν δὲ

πάθη ἀνθρώπου· ὡς θεὸς λαλεῖ τὰ ὄντα
θεῖα· ἐπειδὴ ὑπὲρ λόγον ἐστίν· ὡς
ἄνθρωπος λαλεῖ τὰ ὄντα ἀνθρώπινα· ἀνθρώπινα.
ἐπειδὴ περὶ ὧν ταύτῃ λαλεῖ τῇ φύσει:·
Ὁμοίως τοῦ αὐτοῦ ἐκ τοῦ λόγου πε-
ρὶ τῆς ἐνανθρωπήσεως τοῦ Χ(ριστο)ῦ
κατὰ Ἀπολιναριαστῶν:·
Ἀλλ' ἐν ὅσῳ τούτοις ἐλεγχόμεθα· ἀνε-
φύησαν ἕτεροι λέγοντες τὸ, σῶ-
μα τοῦ Χ(ριστο)ῦ καὶ τὴν θεότητα· μιᾶς
φύσεως εἶναι· ποῖος ἅδης τὴν το-
σαύτην βλασφημίαν ἠρεύξατο· αἱ-
ρετικοὶ γὰρ ἤδη τυγχάνουσιν ἀνεκτό-
τεροι· ὧν ἡ ἀπιστία· διὰ τούτους
χρηματίζεται· ὥσπερ μείζων ἡ φιλο-
νεικία· π(ατέ)ρα καὶ υἱὸν καὶ ἅγιον πν(εῦμ)α
μιᾶς οὐσίας μὴ λέγειν· ἐπειδὴ ὑπὲρ
οὗτοι τὴν θεότητα τοῦ κ(υρίο)υ καὶ τὴν σάρ-
κα· μιᾶς φύσεως εἰπεῖν ἐπεχείρη-
σαν:·
Ὁμοίως τοῦ αὐτοῦ μετ' ὀ-
λίγα:·
Καὶ οὕτως λέγειν μοι ὡς με-
χρὶς τῆς ἐν Νικαίᾳ συνόδου ἑαυτὸν
κατέχειν τὴν ἔκθεσιν· ἀλλ' ἐν ἐκείνῃ,
τῇ ἐξετάσει οἱ ἡμέτεροι π(ατέ)ρες· οὐχὶ
τὴν σάρκα τὸν δὲ τοῦ θ(εο)ῦ λόγον· μιᾶς
τῷ π(ατ)ρὶ οὐσίας εἶναι εἰρήκασι· καὶ τὸν
μὲν λόγον· ἐκ τῆς τοῦ π(ατ)ρὸς προελθ-

λυθὲν μαιοίστιας· τὴν δὲ σαρκὸς καὶ
ἐκ τῆς παρθένου τυγχάνειν ὁ-
μολογήκασι· διὰ τοίνυν ἡμῖν·
τὸ μὲν τῆς ἐν Νικαίᾳ συνόδου
προτειμοῦσιν ὁμόνοιαν· εἰσφέρουσι
δὲ καινά· καὶ ἅπερ οὐκ ἐνεθυμή-
θησαν πώποτε, οἱ ἡμέτεροι
πρόγονοι:· Ὁμοίως τοῦ ἁγιω-
τάτου Ἰωάννου ἐπισκόπου
Κωνσταντινουπόλεως· ἐν τῇ
ὁμιλίᾳ τῇ περὶ τῆς ἀναλήψεως
τοῦ Χριστοῦ:· Καθάπερ γὰρ δύο
τινῶν ἀμφιμαχίαν διαφερόντων,
ἕτερός τις ἐν μέσῳ παρεντε-
θεὶς· λύει τὴν τῶν ἐριζόντων
μάχην τε καὶ διχόνοιαν· οὕτω
καὶ ὁ Χριστὸς ἐποίησεν· ὠργίζετο μὲν
ἡμῖν δικαίως ὁ Θεός· ἡμεῖς δὲ τῆς
αὐτοῦ κατεφρονοῦμεν ὀργῆς·
τὸν φιλάνθρωπον δεσπότην ἀποστρε-
φόμενοι· καὶ μέσον ἑαυτὸν ἐμβα-
λὼν ὁ Χριστός, ἑκατέραν φύσιν εἰς φιλί-
αν συνήγαγε· καὶ τὴν παρὰ τοῦ
πατρὸς ἐπικειμένην ἡμῖν. αὐτὸς τι-
μωρίαν ὑπέμεινεν :–
Ὁμοίως τοῦ αὐτοῦ Ἰωάννου ἐν τῇ
αὐτῇ ὁμιλίᾳ:· Προσήνεγκε τοίνυν

ὄχατας ἀπαρχὰς τῆς ἡμετέ-
ρας φύσεως τῷ πρί· καὶ τὸ δῶρον
αὐτὸς ἐθαύμασεν ὁ πήρ· διά τε
τὴν τοσαύτην ἀξίαν τοῦ προσκο-
μίσαντος· καὶ τοῦ προσενεχθέν-
τος τὸ ἄμωμον· καὶ γὰρ οἰκείαις
ἐδέξατο τοῦτο χερσί· καὶ τοῦ θρόνου
μέτοχον εἶναι· τοῦ οἰκείου πεποί-
ηκε· καὶ τὸ πλέον ἐν τῷ τῆς ἑαυτοῦ
δεξιᾶς αὐτὸ μέρει καθίδρυσεν·
οὐκοῦν ἐπιγνῶμεν· τίς ἐκεῖνος
ὁ ἀκούσας· κάθου ἐκ δεξιῶν μου·
τίς ὢν ἡ φύσις ἐκείνη πρὸς ἣν ὁ θς
εἶπεν· ἔσο τοῦ θρόνου μου κοινωνόν·
ἐκείνη ἡ ἡμῶν ἡ φύσις· πρὸς ἣν εἶπε·
γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ:·

Καὶ πάλιν τοῦ αὐτοῦ Ἰωάννου μετ' ὀ-
λίγα. Ποίοις χρήσομαι λόγοις· ποί-
οις φθέγξομαι ῥήμασιν· ἀπορεῖ·
ἡ φύσις ἡ σαθρά· ἡ φύσις ἡ εὐτελής
ἡττᾶται τῶν ἐλαττόνων ἀποδειχθεῖσα·
πάντα μὲν ἐνίκησεν· ὑπερέβαλεν ἅ-
παντα· σήμερον ἅπερ αἱ γενεαὶ α
πάντων ἠξίωνται· σήμερον ἀπέ-
λαβον· ὅπερ ἐπὶ χρόνον πολὺν ἐ-
πεθύμησαν ἄγγελοι· σήμερον ἀρ-
χάγγελοι τῶν ἐπὶ πολὺ ποθουμέ-

-μων. θεαταὶ γενέσθαι δεδύνην-
-ται· καὶ τὴν φύσιν τὴν ἡμῶν ἐν
τῷ θρόνῳ τοῦ βασιλέως. τῇ δόξῃ,
τῆς ἀθανασίας ἐκλάμπουσαν
κατενόησαν:~

Ὁμοίως ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς
Βολουσιανόν· τοῦ ἁγιωτάτου ἐ-
-πισκόπου αὐτοῦ ϙίμου:·

Νῦν δὲ οὗτος μεταξὺ θεοῦ καὶ ἀνθρώπων
ἀναφανεὶς μεσίτης· ὥστε αὐτὸν
ἐν τῇ τοῦ προσώπου ἑνότητι
συνάπτειν ἑκατέραν τὴν φύσιν·
καὶ τὰ ἐνθειάζοντα· τοῖς ἀνθέ-
-σι· καὶ τὰ ἀληθῆ συγκεράσαντα το-
τοῖς ὀζέθους:· Ὁμοίως τοῦ αὐ-
-τοῦ αὐτοῦ ϙίμου· ἐν τῇ ἐκθέσει τοῦ
εὐαγγελίου· τοῦ κατὰ τὸν ἅγιον Ἰω(άννην):·

Τί τοίνυν αἱρετικέ· ἐπειδὴ Χριστὸς ἐστὶ θεὸς
καὶ ἄνθρωπος· λαλεῖ μὲν ὡς ἄνθρωπος· συκο-
-φαντεῖς δὲ θεόν· ἐκεῖνος ἐν αὐτῷ τὴν ἡμῶν
ἀνθρωπίνην φύσιν ὑψοῖ. σὺ δὲ ἐ-
-κεῖνον τολμᾷς ἐξευτελίσαι τὴν θείαν:—

Ὁμοίως τοῦ αὐτοῦ αὐτοῦ ϙίμου· ἐν
τῇ ἐκθέσει τοῦ εὐαγγελίου. τοῦ κα-
-τὰ τὸν ἅγιον Ἰωάννην:·

Καὶ γὰρ ἡμέτερον ἐστὶ τὸ πιστεύειν·
ἐκείνου δὲ τὸ εἰδέναι· καὶ οὕτως

αὐτὸς ὁ θεὸς λόγος τὸ πάθος ὑποδε-
ξάμενος ὁ ὑπὲρ ἡμῶν ἀνθρώπου ἄνθρωπος ἔ-
στω καὶ ὁ προσληφθεὶς ἄνθρωπος
ὑποδεξάμενος ἅπαν ὅπερ ἐ-
στὶ θεοῦ· ἄλλο τι μηδὲν ὤν· πλὴν ὅπερ
θεός· οὐ μὴν δὲ ὡς εἰ δὴ σεσαρκωμέ-
νος εἶναι λέγεται καὶ μικτός· με-
μεῖσθαι τὴν οὐσίαν τὴν αὐτοῦ
μονὴν ἄφθορον· οἶδε μιγνῦσαι θεὸς ἑ-
αυτὸν δίχα τῆς οἰκείας φθορᾶς·
καὶ μιγνύμενος τοίγε· κατὰ ἀλή-
θειαν· ὁ δὲ δὴ μὲν οὕτως δὲ ἐν ἑαυτῷ ὑπο-
δέξασθαι· ὥστε μηδὲ δὴ αὐτῷ προ-
σθήκης αὐξάνεσθαι· καθὼς
διδόντα ἑαυτὸν ὅλον ἐνέχειν· ὥσ-
τε μηδὲν αὐτῷ συμμεῖναι μειω-
θέντος· μὴ τοίνυν κατὰ τὴν τῆς
ἡμετέρας ἀσθενείας δὲ ἔννοιαν
καὶ τὰ αἰσθητὰ τῆς πείρας δι-
δάγματα στοχαζόμενοι· ἐκ τῶν
ἴσων τῶν ἑαυτοῖς μιγνυμένων
κτισμάτων μεμῖχθαι νομίσω-
μεν· θεόν τε καὶ ἄνθρωπον· καὶ τῇ τοιαύ-
τῃ συγχύσει τοῦ λόγου καὶ τῆς
σαρκὸς· ὥσαν εἴ τις ὢν μαινόμε-
νον· ἀπέστω οὕτω πιστεύειν· μή-
πως τῷ τρόπῳ τῶν συγχωνε-

νομένων· δύο φύσεις εἰς μίαν
ὑπόστασιν συνενηνέχθαι νομίσω-
μεν· θεόν τε καὶ ἄνθρωπον· ἡ γὰρ τοιαύτη
μίξις ἐστὶν ἑκατέρου μέρους φθορά·
ὁ δὲ θεὸς ὁ χωρῶν· ἀλλ' οὐ χωρούμενος·
ἐρευνῶν· οὐκ ἐρευνώμενος· πλη-
ρῶν· ἀλλ' οὐ πληρούμενος· ὁ παν-
ταχοῦ ὅμοιος ὢν ὅλος καὶ δι' ὅλων
χωρῶν διὰ τοῦ ἐκχέαι τὴν ἑαυτοῦ
δύναμιν· ὡς οἰκτίρμων ἐμίγη τῇ
φύσει τῇ ἀνθρωπείᾳ· οὐ μὴν ἡ ἀν-
θρώπου φύσις ἐμίγη τῇ θείᾳ·

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας·
ἀπὸ τῶν σχολίων:·

Ἀνθρώποις ὡμοίωται καίτοι κα-
τὰ φύσιν ὑπάρχων θεὸς ὁ ἐκ θεοῦ πατρὸς
λόγος· ὡς μετέσχηκεν αἵματος
καὶ σαρκός· παραπλησίως ἡμῖν·
ὤφθη γὰρ οὕτως τοῖς ἐπὶ γῆς· καὶ
οὐ μεθεὶς ὅπερ ἦν· ἀλλ' ἐν προσ-
λήψει γεγονὼς τῆς καθ' ἡμᾶς ἀν-
θρωπότητος· τελείως ἐχούσης
κατὰ τὸν ἴδιον λόγον:·

Τοῦ αὐτοῦ Κυρίλλου περὶ τῆς ἐναν-
θρωπήσεως τοῦ μονογενοῦς:

Εἷς οὖν ἄρα ἐστίν· ὁ καὶ πρὸ τῆς ἐναν-
θρωπήσεως θεὸς ἀληθὴς καὶ ἐν

ἀνθρωπότητι μεμενηκότος ὅπερ
ἦν τε καὶ ἔστι καὶ ἔσται· οὐδ᾽ ἀναιρετέον
οὖν ἄρα τὸν ἕνα κύριον Ἰησοῦν Χριστὸν ἰδικῶς·
καὶ εἰς θεὸν ἰδικῶς· ἀλλ᾽ ἕνα καὶ τὸν αὐ-
τὸν Χριστὸν υἱὸν εἶναι φαμὲν, τὴν τῶν φύ-
σεων εἰδότες διαφοράν· καὶ ἀσυγ-
χύτους ἀλλήλαις τηροῦντες αὐτάς:·
Τοῦ αὐτοῦ Κυρίλλου μετὰ ἄλλα:·
Νοεῖται γὰρ πάντως ὡς ἕτερον ἐν ἑτέ-
ρῳ τὸ κατοικοῦν, τουτέστιν ἡ θεία φύ-
σις ἐν ἀνθρωπότητι καὶ οὐ παθοῦ-
σα φυρμὸν, ἢ ἀνάχυσιν τινα ἢ
μετάστασιν τὴν εἰς ὅπερ οὐκ ἦν· τὸ
γὰρ ἐνοικεῖν ἕτερον λεγόμενον, οὐκ
αὐτὸ γέγονεν ὅπερ ἐστὶ τοῦτο ἐν ᾧ
κατοικεῖ· νοεῖται δὲ μᾶλλον ἕτερον
ἐν ἑτέρῳ· ἐν δέ γε τῇ φύσει τοῦ λόγου
καὶ τῆς ἀνθρωπότητος μόνην
ἡμῖν σημαίνει διαφορὰν τῶν φύ-
σεων τὸ διάφορον· εἷς γὰρ ἐξ ἀμ-
φοῖν νοεῖται Χριστός· οὐκοῦν τὸ ἀσυγ-
χυτον εὖ μάλα τετηρηκὼς φησὶν
ἐν ἡμῖν ἐσκηνωκέναι τὸν λόγον· ἕ-
να γὰρ υἱὸν οἶδε μονογενῆ, τὸν σαρ-
κωθέντα καὶ ἐνανθρωπή-
σαντα:·

ἀρχὴ τῆς συνόδου χαλκηδόνι ος

[illegible]

Ὑπατείας τοῦ δεσπότου ἡμῶν μαρ-
κιανοῦ· τοῦ αἰωνίου αὐγούστου·
καὶ τοῦ δηλωθησομένου τῇ πρὸ
ὀκτὼ εἰδῶν ὀκτωβρίων ἐν χαλκη-
δόνι· κατὰ κέλευσιν τοῦ θειοτάτου
καὶ εὐσεβεστάτου δεσπότου ἡμῶν
μαρκιανοῦ τοῦ αἰωνίου αὐγούστου·
συνελθόντων ἐν τῇ ἁγιωτάτῃ
ἐκκλησίᾳ· τῆς ἁγίας μάρ-
τυρος εὐφημίας· τῶν ἐνδοξοτά-
των ἀρχόντων· τουτέστι τοῦ με-
γαλοπρεπεστάτου καὶ ἐνδοξοτά-
του στρατηλάτου καὶ ἀπὸ ὑπά-
των πατρικίου ἀνατολίου· καὶ
τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξο-
τάτου ἐπάρχου τῶν ἱερῶν πραι-
τωρίων παλλαδίου· καὶ τοῦ με-
γαλοπρεπεστάτου καὶ ἐνδοξοτά-
του ἐπάρχου πόλεως τατιανοῦ·
καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ
ἐνδοξοτάτου μαγίστρου· τῶν θεί-
ων ὀφφικίων βικομάλλου· καὶ τοῦ
μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτά-
του κόμητος τῶν καθωσιωμέ-
νων δομεστίκων σπορακίου· καὶ τοῦ
μεγαλοπρεπεστάτου κόμητος τῶν

[illegible]

θείων πριϊουάτων τῶν Μεθλίου· πρὸς
ἔτι δὲ καὶ τῆς ἐνδόξου συγκλήτου·
τουτέστι τοῦ μεγαλοπρεπεστάτου καὶ
ἐνδοξοτάτου ἀπὸ ὑπάρχου καὶ ὑπά
των καὶ πατρικίου Φλωρεντίου· καὶ
τοῦ μεγαλοπρεπεστάτου καὶ ἐνδοξο
τάτου ἀπὸ ὑπάτων καὶ πατρικίων
Σενάτορος· καὶ τοῦ μεγαλοπρεπε
στάτου καὶ ἐνδοξοτάτου ἀπὸ μαγίστρων
καὶ ὑπάτων καὶ πατρικίων Νόμου·
καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐν
δοξοτάτου ἀπὸ ὑπάρχων καὶ ὑπά
των καὶ πατρικίων Πρωτογένους·
καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐν
δοξοτάτου ἀπὸ ἐπάρχων Ζωΐλου·
καὶ τοῦ μεγαλοπρεπεστάτου καὶ ἐν
δοξοτάτου ἀπὸ ἐπάρχων πόλεως
Θεοδώρου· καὶ τοῦ μεγαλοπρεπε
στάτου καὶ ἐνδοξοτάτου ἀπὸ ἐπάρ
χων Ἀπολλωνίου· καὶ τοῦ μεγαλο
πρεπεστάτου καὶ ἐνδοξοτάτου ἀ
πὸ πραιποσίτων Ῥωμανοῦ· καὶ τοῦ
μεγαλοπρεπεστάτου καὶ ἐνδοξοτά
του ἀπὸ ἐπάρχων πραιτωρίων Ἰ
χωμφαντίμου· καὶ τοῦ μεγαλοπρε
πεστάτου καὶ ἐνδοξοτάτου ἀπὸ πραι
ποσίτων Ἀρτάξου· καὶ τοῦ μεγαλο-

πρεπεστάτου καὶ ἐνδοξοτάτου ἀ
πὸ ἐπάρχων ἰλλυρικοῦ. εὐλογίου·
συνελθούσης δὲ καὶ τῆς ἁγίας καὶ
οἰκουμενικῆς συνόδου τῆς κατὰ
θεῖον θέσπισμα ἐν τῇ καλχηδόνε
ων πόλει συναθροισθείσης. τοῦ τε
φι πασχασίνου καὶ λουκινσίου. τῶν
εὐλαβεστάτων ἐπισκόπων· καὶ βο
νιφατίου τοῦ εὐλαβεστάτου πρεσ
βυτέρου ἐπεχόντων τὸν τόπον
τοῦ ὁσιωτάτου καὶ θεοφιλεστάτου
ἀρχιεπισκόπου τῆς πρεσβυτέ
ρας ῥώμης. λέοντος· καὶ ἀνατολίου
τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου
τῆς μεγαλωνύμου κωνσταντινου
πόλεως νέας ῥώμης· καὶ διοσκόρου
τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου
τῆς μεγαλοπόλεως ἀλεξανδρείας·
καὶ τῶν λοιπῶν ὁσιωτάτων καὶ
εὐλαβεστάτων ἐπισκόπων. τουτέστι·
μαξίμου ἀντιοχείας συρίας· ἰουβε
ναλίου ἱεροσολύμων· κϋντίλλου ἡρα
κλείας μακεδονίας. ἐπέχοντος τὸν
τόπον ἀναστασίου ἐπισκόπου θεσ
σαλονίκης· θαλασσίου καισαρείας
καππαδοκίας· στεφάνου ἐφέσου·
λουκιανοῦ βύζης ἐπέχοντος τὸν

[illegible]

τόπον κυριακοῦ ἐπισκόπου ἡρα
κλείας θράκης· εὐσεβίου ἀγκύρας
γαλατίας· διογένους κυζίκου· πέ
τρου κορίνθου· φλωρεντίου σάρ
δεων· εὐνομίου νικομηδείας· εὐ
σεβίου καὶ κωνσταντίνου πρεσβυ
τέρων ἐπεχόντων τὸν τόπον ἀνα
τολίου ἐπισκόπου νικαίας· ἐλευθε
ρίου χαλκηδόνος· ἰουλιανοῦ τῆς
κώων πόλεως· ἐπέχοντος καὶ αὐ
τοῦ τὸν τόπον τοῦ ἀποστολικοῦ
θρόνου τῆς πρεσβυτίδος ῥώμης·
λέοντος· βασιλείου ἰσαυρίας σελευ
κείας· μελετίου λαρίσσης ἐπέχοντος
τὸν τόπον δόμνου ἐπισκόπου ἀ
παμείας συρίας· ἀμφιλοχίου σίδης·
θεοδώρου ταρσοῦ· κύρου ἀναζαρβου·
κωνσταντίνου βόστρων· φωτίου τύρου·
θεοδώρου δαμασκοῦ· στεφάνου ἱερα
πόλεως· νόνου ἐδέσσης· συμεῶνος
ἀμίδης· ἐπιφανίου ἐπισκόπου ἐπέ
χοντος τὸν τόπον· ὀλυμπίου ἐπισ
κόπου κωνσταντίας· ἰωάννου σεβα
στείας· σελεύκου ἀμασείας· κωνσταν
τίνου μελιτινῆς· πατρικίου τυάνων·
πέτρου γαγγρῶν· ἀτταρβιονίου ἐπέ
χοντος τὸν τόπον· καλογήρου ἐπισ

σκόπου κλαυδιουπόλεως· ἀταρ-
βίου τραπεζοῦντος· ἐπέχοντος
τὸν τόπον· δωροθέου ἐπισκόπου
νεοκαισαρείας· φωτεινοῦ ἀρχιδι-
ακόνου ἐπέχοντος τὸν τόπον· θε-
οκτίστου ἐπισκόπου πισινοῦντος·
ῥωμανοῦ μύρων· κριτωνιανοῦ
ἀφροδισιάδος καρίας· νουνεχίου
λαοδικείας φρυγίας· μαριανοῦ συν-
νάδων· ὀνησιφόρου ἰκονίου· πε-
ργαμίου ἀντιοχείας πισιδίας· ἐπι-
φανίου πέργης· ἀττικοῦ νικοπόλε-
ως ἠπείρου· μαρτυρίου γορτύνης·
λουκᾶ δυρραχίου· [illegible]ου δη-
μητριάδος ἐπέχοντος τὸν τόπον
οὐϊγιλαντίου ἐπισκόπου λαρίσσης
θεσσαλίας· φραγκίωνος φιλιπ-
πουπόλεως· σεβαστιανοῦ βεροίας·
βασιλείου τραϊανουπόλεως· τρύ-
φωνος χίου ἐπέχοντος τὸν τόπον·
ἰωάννου ἐπισκόπου ῥόδου· θεοκτί-
στου βεροίας συρίας· γεροντίου σε-
λευκείας συρίας· εὐσεβίου πρεσβυ-
τέρου ἐπέχοντος τὸν τόπον· μακα-
ρίου ἐπισκόπου λαοδικείας συρίας·
εὐσεβίου δορυλαίου· σαβα πάλτου·
πέτρου γαβούλων· σωφρονίου κων-

φαυτίμης· πατρικίου νεοκαισα-
ρείας· μάρου. ἀναστάρθης· ῥωμύ-
λου χαλκίδος· εὐσταθίου βηρυτοῦ·
λεοντίου ἀσκάλωνος· ἀμμιανοῦ.
καππετωλιάδος· ζευδίμου πέλλης·
ἰωάννου τιβεριάδος· ἀντιόχου
ἀρκης· βηρύλλου ἀειλᾶ· ἀρέτα·
ἐλαύσης· μουσωνίου σηγώρ· ἔφυ
[illegible]ου βύβλου· παγκρατίου λιβυ-
άδος· ζωσίμου μηνοΐδος· πολυχ-
[illegible]ου. ἀντιπατρίδος· ἰωάνν-
[illegible]ι· παύλου ἀνθηδόνος·
φ[illegible]λύδδης· ἡρακλείου ἀζώ-
του [illegible]μοῦ γεράνων· φεφάνου
ἰαμνείας· ἐπικτήτου διοκλητι-
ανουπόλεως· ῥωμανοῦ εὐδοξιου-
πόλεως· θεοδώρου κλαυδιουπό-
λεως ἰσαυρίας· ἰουλίου κελενδέρε-
ως· τυράννου γερμανικουπόλεως·
ἰωάννου διοκαισαρείας· ἀκακίου
ἀντιοχείας· ἐπιφανίου κέρρων·
ἰουλιανοῦ σελημοῦντος· γαΐου συε-
δρων· ἀμμωνίου ἰωτάπης· ματά-
λου φιλαδελφείας· μάρκου ἀρεθού-
σης· τιμοθέου μαλαμέων· εὐσεβίου
σελευκοβήλου· ἐπιφανίου ἐπιφα-
νείας· παύλου μαριάμμης· λαμ-

παδίου ῥαφανέων· ἀλεξάνδρου
σεβαστης· φιλίππου ἀδάνης·
ὑπατίου ζεφυρίου· θεοδώρου αὐγού
ϛης· χρυσίππου μαλλοῦ· ἰουλιανοῦ
ῥώσσου· πολυχρονίου ἐπιφανείας·
ἰωάννου φλαυιάδος· ἰνδαμοῦ ϛ
ρημου πόλεως· σωφρονίου χωρε
πισκόπου ἐπέχοντος τὸν τόπον.
βασιανοῦ ἐπισκόπου μοψουεστίας·
πρόκλου ἀδράων· εὐλογίου φιλα
δελφείας· θεοδότου χαμωθας· ὀρ
μίσδου φιλίππου πόλεως· δαμιανοῦ
σιδῶνος· θεοδώρου τριπόλεως·
ὀλυμπίου πανεάδος· παύλου πτο
λεμαΐδος· παύλου ἀράδου· θωμᾶ
πορφυρεῶνος· πορφυρίου βοτρύ
ων· φωσφόρου ὀρθωσιάδος· πορ
φυρίου διακόνου ἐπέχοντος τὸν
τόπον. οὐρανίου ἐπισκόπου ἐ
μέσης· ἰωάννου ἡλιουπόλεως· ἰορ
δάνου ἀβίλης· βαλερίου λαοδικεί
ας· θωμᾶ εὐαρίας· ῥουφίνου σα
μοσάτων· ἰωάννου γερμανικείας·
τιμοθέου δολίχης· εὐορκίου ζεύ
γματος· ἀθανασίου πέργης· σε
βήρου μαρτυροπόλεως· καϊουμᾶ
μαρκοπόλεως· ἰωάννου καρρῶν·

ἀβραμίου κιρκισίου· ἰωάννου σα-
ρακηνῶν· μοσουχίφαι ἱέρακος· ἀ-
φθμαίου σαμίμου· δούλου ἀπολλωνί-
ου τάνεως· ἥρωνος θεννήσου· ἀ-
θανασίου βουσίρεως· πασινίου
παράλου· ἰσιδώρου σεθροΐτου· θε-
οφίλου κλεοπατρίδος· θεοδούλου γ
ἐλούσης· ἰανουαρίου λεόντων· ἰω-
ψινχαοῦ· αὐσονίου σεβεννύτου·
ἰσαὰκ τάουα· εὐλογίου ἀθρίβεως·
ἡσαΐου ἑρμουπόλεως· στεφάνου
ἐσρῶσ· νεστορίου φραγωνέως· θεο-
φίλου ἐρυθροῦ· μακαρίου καινάστ(ου)·
καλλινίκου ἀπαμείας βιθυνίας·
λευκαδίου μνιζου· ἰωάννου πολε-
μωνίου· πραγδιανοῦ χερασσοῦντ(ος)·
ἰουλιανοῦ ταουίας· μελιφθόγγου
ἰουλιουπόλεως· ἀκακίου κίννης·
εὐφρασίου λυσανίας· κεκροπίου σε-
βαστοπόλεως· ἰωάννου νικοπόλε-
ως· δωροθέου πρεσβυτέρου ἐπέ-
χοντος τὸν τόπον ἀνατολίου ἐπι-
σκόπου σαταλῶν· ἀττικοῦ ζήλων·
ἀντιόχου σινώπης· εὐχαρίου διϊω-
χόνου ἐπέχοντος τὸν τόπον· πα-
ραλίου ἐπισκόπου ἀνδραπόδων·
παύλου πρεσβυτέρου ἐπέχοντος

τὸν τόπον οὐρανίου ἐπισκόπου ἰ-
μέρων· ἀκακίου ἀριαραθείας· ἡρα-
κλείου κομάνων· ἀδελφίου χωρεπι-
σκόπου ἐπέχοντος τὸν τόπον ἀ-
δολίου ἐπισκόπου ἀραμνιασοῦ· εὐ-
φρονίου πρεσβυτέρου ἐπέχοντος
τὸν τόπον ἰωάννου ἐπισκόπου
ἀρχης· θεοδοσίου μαξιανοῦ· ἀρι-
στομάχου κολωνείας· ἐήμου ἰωνο-
πόλεως· ἐπιφανίου πρεσβυτέρου
ἐπέχοντος τὸν τόπον· αἰθερίου
ἐπισκόπου πομπηΐου πόλεως·
φιλοτίμου πρεσβυτέρου ἐπέχον-
τος τὸν τόπον θεμιστίου ἐπισκόπ(ου)
ἀμάστριδος· θεοδώρου ἡρακλείας·
εὐλογίου πρεσβυτέρου ἐπέχοντ(ος)
τὸν τόπον· γεμελλίου ἐπισκόπ(ου)
κρατείας· πελαγίου πρεσβυτέρου
ἐπέχοντος τὸν τόπον θεοφίλου
ἐπισκόπου ἀδριανοῦ πόλεως·
ἐλπιδίου τῶν θερμῶν· ἀκύλου
εὐδοξιάδος· μυφηρίου ἀμωρίου·
χρυσίππου πρεσβυτέρου ἐπέ-
χοντος τὸν τόπον κυριακοῦ ἐπι-
σκόπου τροχμάδων· λογγίνου
ὀρκιστοῦ· δοκιμασίου μαρωνείας·
σεβήρου μαξιμιανουπόλεως·

ῥοδόπης· αἰθερίχου σμύρνης·
εὐσεβίου κλαζομενῶν· κυριακοῦ
γάνης· μάμαντος ἀνινήτου· λεοντίου
μαγνησίας μαιάνδρου· κοΐντου
φωκίας· πρόκλου ὀργηέων· θωμᾶ
αὐλιουκώμης· ὀλυμπίου θεοδοσι-
ουπόλεως· φιλίππου νέας πόλεως·
ῥοφίμου μυριούλων· μαρκελλίνου
μητροπόλεως· ἠσαΐου ἐλετῶν·
παυλίνου θεοδοσιουπόλεως·
ἰουλιανοῦ ὑπαίπων· ἑσπέρου πι-
τάνης· προτερίου μυρίνης· βα-
σιλικοῦ παλαιᾶς πόλεως· μαιονί-
ου νύσης· πέτρου δαρδάνου· θα-
λασσίου παρείου· δαυὶδ ἀδρεανῶν·
εὐλαλίου πιονίου τρωάδος· στε-
φάνου ποιμανίνου· θεοσεβίου·
ἰλίου· ἑρμείου ἀβύδου· δανιήλου·
λαμψάκου· πατρικίου ἀδριανου-
θήρων· μενεκράτους κειρασσῶν·
κοσμίου ἱεροκαισαρείας ἐπέχοντος
καὶ τὸν τόπον· ἀνδρέου σατάλων·
ἠλία βλάνδου· πολυκάρπου ταβά-
λων· πατρικίου ἀκρασσοῦ· παύλου
τριπόλεως· ἀμαχίου σεττῶν· λευ-
κίου ἀπολλωνος ἱεροῦ· γεμέλλου [illegible]
στρατονικίας· ἀλκιβιάδου σιλάνδου·

διονυσίου ἀτταλείας· νικολάου
ἀχαραστέων ἐπέχοντος τὸν τόπον·
καὶ στεφάνου λιμύρων· ζηνοδότου
τελμισσοῦ· φρόντωνος φασηλιτῶν·
φιλίππου καλβουρέων· θεοδώρου
ἀντιφέλλου· λεοντίου ἀράζων· ἀντι-
πάτρου καύνου· ἀνδρέου τλοέων·
ῥωμανοῦ μυνδυκου κωμέων· νικίου μεγίστης·
ἀθανασίου ὀποῦντος· δημητρίου
πλαταιέων· ὀνησίμου ἀργους· μάρκου
ἀθροίας· περεγρίνου φοινίκης· εὐ-
-τυχίου ἀδριανουπόλεως· κλαυδί-
-ου ἀγχιασμοῦ· σωτηρίχου κερκύρας·
διονυσίου ἀντιοχείας· ἰωάννου τῶν
ἀλινδῶν· φλακίλλου ἰάσσου· παύλου
ἐρίζων· διονυσίου ἡρακλείας λάτμου·
μενάνδρου ἡρακλείας σαλβάκης·
εὐσεβίου στρατονικείας· ἰωάννου
ἀμαζόνος· τυγχανίου ἀπολλωνι-
-άδος· θεοδωρίτου ἀλαβάνδων·
ἰωάννου κνίδου· ἰουλιανοῦ πρεσ-
-βυτέρου ἐπέχοντος τὸν τόπον καλ-
-λανδίωνος ἁλικαρνασσοῦ· δανιήλου
κάδων· μοδέστου σεβάστης· παύλου
ἀριαθίου· εὐλαλίου σιωλίας· χαρίτωνος·
διονυσίου πόλεως· ἰωάννου τρα-
-πεζοπόλεως· γενναδίου ἀκμονέων·

θωμᾶ θεοδοσιουπόλεως· γερμ̄ κλαυ-
-δίου μοσσύνων· εὐάνδρου διοκλείας·
γεροντίου βασιλινουπόλεως· ἀλ-
-φειοῦ μύνδου· θεοκτίστου πρεσβυτέ-
-ρου· ἐπέχοντος τὸν τόπον· διογένους
ὀρθωσιέων· φιλοθέου πρεσβυτέρου
ἐπέχοντος τὸν τόπον ζωτικοῦ ἁριασ-
-σοῦ· ἐπιφανίου μιδαΐου· ἀβερκίου
ἱεραπόλεως· κυριακοῦ εὐκαρπίας·
εὐτροχίου δοκιμίου· ἀκύλου αὐροκρῶν·
βασιλείου νακολείας· στρατηγίου πο-
-λυβώτου· νεοπτολέμου κόρνων· παύ-
-λου δέρβης· πλουτάρχου λύστρων· εὐ-
-γενίου κάνων· ῥούφου ὕδης· τυράν-
-νου ὁμονάδων· ἀχολίου λαράνδων·
εὐτροπίου ἀδάδων· παύλου φιλομη-
-λίου· μυλίνου ἀπαμείας· θεοτέκνου
τυρέου· ἑορτικίου μητροπόλεως·
κύρου σινιάνδου· λιμάφου παρπα-
-λάου· ἀλεξάνδρου σελευκείας· ὀλυμ-
-πίου σωζοπόλεως· ἀδήτου χωρε-
-πισκόπου ἐπέχοντος τὸν τόπον με-
-σαλίου ἐπισκόπου λαοδικείας· μασ-
-σῶν νέας πόλεως· φλωρεντίου ἀ-
-δριανουπόλεως· μωϊανοῦ λιμένου·
εὐελπίστου χωρεπισκόπου ἐπέχον-
-τος τὸν τόπον· φλωρεντίου ἐπισκό-

τομέδου· σωτῆρος θεοδοσιανῆς·
[illegible]χοντος τὸν τόπον καὶ ἡλίου
ἐπισκόπου ἀμαθοῦντος· και
προεχίου ἐπισκόπου ἀρσινόης·
ἐπαφροδίτου ταμάσου ἐπέχον
τος τὸν τόπον. καὶ διδύμου ἐπι
σκόπου λαπήθου· διονυσίου διά
κόνου ἐπέχοντος τὸν τόπον. φω
τεινοῦ ἐπισκόπου χύθρων· ἰωάν
νου μεσσήνης· ὠφελίμου τεγέας· χ
ρηναίου ναυπάκτου· κυρίλλου σου
ρητος· γομμαδίου κνωσσοῦ· εὐσε
βίου ἀπολλωνείας· δημητρίου π[illegible]
τηνης· εὐφράτου ἐλευθέρνης ἐπέχον
τος τὸν τόπον. καὶ παύλου ἐπισκό
που καντάνης· σώζοντος φιλίππων·
εὐσεβίου δουνήρων· μαξιμίνου σερ
ρων· νικολάου στόβων· δαρδανίου
βαργάλων· ἰωάννου παρθικοπό
λεως· ὁμωράτου θάσου· θεοφίλου
ἀριέσου· νέωνος σιλλύου· διοδότου
λυσινέων· μαρακοδραύλων· παύλου
σουγλων· μαρκελλίνου ἰατηδόνος·
μακεδόνος μαγύδου· εὐδοξίου ἐτεν
νων· εὐτροπίου κοτέννων· μαρκιανοῦ
κοραλλίας· ὀυρίνου κορακησίου· πέ
τρου ἐχημαίου· αὐρηλίου ἀθρου·

εὐσταθίου ἔθνους σαρακηνῶν· ῥεστι-
γιανοῦ ἄφρου:·

Πάντες οἱ συναχθέντες ἐπίσκοποι
ἐν χαλκηδόνι:·

Καὶ καθεσθέντων τῶν μεγαλοπρε-
πεστάτων καὶ ἐνδοξοτάτων ἀρχόν-
των καὶ τῆς ὑπερφυεστάτης συγ-
κλήτου ἐν τῷ μέσῳ πρὸ τῶν καγκέ-
λων τοῦ ἁγιωτάτου θυσιαστηρίου·
καὶ ἐκ μὲν τοῦ εὐωνύμου αὐτῶν μέ-
ρους· καθεσθέντων τῶν ὁσιωτά-
των τοποτηρητῶν τοῦ θεοφιλε-
στάτου καὶ ἁγιωτάτου ἀρχιεπισκό-
που τῆς πρεσβυτέρας ῥώμης λέ-
οντος· καὶ ἀνατολίου τοῦ θεοσεβε-
στάτου ἀρχιεπισκόπου τῆς βα-
σιλευούσης κωνσταντινουπόλε-
ως· καὶ μαξίμου τοῦ εὐλαβεστάτου
ἐπισκόπου ἀντιοχείας· καὶ θαλασ-
σίου τοῦ εὐλαβεστάτου ἐπισκόπου
καισαρείας· καὶ στεφάνου τοῦ εὐ-
λαβεστάτου ἐπισκόπου ἐφέσου·
καὶ τῶν λοιπῶν εὐλαβεστάτων ἐ-
πισκόπων· τῆς τε ἀνατολικῆς·
καὶ ποντικῆς· καὶ ἀσιανῆς· καὶ θρᾳ-
κικῆς τῶν διοικήσεων· ἄνευ τῶν
παλαιστηνῶν· ἐκ δὲ τοῦ δεξιοῦ

αὐτῶν μέρους. ὁμοίως καὶ θεαθέν-
των Διοσκόρου τοῦ εὐλαβεστάτου
ἀρχιεπισκόπου Ἀλεξανδρείας· καὶ
Ἰουβεναλίου τοῦ εὐλαβεστάτου ἐ-
πισκόπου Ἱεροσολύμων· καὶ Κυν-
τίλλου τοῦ εὐλαβεστάτου ἐπισκόπου
τοποτηροῦντος Ἀναστασίου τοῦ
εὐλαβεστάτου ἐπισκόπου Θεσσαλο-
νίκης· καὶ Πέτρου τοῦ εὐλαβεστάτου ἐ-
πισκόπου Κορίνθου· καὶ τῶν λοι-
πῶν τῶν τε τῆς Αἰγυπτιακῆς διοι-
κήσεως καὶ τοῦ Ἰλλυρικοῦ ἐπισκόπων
καὶ τῶν Παλαιστηνῶν εὐλαβεστάτων
ἐπισκόπων· προκειμένου ἐν τῷ
μέσῳ τοῦ ἁγίου καὶ ἀχράντου
εὐαγγελίου:· Τούτων τοίνυν ἐμ-
βληθέντων ἑρμηνευθέντων διὰ Βερο-
νικιανοῦ τοῦ καθωσιωμένου ση-
κρηταρίου τοῦ θείου κονσιστωρίου:·
Πασχασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος
φύλαξ τοῦ ἀποστολικοῦ θρόνου
σταθεὶς ἐν μέσῳ μετὰ καὶ τῶν συνέδ-
ρων αὐτοῦ, ἔφη· τοῦ μακαριω-
τάτου καὶ ἀποστολικοῦ ἐπισκόπου
τῆς Ῥωμαίων πόλεως κεφαλῆς ὑ-
πάρχοντος πασῶν τῶν ἐκκλησι-
ῶν, προστάξεις ἔχομεν· ἐν χερσὶ καὶ

ξίωσε διαλαλῆσαι· ὅπως Διόσκορος
μὴ συγκαθέζηται τῷ συνεδρίῳ· εἰ
δὲ ἐπιχειρήσοι τοῦτο τολμῆσαι, ἐκ-
βληθείη· τοῦτο ἀναγκαῖον ἡμῖν ἐστὶ πα-
ραφυλάξαι· εἰ παρίσταται τοίνυν τῇ
ὑμετέρᾳ μεγαλειότητι· ἢ ἐκεῖνος
ἐξελθέτω ἢ ἡμεῖς ἐξίωμεν· οἱ ἐνδοξότα-
τοι ἄρχοντες καὶ περιφανέστατοι συγ-
κλητικοὶ εἶπον· ποία γὰρ ἰδικὴ μέμ-
ψις προσάγεται Διοσκόρῳ τῷ εὐλαβε-
στάτῳ ἐπισκόπῳ· Πασχασῖνος ὁ
εὐλαβέστατος ἐπίσκοπος καὶ φύ-
λαξ τοῦ ἀποστολικοῦ θρόνου εἶπεν·
αὐτοῦ δὲ εἰσελθόντος ἀναγκαῖον ἐστὶν
ἐκεῖνον ἀντιτεθῆναι· οἱ λαμπρότατοι
ἄρχοντες καὶ περιφανέστατοι συγκλη-
τικοὶ εἶπον· τῷ ἤδη διαλαληθέντι τῷ
ἰδικῶς· ἡ αἰτία φανερούσθω, ἐν ᾗ
ὑπόκειται· Λουκίνσιος ὁ εὐλαβέστατος
ἐπίσκοπος ἐπέχων τὸν τόπον τῆς
ἀποστολικῆς καθέδρας εἶπεν· τῆς
ἰδίας κρίσεως λόγον ἀποδότω· πρό-
σωπον γὰρ ἥρπασε τοῦ κρίνειν ὅπερ
οὐκ ἐκέκτητο· καὶ σύνοδον ἐτόλμησε
ποιῆσαι ἐπιτροπῆς δίχα τοῦ ἀποστο-
λικοῦ θρόνου· ὅπερ οὐδέποτε γέ-
γονεν οὐδὲ ἐξὸν γενέσθαι· Πασχασῖ-

μος ὁ εὐλαβέστατος ἐπίσκοπος ἐ-
πέχων τὸν ἀποστολικὸν θρόνον·
εἶπεν· ἡμεῖς ὑπὲρ ἀπάντων τῶν προ-
σταγμάτων τοῦ μακαριωτάτου καὶ
ἀποστολικοῦ ἐπισκόπου καὶ χειρί-
ζοντος τὸν ἀποστολικὸν θρόνον ἐλ-
θεῖν οὐ δυνάμεθα· οὔτε μὴν ὑπὲρ ἁπ-
άντων τῶν ἐκκλησιαστικῶν κανόνων
ἢ πατρικῶν παραδόσεων· οἱ λαμ-
πρότατοι ἄρχοντες καὶ περιφανέ-
στατοι συγκλητικοὶ εἶπον· ἁρμόζει ὑ-
μᾶς ἰδικῶς τί ἐπιτάσσετε σαφηνίσαι
λουκήνσιος ὁ εὐλαβέστατος ἐπίσκοπος
καὶ τὸν ἀποστολικὸν θρόνον ἐπέχων·
ἔφη· οὐκ ἔχομεν ὑπομένειν τοσαύτην
ὕβριν γενέσθαι ἡμῖν τε καὶ ὑμῖν· ὥσ-
τε καθέζεσθαι τοῦτον τὸν ἐπὶ κρίσει
παραγενόμενον· οἱ λαμπρότατοι
ἄρχοντες καὶ περιφανέστατοι συγ-
κλητικοὶ εἶπον· εἰ δικαστοῦ ἐπέχεις
πρόσωπον. ὡς δικαζόμενος οὐκ ὀ-
φείλεις δικαιολογεῖσθαι· καὶ διόσκορος
τοῦ εὐλαβεστάτου ἐπισκόπου ἀλεξαν-
δρείας κατὰ κέλευσιν τῶν ἐνδοξο-
τάτων ἀρχόντων καὶ τῆς ἱερᾶς συγ-
κλήτου καθεσθέντος ἐν τῷ μέσῳ·
καὶ καθεσθέντων τῶν ῥωμαίων ὁ

λαβεστάτων ἐπισκόπων ἐν τοῖς
ἰδίοις τόποις καὶ ἡσυχασάντων.
Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκο-
πος τῆς Δορυλαέων πόλεως πα-
ρελθὼν ἐν τῷ μέσῳ εἶπε· τὴν σω-
τηρίαν ὑμῶν τῶν δεσποτῶν τῆς
οἰκουμένης. κελεύσατε τὰς δεήσεις
τὰς ἐμὰς ἀναγνωσθῆναι· καὶ τὰς
παραθήκας τοῦ εὐσεβεστάτου βασιλεῖ·
ἠδίκημαι παρὰ Διοσκόρου· ἠδίκη-
ται ἡ πίστις· ἐφονεύθη Φλαβιανὸς
ὁ ἐπίσκοπος ἅμα ἐμοὶ καὶ καθῃρέθη
ἀδίκως παρ' αὐτοῦ· κελεύσατε τὰς
δεήσεις μου ἀναγνωσθῆναι. οἱ ἐν-
δοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυ-
ὴς σύγκλητος εἶπον· ἀναγινωσκέ-
σθωσαν αἱ δεήσεις· καὶ καθεσθέντος
ἐν τῷ μέσῳ Εὐσεβίου τοῦ εὐλαβεστά-
του ἐπισκόπου κατὰ κέλευσιν τῶν ἀρχόν-
των· Βερονικιανὸς ὁ καθωσιωμέ-
νος σηκρητάριος τοῦ θείου κωνσιστω-
ρίου. λαβὼν παρ' αὐτοῦ τὰς δεήσεις
ἀνέγνω· τοῖς φιλοχρίστοις καὶ εὐσε-
βεστάτοις βασιλεῦσιν ἡμῶν. Φλαυ-
ίοις Οὐαλεντινιανῷ καὶ Μαρκιανῷ,
τοῖς αἰωνίοις αὐγούστοις. παρὰ Εὐ-
σεβίου τοῦ ἐλαχίστου ἐπισκόπου

δορυλλαίου ποιουμένου τὸν λόγον·
ὑπέρ τε ἑαυτοῦ καὶ τῆς ὀρθοδόξου
πίστεως· καὶ ὑπὲρ τοῦ ἐν ὁσίοις φλα-
βιανοῦ τοῦ γενομένου ἐπισκόπου
κωνσταντινουπόλεως· σκοπὸς τῷ
ὑμετέρῳ κράτει· ἁπάντων μὲν τῶν
ὑπηκόων προνοεῖν· καὶ χεῖρα ὀρέγειν
ἅπασι τοῖς ἀδικουμένοις· μάλιστα
δὲ τῶν εἰς ἱερωσύνην τελούντων· καὶ
ἐν τούτῳ· τὸ θεῖον θεραπεύεται·
παρ' οὗ τὸ βασιλεύειν ὑμῖν καὶ κρα-
τεῖν τῶν ὑφ' ἡλίῳ δεδώρηται· ἐπεὶ
οὖν πολλὰ καὶ δεινά· καὶ παρὰ πᾶ-
σαν ἀκολουθίαν εἰς χριστοῦ πίστιν· καὶ
ἡμεῖς πεπόνθαμεν· παρὰ διοσκό-
ρου τοῦ εὐλαβεστάτου ἐπισκόπου
τῆς ἀλεξανδρέων μεγαλοπόλεως·
πρόσιμεν τῇ ὑμετέρᾳ εὐσεβείᾳ·
τῶν δικαίων ἀξιοῦντες τυχεῖν· τὰ
δὲ τοῦ πράγματος ἐν τούτοις· ἐπὶ
τῆς ἔναγχος γενομένης συνόδου
ἐν τῇ ἐφεσίων μητροπόλει· ἣν ὄφε-
λόν γε ἡμῖν μὴ γενέσθαι· ἵνα μὴ κακῶν
καὶ ταραχῆς τὴν οἰκουμένην ἐμπλή-
σῃ· ὁ χρηστὸς διόσκορος· παρ' οὐδὲν
θέμενος τὸν τοῦ δικαίου λόγον·
καὶ τὸν τοῦ θεοῦ φόβον· ὁμόδοξος ὢν

καὶ ὁμόφρονα Εὐτυχοῦς τοῦ ματαιό-
φρονος καὶ αἱρετικοῦ· λαμβάνων δὲ
τοὺς πολλοὺς ὡς ὑφορώμενος αὐτὸν ἐ-
φανερωθῆν· εὑρὼν καιρὸν τὴν γε-
νομένην παρ' ἐμοῦ κατὰ Εὐτυχοῦς
τοῦ ὁμοδόξου αὐτοῦ κατηγορίαν· καὶ
τὴν ἐπ' αὐτῷ ἐξενεχθεῖσαν ψῆφον·
παρὰ τοῦ τῆς ὁσίας μνήμης Φλα-
βιανοῦ τοῦ ἐπισκόπου· πλῆθος
ἄτακτον ὄχλων συναγαγὼν· καὶ δυ-
ναστείαν ἑαυτῷ διὰ χρημάτων πο-
ρισάμενος· τήν τε εὐσεβῆ θρησκεί-
αν τῶν ὀρθοδόξων τό γε ἧκον εἰς αὐ-
τὸν ἐλυμήνατο· καὶ τὴν κακοδοξίαν
Εὐτυχοῦς τοῦ μονάζοντος ἥτις ἄ-
νωθεν καὶ ἐξ ἀρχῆς παρὰ τῶν ἁγί-
ων πατέρων ἀπεκηρύχθη ἐβεβαίωσεν·
ἐπεὶ οὖν οὐ μικρὰ τὰ τετολμημένα
αὐτῷ· κατά τε τῆς εἰς Χριστὸν πίστεως
καὶ καθ' ἡμῶν· δεόμεθα καὶ προσ-
πίπτομεν τῷ ὑμετέρῳ κράτει· θε-
σπίσαι τὸν εὐλαβέστατον ἐπίσκοπον
Διόσκορον· ἀπολογήσασθαι τοῖς παρ'
ἡμῶν αὐτῷ ἐπαγομένοις· δηλαδὴ
τῶν παρ' αὐτοῦ καθ' ἡμῶν πεπραγ-
μένων ὑπομνημάτων· ἀναγινωσ-
κομένων ἐπὶ τῆς ἁγίας συνόδου·

δι' ὧν δυνάμεθα ἀποδεῖξαι αὐτὸν
καὶ ἀλλότριον ὄντα τῆς ὀρθοδόξου
πίστεως· καὶ αἱρέσεων ἀσεβείας
πεπληρωμένην· κρατύνωνται·
καὶ ἀδίκως ἡμᾶς καθελόντα· καὶ
τὰ δεινὰ εἰς ἡμᾶς κατεργασάμε-
νον· θείων καὶ προσκυνουμένων
ὑμῶν μανδάτων· καταπεμπομέ-
νων τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνό-
δῳ τῶν θεοφιλεστάτων ἐπισκόπων·
ἐφ' ᾧ τε ἡμῶν καὶ τοῦ προειρημέ-
νου διοσκόρου· διακοῦσαι καὶ ἀνε-
νεγκεῖν εἰς γνῶσιν τῆς ὑμετέρας εὐ-
σεβείας· πάντα τὰ πραττόμε-
να πρὸς τὸ παριστάμενον τῇ ἀθα-
νάτῳ ὑμῶν κορυφῇ· καὶ τούτου τυ-
χόντες· ἀδιαλείπτους εὐχὰς ἀνα-
πέμψομεν ὑπὲρ τοῦ αἰωνίου ὑ-
μῶν κράτους θειότατοι βασιλεῖς·
οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερ-
φυὴς σύγκλητος εἶπε· διαλυέσθω
τὰ εἰσαγόμενα· διόσκορος ὁ εὐλα-
βέστατος ἐπίσκοπος ἀλεξανδρεί-
ας εἶπεν· ἐκέλευσεν ὁ εὐσεβέστατος
βασιλεὺς· σύνοδον συγκροτηθῆναι·
καὶ δὴ συγκροτεῖται κατὰ θεῖον μάν-
δατα τοῦ εὐσεβεστάτου βασιλέως

[illegible]

ἡμῶν· περὶ δὲ τῶν πεπραγμέ-
νων διὰ τὸν γενόμενον ἐπίσκο-
πον τῆς κωνσταντινουπόλε-
ως ἁγίας ἐκκλησίας φλαβιανὸν
ὑπομνήματα εἰσὶ πεπραγμέ-
να ἐν τῇ ἁγίᾳ συνόδῳ· καὶ πα-
ρακαλῶ ταῦτα ἀναγνωσθῆναι·
εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκο-
πος δορυλαίου εἶπε· ταὐτὰ
καὶ ἡμεῖς ἐξαιτοῦμεν· οἱ ἐνδο-
ξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυ-
ὴς σύγκλητος εἶπε· πάντα τὰ
ἐν τῇ ὑποθέσει ταύτῃ παρακο-
λουθήσαντα κατὰ τάξιν ἀναγι-
νωσκέσθω· καὶ πρὸ τῆς ἀναγνώ-
σεως. διόσκορος ὁ εὐλαβέστατος
ἐπίσκοπος ἀλεξανδρείας εἶπε·
παρακαλῶ τὴν ὑμετέραν μεγαλο-
πρέπειαν· ἐν πρώτοις τὰ τῆς
πίστεως γυμνασθῆναι: οἱ ἐνδοξό-
τατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς
σύγκλητος εἶπε· τέως πρὸς τὴν
κατηγορίαν ἀποκρίνασθαί σε προ-
σήκει· ὅθεν περίμεινον τὴν τῶν
πεπραγμένων γενέσθαι ἀνάγνω-
σιν· ὅπερ καὶ αὐτὸς γενέσθαι ἐζή-
τησας· κωνσταντῖνος ὁ καθω-

[illegible]

-σιωμένος σηκρητάριος τοῦ θείου
κονσιστωρίου εἶπεν· ἔστι τὰ θεῖα γράμ-
-ματα τὰ διαφόρως ἀποσταλέντα
παρὰ τῆς συνόδου τῆς προσημει-
-ωμένης εἰς χεῖρας. καὶ ἀναγνώσο-
-μαι· καὶ ἀπὸ κώδικος ἀνέγνω· ὅτι τῆς
θείας λήξεως Θεοδόσιος· Διοσκόρῳ
τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ ἀλεξαν-
-δρείας· αὐτοκράτορες καίσαρες·
Θεοδόσιος καὶ οὐαλεντινιανὸς νι-
-κηταὶ τροπαιοῦχοι μέγιστοι ἀεισέβα-
-στοι αὔγουστοι. Διοσκόρῳ· ἅπασι δῆ-
-λον καθέστηκεν. ὅτι τῆς ἡμε-
-τέρας πολιτείας κατάστασις. καὶ
πάντα τὰ ἀνθρώπινα τῇ περὶ τὸ
θεῖον εὐσεβείᾳ συνέχεται καὶ κρα-
-τύνεται· καὶ τοῦ κρείττονος εὐμε-
-νοῦς τυγχάνοντος· δυνατὸν καὶ κατὰ
γνώμην προκαίνειν πέφυκε· καὶ δι-
-οικεῖσθαι τὰ πράγματα· βασιλε-
-ύειν τοίνυν παρὰ τῆς θείας λαχόν-
-τες προνοίας· τῆς τῶν ὑπηκόων
εὐσεβείας τε καὶ εὐπραγίας· ἀναγκαί-
-ως πλείστην ὅσην φροντίδα ποιού-
-μεθα· ὥστε καὶ τὴν ἀληθῆ θρησκείαν
καὶ τὴν καθ' ἡμᾶς πολιτείαν· τῇ
περὶ τὸ κρεῖττον εἰλικρινεῖ θεραπεί-
ᾳ τε

[illegible]

καὶ εὐσεβείας συγκροτουμένης ἐκλάμ-
πειν· ἐπὶ τοῦ παρόντος τοίνυν ἀνα-
κυψάσης ἐξαίφνης ἀμφιβολίας τινὸς
εἰς τὴν τοῦ καθολικοῦ καὶ ἀποστολι-
κοῦ δόγματος τῆς ἡμετέρας ὀρθοδό-
ξου πίστεως παραφυλακήν· ἥτις ὡς
εἰκὸς διαφόροις ἐννοίαις ἀνθέλκουσα
διαταράττει καὶ συνέχει τὰς τῶν ἀν-
θρώπων αἰσθήσεις τε καὶ ψυχάς· οὐκ
ἀνεκτὸν νομίσαντες τὸ τοιοῦτον ἀτό-
πημα παριδεῖν· ὡς ἂν μὴ τοῦτο πα-
ροφθὲν εἰς ὕβριν αὐτοῦ τοῦ κρείττο-
νος ἂν παρέχειν δόξειεν· ἐθεσπίσα-
μεν κατὰ τὸ αὐτὸ συνελθόντων ὁσι-
ωτάτων καὶ θεοφιλεστάτων ἀνδρῶν·
οἷς πλείστη φροντὶς εὐσεβείας τε καὶ τῆς
ὀρθοδόξου καὶ ἀληθινῆς πίστεως λό-
γος καθέστηκε· πᾶσαν μὲν τοιαύτην
ἀκριβῶς ζήτησιν τῆς πίστεως προτεθείσης·
διαλυθῆναι μὲν πᾶσαν ἀμφισβήτη-
σιν· τὴν δὲ ἀληθινὴν καὶ τῷ θεῷ φίλην·
τουτέστι τὴν ὀρθόδοξον κρατυνθῆναι
πίστιν· καὶ ἡ σὴ τοιγαροῦν ὁσιότης
προσλαβοῦσα σὺν ἑαυτῇ δέκα μὲν
εὐλαβεστάτους ἐπισκόπους τοὺς
ὑπὸ τὴν αὐτὴν διοίκησιν μητρο-
πολίτας· ἑτέρους δὲ δέκα ὁσιω-

ἱεροσολύμων ἰουβεναλίου· καὶ ὁ θε
οσεβέστατος ἀρχιεπίσκοπος θαλάσ
σιος· καὶ πᾶς τοιοῦτος θερμὸς τῆς
ὀρθοδοξίας ἐραστὴς καὶ ζηλωτής·
ὁμογνώμονες ἔσονται τῇ ἁγίᾳ συνόδῳ
μηδὲν ἐλλιπούσῃ διὰ τὴν τοῦ θεοῦ χά
ριν· ἐπί τε τῇ τοῦ υἱοῦ σεμνότητι καὶ
τῇ ὀρθοτάτῃ πίστει· τοῦτο γὰρ καὶ πάντα
τι προσθήκην τινὰ ἢ μείωσιν τῶν
ἐκτεθέντων περὶ τῆς πίστεως πα
ρὰ τῶν ἁγίων ἐν νικαίᾳ πατέρων· καὶ
μετὰ ταῦτα ἐν ἐφέσῳ ἐπιχειρήσαν
τας εἰπεῖν· οὐδεμίαν παντελῶς παρ
ρησίαν ἐν τῇ ἁγίᾳ συνόδῳ ἔχειν ἀνε
χόμεθα· ἀλλὰ καὶ ἑαυτοὺς τὴν ὑμετέραν
εἶναι κρίσιν βουλόμεθα· ἐπειδὴ καὶ
τούτου ἕνεκα. καὶ νῦν τὴν ἁγίαν σύνο
δον συγκροτηθῆναι διετυπώσαμεν·
τοῦ αὐτοῦ τύπου ἐγράφη καὶ ἰουβενα
λίῳ τῷ εὐλαβεστάτῳ ἐπισκόπῳ ἱερο
σολύμων ἐν χαλκηδόνι· διόσκορος
ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς ἀλε
ξανδρέων εἶπεν· ἐπήκοος ἐν ἡ ὑμε
τέρα φιλανθρωπία ὅτι οὐκ ἐμοὶ μόνῳ ὁ θει
ότατος ἡμῶν βασιλεὺς ἐπέτρεψε
τὴν κρίσιν· ἀλλὰ καὶ τῷ θεοσεβεστάτῳ
ἐπισκόπῳ ἰουβεναλίῳ· καὶ τῷ ὁσι

-ωτάτου ἐπισκόπου Θαλασσίου· τὴν
αὐθεντίαν τῆς συνόδου δέδωκεν·
ἡμεῖς τοίνυν ἐκρίναμεν τὰ κεκριμέ-
-να· συνῄνεσεν ἡμῖν πᾶσα ἡ σύνοδος·
διὰ τί εἰς ἐμὲ μόνον ἀποτείνονται αὐτοί·
ὅτι ἡ αὐθεντία ἐπιστεύθη τοῖς περὶ
-σι· καὶ τοῖς κεκριμένοις παρ' ἡμῶν·
συνῄνεσεν ἡμῖν πᾶσα ἡ σύνοδος· καὶ
κατέθετο οἰκείαις φωναῖς· καὶ ὑπέγρα-
-ψε καὶ ἀνηνέχθη τῷ εὐσεβεστάτῳ βα-
-σιλεῖ· πρὸ τῆς θείας λήξεως Θεοδοσίῳ·
καὶ ἐβεβαίωσε πάντα τὰ κεκριμέ-
-να παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς
συνόδου νόμῳ γενικῷ :— οἱ ἀνατολι-
-κοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπί-
-σκοποι ἐξεβόησαν· οὐδεὶς συνῄνεσε·
βία ἐγένετο· μετὰ πληγῶν· εἰς
ἄγραφον χάρτην ὑπεγράψαμεν· κα-
-θαίρεσις ἡμῖν ἠπειλήθη· ἐξορία ἡμῖν
ἠπειλήθη· στρατιῶται μετὰ ῥοπάλων
καὶ ξιφῶν ἐπέστησαν· καὶ τὰ ῥόπαλα
καὶ τὰ ξίφη ἐφοβήθημεν· ὅπου ξίφη
καὶ ῥόπαλα· ποία σύνοδος· στρατιώτας
διὰ τοῦτο ἔλαβε· τὸν φονέα ἔξω βάλε·
Φλαβιανὸν στρατιῶται καθεῖλον :·
οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστα-
-τοι ἐπίσκοποι ἐξεβόησαν· αὐτοὶ

προσῶποι ὑπέγραψαν. κληρικοὶ μὲν δι'
ἀπικράζουσιν· ἡ σύνοδος· ἐπισκόπ-
ων ἐστίν. οὐχὶ κληρικῶν· τοὺς περιαστοὺς
ἔξω βάλε· οἱ ὑπογράψαντες εἰς μέσον
ἐλθέτωσαν· μεθ' ὑμᾶς ἡμεῖς ὑπεγράψαμεν.
Στέφανος ὁ εὐλαβέστατος ἐπίσκοπος
Ἐφέσου εἶπεν· ὅτι βίᾳ καὶ ἀνάγκῃ γε-
γόμενα τὰ γεγονότα· Θεὸς μαρτυρεῖ καὶ
ὅτι μὴ θέλοντες εἰς τὴν καθαίρεσιν
τοῦ μακαρίου Φλαβιανοῦ ὑπεγράψα-
μεν· Θεὸς μαρτυρεῖ· καὶ γὰρ πάντας
τοὺς κληρικοὺς αὐτοῦ ἐν τῇ Ἐφεσίων
μητροπόλει παραγενομένους·
ἐπίσκοπος ὤν· ἐδεξάμην καὶ ἐκοι-
νώνησα αὐτοῖς· καὶ πᾶσαν εὔνοι-
αν εἰς αὐτοὺς ἐπεδειξάμην· οἱ ἐνδο-
ξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς
σύγκλητος εἶπε· τίς ὑμᾶς ἐβιάσα-
το· Στέφανος ὁ εὐλαβέστατος ἐπί-
σκοπος τῆς Ἐφεσίων εἶπεν·
ὡς ἐπεδεξάμην εἰς κοινωνίαν Ἐλπί-
διον τὸν πρεσβύτερον· καὶ τοὺς ἄλλους
διακόνους· καὶ τὸν ἐπίσκοπον Εὐσε-
βιον· οἶδε δὲ καὶ αὐτὸς ὁ ἐπίσκοπος
Εὐσέβιος· ὅτι ἐδεξάμην αὐτούς· ἐπῆλ-
θον μοι εἰς τὸ ἐπισκοπεῖον· Ἐλπίδιος
εὐλόγιος καὶ στρατιῶται· καὶ οἱ μοναί

ξόντων εἰ τύχε ὡς ὀνόματα ὡς τρια-
κόσια· καὶ ἐμέλλομεν φονεύειν λέγον-
τες· ὅτι τοῖς ἐχθροῖς τοῦ βασιλέως
ἐδόξαζον· ἐχθρὸς εἶ τοῦ βασιλέως· λέγω
ἐγὼ ξενοδόχος εἰμί· οὐδὲν ἐπικοινω-
νῶ τῷ πράγματι· ἐγὼ οὐκ ἠδυνάμην
ἀκοινωνήτους ποιῆσαι τοὺς κοινωνι-
κοὺς ἐλθόντας· καὶ ὑπὸ βίας καὶ ἀνάγ-
κης γέγονε πάντα· οἱ ἐνδοξότατοι
ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος
εἶπον· Στέφανος ὁ εὐλαβέστατος ἐ-
πίσκοπος τῆς Ἐφεσίων πόλεως
εἶπεν· ὡσαύτως οἱ αὐτοῦ καὶ οἱ
κομήτων ἐπισήμων ὡς οὖν συνεχωρήθη
ἀναχθεὶς ἀπὸ τῆς ἐκκλησίας τοῦ ση-
κρήτου· ὥστε τοῦ ὑπέγραψαι τῷ μὴ
Διοσκόρου καὶ Ἰουβεναλίου καὶ τοῦ
Κύρου Θαλασσίου καὶ τῶν ἄλλων ἐπι-
σκόπων οἷς ἐγράφη· Θαλάσσιος
ὁ εὐλαβέστατος ἐπίσκοπος τῆς Και-
σαρέων πόλεως εἶπεν· Εἰς τὴν
σάκραν μὲν ἐτέθην ἐγώ· οὐκ ᾔδειν δὲ
πῶς ἐτέθην· ὅμως ἐν τῷ γίνεσθαι
τιμαὶ ἐγὼ καὶ ἐκώλυσα· καὶ ἠθέλησα
ὑπερθέσθαι καὶ ἐσπούδασα· καὶ εἰσὶ
μάρτυρες· Θεόδωρος ὁ εὐλαβέ-
στατος ἐπίσκοπος Κλαυδιουπόλεως

Ἰσαυρίας εἶπε· Διόσκορος καὶ Ἰουβε-
νάλιος· καὶ ὅσοι πρῶτοι ὑπέγραψαν·
οἷς ἐπετρέψθημεν ὁ δὲ ὡς ὅτι τῆς τῆς οἰκου-
μένης ὡς ὀρθοδόξοις διακρίνειν τὰ
τῆς πίστεως· διασκευασάμενοι πο-
νηροὺς παρ' ἑαυτοῖς λογισμούς· ἤκασ-
τους ἐπ' ἀκεραίως καθημένους εἰς ἡγ-
γον ὥσπερ κριτὰς ἀμνοὺς ἠγνοηκότας
τὸ πρᾶγμα· καὶ ἀνεγίνωσκετο μὲν
τὰ ὑπομνήματα· καὶ ηὐφήμει τὸ
ὁ τῆς μακαρίας μνήμης Φλαβιανός·
μεταξὺ δὲ τῶν εὐφημιῶν ἤλεγον βοῶν
ποιουμένων ὡς καλῶς πεπραγμένων ὀρθ-
πραχθέντων· μεταξὺ δὲ ταῦτα ἵνα ἡ-
μᾶς ποιήσωσιν· ἀνεκίνησαν τὴν πα-
ραπλησίαν μετεωρίου αἱρέσεων· ἐπιφη-
μίσαντες ἡμῖν εἰς δύο ποιήσαντες τοὺς
λέγοντας δύο φύσεις· πρὸς τοὺς δύο
λέγοντας διχάσαντες· ἀμέλει γε ἐκάλε-
τε· ἵνα τὸν φόβον τῆς μετεωριαμένης κα-
κοδοξίας· μὴ ὡς ὀρθόδοξοι κριθῶμεν·
ἀλλ' ὡς αἱρετικοὶ κατακριθῶμεν· καὶ
ἕκαστος ἐδεδοίκει μὴ ἐκκληθεὶς ὡς αἱρε-
τικὸς ἀπολέσει οὓς ἐκάπισε· καὶ οὐκ
ἦν αὐτῷ ὁ κίνδυνος· ἀλλὰ τῶν καταπι-
αθέντων ἢ τῶν πιστευσάντων τῷ
Χριστῷ· καὶ οὐκ ἔδει μὲν ἡμᾶς σιωπῆσαι

τότε ἔπειτα. καὶ ἄλλο ὃ ἐποίησαν·
ἐκελεύσθη παρὰ τοῦ δεσπότου τῆς
οἰκουμένης ἡ σύνοδος· πρῶτον·
τὰ περὶ Φλαβιανοῦ χρήματα οὗτοι πολ-
λάκις ἐν ταυτῷ συνόδῳ ποιήσαντες·
καὶ οὐχ ὑπογράψαντες οὐδὲ προγρά-
ψαντες τὰ δεδογμένα· οὐδὲ ἀναγ-
νόντες τινί· οὐδὲ εἰδότων τινῶν·
προσήνεγκαν ἡμῖν ἀγράφοις χάρ-
ταις· Διόσκορος καὶ Ἰουβενάλιος πλῆ-
θος ἔχοντες ἀνθρώπων ἀναιδῶν
τῶν πολλῶν καὶ θορυβούντων καὶ
κατασειόντων τὴν σύνοδον· ἑκατὸν
τριάκοντα πέντε ἦμεν οἱ πάντες·
τεσσαράκοντα δύο. ἐκελεύσθησαν
σιωπῆσαι· οἱ λοιποὶ· Διόσκορος
καὶ Ἰουβενάλιος· καὶ πλῆθος ἀτάκτων
ἡμῖν λοιπὸν δέκα πέντε ἄνδροι· πει-
χομένη ποιῆσαι· εἰς τὸ αἷμα ἡμῶν ἐ-
παίξαν· οὗτοι αἱρετικοὶ ὄντες μίαν
φωνὴν ἔλεγον πάντες κατεπόνησαν
ἡμᾶς· αἱρετικοὺς ἡμᾶς ἐποίησαν· καὶ
ἐξεκλήθημεν ὡς αἱρετικοί:·
οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέ-
στατοι ἐπίσκοποι ἐξεβόησαν· πάντα
πάντων λεγόμενα· ταῦτα οὕτως ἔχει:·
οἱ αἰγύπτιοι καὶ οἱ μετ' αὐτῶν εὐλαβέ-

-στατοι ἐπίσκοποι ἐξεφώνησαν:·
χριστιανὸς οὐδένα φοβεῖται· ὀρθό-
-δοξος οὐδένα φοβεῖται· πῦρ ἐπιτεθῆ·
καὶ μανθάνομεν· εἰ ἄνθρωποι ἐφοβοῦντο·
μάρτυρες οὐκ ἦσαν:· Διόσκορος
ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξαν-
-δρείας εἶπεν· ἐπειδὴ λέγουσι μὴ ἀ-
-κηκοέναι τῶν κεκριμένων καὶ πεπραγ-
-μένων· ἀλλ' ἁπλῶς εἰς χάρτην
ὑπογράψαι καθαρὸν ἐπιδεδωκέναι
αὐτοῖς· μάλιστα μὲν οὐκ ἐχρῆν αὐτοὺς
ὑπογράψαι μὴ πεπληροφορημένους·
ἐφ' οἷς εἴρηκεν ἡ σύνοδος· ἐπειδὴ πε-
-ρὶ τῆς πίστεως ὁ λόγος· ἐπειδὴ δὲ αὐτ-
-ῶν τινες χάρτου καθαροῦ δεδωκέ-
-ναι αὐτοῖς εἰς ὑπογραφήν· τίς καὶ
τὰς διαλαλιὰς αὐτῶν ἐπιτύπτωσιν·
αὐτοὺς εἰπεῖν ἀξιῶ προστάξαι τὴν ὑ-
-μετέραν μεγαλοπρέπειαν:·
οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερ-
φυὴς σύγκλητος εἶπε· τὰ πεπραγ-
-μένα ἀναγινωσκέσθω:· Κωνσταν-
-τῖνος ὁ καθωσιωμένος μαγιστριανὸς
καὶ νοτάριος τῶν θείων σηκρήτων·
ἀπὸ χιδαρίου ἐπιδοθέντος παρὰ
Ἀετίου ἀρχιδιακόνου τῆς κατὰ τὴν
βασιλεύουσαν Κωνσταντινούπολιν

Hic incip(it) q(uod) legu(n)tur gesta
concilii ephesini [illegible] sub
Flaviano a[...]

ἁγίας ταύτης ἐκκλησίας· ἀμένιμος· θεῖον
γράμμα κατεπέμφθη πρὸς διόσκο
ρον τὸν εὐλαβέστατον ἐπίσκοπον πε
ρὶ τοῦ παραγενέσθαι ἐν τῇ κατ' ἔφεσον
σύνοδον· ὅτιπερ ἅμα ... ἐν τῇ τάξει
αὐτὸ χ... ἴχος ἀμένιμος· ὁ αὐτὸς ἀπὸ τοῦ
αὐτοῦ χ... δαρίου ἀμένιμος· ποιοῦμε
τὴν ... εἰαν ξ... ος καὶ τοῦ
... τοῦ λαμπροτάτου τῆς
... αὐτοῦ ... ἤ ... κατ
... ἐν ... ἐπὶ
τῆς ... ὁδοῦ ... τῆς ... τῆς
ἐφ... πόλει ἐκ θε... 
τοῦ θεοφιλεστάτου καὶ ... 
... καὶ ... τοῦ ... τῆς
ἁγίας ταύτης ἐκκλησίας τῆς ... 
... τοῦ θεοφιλεστάτου καὶ ὁσίου
... τοῦ ἐπισκόπου· διοσκόρου ἀλε
ξανδρείας ... ἐπισκόπου ἐπε
... τοῦ ἁγίου
καὶ ὁσιωτάτου ἐπισκόπου τῆς ...
... ἐκκλησίας ... 
καὶ ... σκεσθαι· ... 
τολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι
ἐπίσκοποι ἐμ... ὃ ἐζητήθη· οὐ
δεὶς κατεδέξατο ... 
χ... ... 

σηκρητάριος ἐκ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω
ἀμέμπτως τῆς ὅλης·: καὶ Ἰουβεναλίου
Ἱεροσολύμων· καὶ Δόμνου Ἀντιοχεί-
ας· καὶ Φλαυιανοῦ Κωνσταντινου-
πόλεως·: καὶ ἐν τῷ ἀναγινώσκε-
σθαι· οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς
εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησ[αν]·:
Φλαυιανὸς ὀρθῶς κατὰ Χριστὸν εἶπεν·
αὕτη ὁμολογία τοῦ μακαρίου Φλαυιανοῦ·
Φλαυιανὸς ἐν τῷ ἰδίῳ τόπῳ προσδεχθεὶς
οὐκ ἐκαθαιρέθη· τὸν Κωνσταντινου-
πόλεως ἐπίσκοπον διὰ τί ἐξέβαλον
ἔταξαν·: Πασχασῖνος ὁ εὐλαβέστα-
τος ἐπίσκοπος εἶπεν· ἐπειδὴ οἱ ἀνα-
οι τὸν Κωνσταντινουπόλεως πρόεδρον
ΟΗ τὸν ἔχομεν ἐν τῇ σωματικῇ ὁδῷ μὴ χαρίζεσθαι
δόμ... ἤδη καὶ μεῖς θέλομεν πῶς τὸν
κύριον Μάρκον εἰς τὸν πρῶτον μέχρι τοῦ νῦν·
οὕτως ἐπειδὴ ἐν τάξει τὸν μακάρι-
ον Φλαυιανόν·: Διογένης ὁ εὐλα-
βέστατος ἐπίσκοπος ἐκκλησίας
Κυζίκου εἶπεν·: ἐπειδὴ ὑμεῖς τοὺς
40 χάρτας οἴδατε·: οἱ Αἰγύπτιοι καὶ οἱ
σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι
ἐξεβόησαν·: δεόμεθα τοὺς περὶ Διόσ[κορον]
ἐξορισθῆναι μάλλετε· ὁ βασιλεὺς ἐπισκόπ[ους]
ἐκάλεσεν· ἡ σύνοδος ἐπισκόπων

ἔχειν· περὶ αὐτοῦ οἱ διαπαντὸς κράζουσι·
Θεόδωρος ἐπίσκοπος Κλαυδιου-
πόλεως Ἰσαυρίας εἶπεν· οἱ νοτα-
ριοι Διοσκόρου κράζουσι· Διόσκορ(ος)
ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀλεξαν-
δρείας εἶπεν· δύο νοταρίους ἔχω
μόνους· οὐ δι' οὐ θόρυβον ποιοῦ-
σιν· οἱ ἐνδοξότατοι ἄρχοντες καὶ
ἡ ὑπερφυὴς σύγκλητος εἶπε· τὰ
ἰδιόγραφα ἀναγνωσθήτω· Κωνσταν-
τῖνος ὁ μεγαλοπρεπέστατος σηκρητά-
ριος τοῦ θείου κωνσιστωρίου ἀπὸ
βιβλίου χάρτου ἀνέγνω ἐμφέρεται· Ἐ-
ζηνίου καὶ Θαλασσίου τῆς Καισαρέ-
ων καὶ Στεφάνου τῆς Ἐφεσίων· καὶ
Εὐσεβίου Ἀγκύρας Γαλατίας πρώτ(ης)· ΗC
καὶ Κωνσταντίνου Σεβαστείας Ἀρμενίας·
καὶ Ἐρασίστρατου Κορίνθου τῆς
Ἑλλάδος· καὶ Κυντίλλου Ἡρακλείας
ἐπέχοντος καὶ τὸν τόπον Ἀναστα-
σίου τοῦ εὐλαβεστάτου ἐπισκόπου
τῆς Θεσσαλονικέων· καὶ Μελιτίου
Λαρίσσης ἐπέχοντος καὶ τὸν τόπον
Δόμνου τοῦ εὐλαβεστάτου ἐπισκό-
που τῆς Ἀπαμέων· καὶ Κυριακοῦ
ἐπισκόπου Τρωάδων(?)· ἐπέχον-
τος τὸν τόπον Θεοκτίστου τοῦ ἁ-

-λαβεστάτου ἐπισκόπου πισηνοῦντος
γαλατίας δευτέρας· καὶ διογένους
κυζίκου· καὶ βασιλείου σελευκείας τῆς
ἰσαυρίας· καὶ ἰωάννου ῥόδου· καὶ
θεοδώρου ταρσοῦ· καὶ ῥωμανοῦ μύ-
ρων τῆς λυκίας· καὶ φωτίου τύρου·
καὶ θεοδώρου δαμασκοῦ· καὶ ἰουλιανοῦ
ταουΐας· καὶ φλωρεντίου τυάνων· καὶ
μαριανοῦ συνάδων· καὶ μουσωνίου
νύσσης· καὶ κωνσταντίνου μόστρας· καὶ
ἰωάννου νικοπόλεως ἀρμενίας πρώ-
της· καὶ ἀκακίου ἀριαραθείας δευτέ-
ρας ἀρμενίας. ἐπέχοντος τὸν τόπον
κωνσταντίου τοῦ εὐλαβεστάτου ἐπι-
σκόπου μελιτινῆς· καὶ στεφάνου ἱε-
ραπόλεως· καὶ ἀττικοῦ νικοπόλεως
ἠπείρου παλαιᾶς· καὶ εὐσταθίου βη-
ρυτοῦ· καὶ νουνεχίου λαοδικείας τρι-
μιταρίας· καὶ ὀλυμπίου κωνσταντί-
ας τῆς κύπρου· καὶ καλλιδιανοῦ ἀν-
τιοχείας τῆς πισιδίας· καὶ στεφάνου
ἀναζάρβων· καὶ γεροντίου σελευκείας
συρίας· καὶ ῥουφίνου σαμοσάτων·
καὶ ἰνδιμίου εἰρηνοπόλεως· καὶ τιμο-
θέου μαλαμαιῶν· καὶ θεοδοσίου καμα-
θᾶς· καὶ εὐτυχίου ἀδριανουπόλεως
ἠπείρου παλαιᾶς· καὶ κλαυδίου ἀν

χερσονήσου ἠπείρου παλαιᾶς· καὶ συμε-
ῶνος ἀμίδης μεσοποταμίας· καὶ ἡλίου
ἀδριανουπόλεως· καὶ σελεύκου ἐπι-
σκόπου ἀμασείας· καὶ πέτρου γαγγρ(ῶν)·
καὶ λουκᾶ δυρραχίου· καὶ ἀντωνίου
λυχνιδοῦ· καὶ μάρκου εὐροίας· καὶ βι-
γιλαντίου λαρίσης· καὶ βασιλείου τρα-
ϊανουπόλεως ἐπαρχ(ίας) ῥοδόπης·
καὶ δοκιμασίου μαρωνείας ἐπαρχ(ίας)
ῥοδόπης· καὶ κωνσταντίνου δημη-
τριάδος· καὶ ἀλεξάνδρου σεβαστῆς
τῆς ταρσοῦ· καὶ σώζοντος φιλίππων·
καὶ εὐσεβίου δοβήρου μακεδονίας
πρώτης· καὶ μαξιμιανοῦ σερρέων
μακεδονίας πρώτης· καὶ ἑρμογένους
κασσανδρείας μακεδονίας πρώτης·
καὶ διογενιανοῦ ῥεμεσιανῆς τῆς δα-
κίας· καὶ ἰωάννου τῆς μεσσήνης τῆς
ἀχαΐας· καὶ οὐρανίου ἰμερίας ἐπαρχ(ίας)
ὀσροηνῆς· καὶ ἀθανασίου ὀπουντ(ος)
τῆς ἀχαΐας· καὶ θεοδώρου κλαυδιου-
πόλεως τῆς ἰσαυρίας· καὶ λεοντίου
ἀσκάλωνος· καὶ φωτεινοῦ λύδδης·
καὶ ἀναστασίου ἀρεοπόλεως· καὶ θεο-
δοσίου ἀμμαιθοῦντος· καὶ παύλου
μαϊουμᾶ· καὶ ζωσίμου μηνοΐδος·
καὶ ἐπιφανίου πέργης· καὶ μαρουχίου

σωζούσης παλαιστίνης· καὶ ἡρακλεί
ἀζώτου· καὶ ἰωάννου τιβεριάδος·
καὶ μουσωνίου ζωοράρων· καὶ διονυσίου
συκαμαζόνος· καὶ καΐου νουφαειμ·
καὶ αἰθερίχου σμύρνης· καὶ κωνσταν
τίνου σεβαστῆς· καὶ ζεβέννου πέλλης·
καὶ ἀλυπίου ιάκτρων· καὶ πολυχρονί
ἀντιπατρίδος· καὶ παγκρατίου λιβι
άδος· καὶ αὐξιλάου σαρακηνῶν τῶν
ὑποσπόνδων· καὶ δομνίνου πλατε
ῶν τῆς ἑλλάδος· καὶ θεοδοσίου μασ
ταύρων· καὶ κυριακοῦ αἰγαίων· καὶ δα
μιανοῦ ἀδραμυττίου· καὶ κυριακοῦ
λεβέδου· καὶ λεοντίου μαγνησίας μαι
άνδρου· καὶ εὐτροπίου περγάμου τῆς
ἀσίας· καὶ [illegible] καὶ ὀ
λυμπίου εὐαζῶν· καὶ μαξιμιανοῦ τραλ
λέων· καὶ ἰουλιανοῦ σαρδέων· καὶ παύλου
τριπόλεως λυδίας· καὶ μελιφθόγγου
ἰουλιουπόλεως· καὶ ὀνησιφόρου ἰκο
νίου· καὶ δοκιμασίου μαρωνείας· καὶ
λογγίνου χερσονήσου· καὶ εὐδοξίου
βοσσόρων· καὶ τιμοθέου τριμοῦ πό
λεως τῆς παμφυλίας· καὶ θεοπέμ
πτου κανασσῶν· καὶ καλοσηρίου ἀρσινο
ΐτου· καὶ ἰωάννου ἡφαίστου· καὶ ἡρακλεί
δου ἡρακλέος· καὶ ἰσαὰκ ἐλεαρχίας·

καὶ γεμελλίνου ἐρυθρῶν· καὶ ἀπολλω-
νίου τάνεως· καὶ τιμοθέου ἑρμου-
πόλεως μεγάλης· καὶ κύρου βαβυ-
λῶνος· καὶ ἀθανασίου βουσίριδος·
καὶ πασινικίου παράλλου· καὶ φω-
τεινοῦ τευχείρων· καὶ σωσίμου σω-
ζούσης· καὶ θεοδούλου τῆς ἀδλαιχ
θεοδώρου δάρχης· καὶ ῥούφου κυ-
ρήνης· καὶ ζήνωνος ῥινοκορούρων·
καὶ λουκίου ζυγρῶν· καὶ αὐσονίου σε-
βεννύτου· καὶ ἰσαὰκ ταυᾶ· καὶ φιλο-
κάλου ζαγυλέων· καὶ ἡσαΐου ἑρμου-
πόλεως μικρᾶς· καὶ μα[illegible]
πρεσβυτέρου καὶ ἀρχιμανδρίτου·
καὶ λογγίνου πρεσβυτέρου ἐπέχον-
τος τὸν τόπον δωροθέου ἐπισκό-
που νεοκαισαρείας· καὶ ἀμθιμίου
πρεσβυτέρου ἐπέχοντος τὸν τόπον
πατρικίου ἐπισκόπου τυάνων κα-
ππαδοκίας δευτέρας· καὶ ἀρίστωνος
πρεσβυτέρου ἐπέχοντος τὸν τόπον
εὐνομίου ἐπισκόπου νικομηδείας·
καὶ ὀλυμπίου πρεσβυτέρου ἐπέχον-
τος τὸν τόπον καλογήρου ἐπισκόπ(ου)
κλαυδιουπόλεως τῆς ποντικῆς·
καὶ ἱλαρίου διακόνου ῥώμης· καὶ δουλ-
κιτίου νοταρίου ῥώμης :· —

ἰωάννης πρεσβύτερος καὶ πρωτο-
νοτάριος εἶπεν: ἔδοξε καὶ νῦν
τοῖς εὐσεβεστάτοις καὶ φιλοχρίστοις ἡμῶν
βασιλεῦσι· θεσπίσαι τὴν ἁγίαν ὑμῶν
καὶ μεγάλην σύνοδον ἐνταῦθα συνε-
δρεύειν· ἐφ᾿ ᾧ τε τὰ ἀναφυέντα ἀσ-
πίως· περὶ τῆς ὀρθῆς ἡμῶν καὶ ἀμω-
μήτου πίστεως ζητῆσαι· καὶ ταῦτα
ῥιζόθεν ἀνασπάσαι ὅσα ἂν μὴ ἕλκον-
ται καὶ ἀνθέλκονται τῶν ἀκεραιοτά-
των ἔσθ᾿ ὅτε τινάς. τοῖς τῆς κακοπι-
στίας καὶ πλάνης ἐμμανῆ ὡς ἀθροισ-
τοσοῦτον αὐτοῖς εὐσεβείας μέλει· καὶ
τοῦ χρῆναι τηρεῖσθαι διηνεκῶς ἀρ-
ραγῆ καὶ ἀσάλευτα τὰ ἐκτεθέντα
περὶ τῆς ὀρθοδόξου θρησκείας ἡμῶν·
πρόσθεν μὲν παρὰ τῶν ἐν νικαίᾳ
συνελθόντων μακαριωτάτων πα-
τέρων· βεβαιωθέντα δὲ ἐναργῶς
παρὰ τῶν ἐν ταύτῃ τῇ πόλει συνα-
γηγερμένων· οἳ τοσοῦτον ἑαυτοῖς
ὡμολόγησάν τε καὶ συνηνέχθησαν·
ὡς μηδὲν παντελῶς φρονῆσαι ἢ
ὁρίσαι· τὸ διάφορον μετὰ χεῖρας
ἡμῶν αἱ εὐαγγεῖς συλλαβαὶ καὶ αὐτὸ τοῦ
τοῦ ποιάλλοιμεν· πρὸς τὸ παριστά-
μενον τῇ ὑμετέρᾳ ἁγιότητι:

τὰ πραχθέντα ἐν ἐφέσῳ ἐπὶ διοσκόρου ἀναγινώσκεται ἐν χαλκηδόνι:

Διόσκορος ἐπίσκοπος Ἀλεξανδρεί-
ας εἶπεν· Ἀναγνωσθήτω τὸ εὐ-
σεβὲς καὶ θεοφιλὲς τῶν φιλοχρίστων
βασιλέων γράμμα τὸ ἀποδοθὲν πρὸ
ἑκάστου τῶν μητροπολιτῶν καὶ
προλαμπέστερον τῶν πραχθησομέ-
νων ὑπομνημάτων. Ἰωάννης
πρεσβύτερος καὶ πρωτονοτάρι-
ος εἶπεν· Αὐτοκράτορες καίσαρες
Θεοδόσιος καὶ Οὐαλεντινιανὸς νι-
κηταὶ τροπαιοῦχοι μέγιστοι ἀεισέ-
βαστοι αὔγουστοι Διοσκόρῳ. Ἅπασι
δῆλον καθέστηκεν ὅτι περὶ τῆς ἡ-
μετέρας πολιτείας καὶ
πάντων τῶν ἀνθρωπίνων τὰ περὶ τὸ
θεῖον μὲν εὐσεβείας συνέχεσθαί τε καὶ κρα-
τύνεσθαι καὶ τὰ λοιπὰ τὰ προτεταχ(θέντα).
Ἰουλιανὸς ἐπίσκοπος ἐπέχων τὸν
τόπον τοῦ ἁγιωτάτου ἐπισκόπου
τῆς Ῥωμαίων ἐκκλησίας Λέοντος,
ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου
ἐπισκόπου Λυδῶν εἶπε·
Τῷ ὁμοίῳ τύπῳ παρὰ τῶν εὐσεβε-
στάτων καὶ φιλοχρίστων βασιλέων
ὁ ἁγιώτατος ἡμῶν πάπας ὁ τῆς
Ῥωμαίων ἐκκλησίας Λέων ἠγούμενος
ἐκλήθη. Ἱλάριος διάκονος Ῥωμ(αίων)

ἑρμηνεύοντος αὐτὸν Φλωρεντίου
ἐπισκόπου Λυδδῶν εἶπεν·
ὁ ἐνδοξότατος καὶ χριστιανικώτα-
τος ἡμῶν βασιλεὺς σχέσει τῇ περὶ
τὴν ὀρθοδοξίαν· καὶ διαθέσει τὸν μα-
καριώτατον ἐπίσκοπον ἡμῶν λέον-
τα· τὸν τῆς ἀποστολικῆς καθέδρας·
ἵνα τούτοις τοῖς προσκυνητοῖς καὶ ἁγίοις
συλλόγοις παρῇ. πέμψας προσκυνητὰ
γράμματα. παρακέκληκεν· οὐ πρὸς
τὴν εὐσέβειαν ἀρέσαι ἠδύνατο εἰ τοῦ-
του τοῦ πράγματος· ἡγεῖτο τὴν ὑπό-
θεσιν· εἰ γὰρ καὶ χρεία τὸν τοιοῦτον οὐ
δέξασθαι κατὰ μὲν τὴν ὑμετέραν ἁγίαν σύνοδον
ἀλλ' οὔτε ἐν τῇ νικαέων· οὔτε ἐν τῇ ἐ-
φεσίων ἁγίᾳ συνόδῳ· οὔτε ἐν ἄλλαις
ἁγίαις ταῖς οὔσαις συνόδοις ὁ πάπας τοῦ
ἁγιωτάτου θρόνου ἐπέστη· ὅθεν οὐ
πρὸς τύπου τῆς συνηθείας ἐξακολου-
θήσας ἡμᾶς ἐξαπέστειλεν· ὁ δὲ πα-
ναγιώτατος ἑαυτὸν οὐκ ἠμφίβαλλεν
ἐν ὑμῶν διακρίνειν ἐν ταύτῃ· ὅτι μά-
λιστα ἐπίσταται πάντα ὅσα πρὸς τὴν ἡμῶν
τῆς πίστεως τῆς καθολικῆς ἀκεραι-
ότητα· καὶ ὅσα ἀνήκει πρὸς τὴν εἰς
τὸν ἁγιώτατον ἀπόστολον Πέτρον
εὐλάβειαν. πάντα πράττειν· οὕτω

ποίμνιον δὲ ἡμῶν πρὸς τὴν ὑμετέραν
μακαριότητα ἁρμόζον ταῖς τῆς συνόδου
τῶν ἁγίων πατέρων ἐπέστειλε γράμματα·
ἅπερ ὑποδεχθέντα ἀναγνωσθῆναι
προστάξατε. Διόσκορος ἐπίσκο-
πος Ἀλεξανδρείας εἶπεν· ὑποδεχθή-
τω τὰ γραφέντα πρὸς τὴν ἁγίαν ταύ-
την καὶ οἰκουμενικὴν σύνοδον παρὰ
τοῦ ἀποστάτου ἀδελφοῦ ἡμῶν καὶ
συνεπισκόπου Λέοντος· καὶ ἀποδο-
θέντων αὐτῶν. Ἰωάννης πρεσβύ-
τερος καὶ πρωτονοτάριος εἶπεν:
ἕτερον εὐσεβὲς θέσπισμα ἀπεδόθη
τῷ ἁγιωτάτῳ καὶ θεοφιλεστάτῳ ἀρχι-
επισκόπῳ Διοσκόρῳ· ὃ καὶ αὐτὸ μετὰ
χεῖρας ἤδη ἔχει πρὸς τὸ παριστάμενον
τὴν ὑμετέραν ἁγιότητα. Ἰουβενάλιος
ἐπίσκοπος Ἱεροσολύμων εἶπεν· ἀνα-
γνωσθέτω καὶ ἐμφερέσθω τῇ τάξει
τῶν ὑπομνημάτων· καὶ ἐν τῷ ἀναγι-
νώσκεσθαι. Ἀέτιος ἀρχιδιάκονος
Κωνσταντινουπόλεως εἶπεν·
οὔτε ὑπεδέχθη ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ιδ'
ἀρχιεπισκόπου Λέοντος. οὔτε ἀνεγνώ-
σθη· οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς
εὐλαβέστατοι ἐπίσκοποι ἐξεφώνησαν·
οὐκ ἀνεγνώσθη ἡμῖν ἡ ἐπιστολή· εἰ ἀνε-

-ρώσθη πάντως καὶ ἐμφέρεται·
Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος
Δορυλαίου εἶπεν· οὐκ ἀνεγνώσθη·
ἀλλὰ παρακατέσχε τὴν ἐπιστολὴν τὴν
συνοδικήν· Ἀέτιος ἀρχιδιάκονος
κωνσταντινουπόλεως εἶπεν·
οὔτε ὑπεδέχθη ἡ ἐπιστολὴ οὔτε ἀνεγνώσθη
-σθη καὶ ἑπτάκις ὤμοσεν ἐπὶ πάντων
ποιεῖν ταύτην ἀναγνωσθῆναι· καὶ
οὐκ ἀνεγνώσθη· καὶ ἐπιορκήσας ὅτι
ὤμοσεν· Θεόδωρος ὁ εὐλαβέσ-
τατος ἐπίσκοπος κλαυδιουπόλε-
ως ἰσαυρίας εἶπεν· ὅτι ὤμοσεν
πάντες οἴδαμεν· ὅτι δὲ οὐκ ἀνεγνώ-
σθη, πάντες ὁμολογοῦμεν·
οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερ-
φυὴς σύγκλητος εἶπον· οἱ εὐλαβέσ-
τατοι ἐπίσκοποι οἷς ἡ αὐθεντία πεπισ-
τευμένων πραττομένων παρὰ τῆς
βασιλικῆς ἐδέδοτο κορυφῆς· λεγέτω-
σαν διατί ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου
ἀρχιεπισκόπου λέοντος οὐκ ἀνεγνώ-
σθη· μάλιστα καὶ διαλαλιᾶς προχωρη-
σάσης τῆς παρακελευομένης αὐτὴν
ἀναγνωσθῆναι· Διόσκορος ὁ εὐλαβέ-
στατος ἐπίσκοπος ἀλεξανδρείας εἶπ(εν)·
τὰ πεπραγμένα δηλοῖ ὅτι δεύτερον

προσεφώνησα ἀναγνωσθῆναι τὸ ῥῆ- ἀμ
μα τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς
ῥωμαίων: οἱ ἐνδοξότατοι ἄρχοντες
καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε:
τίνος οὖν χάριν μετὰ τὴν διαλαλι-
ὰν τὴν σὴν ἡ ἀνάγνωσις τῆς ἐπιστολῆς
οὐκ ἐγένετο; διόσκορος ὁ εὐλαβέ-
στατος ἐπίσκοπος ἀλεξανδρείας εἶπεν·
ἐρωτηθεὶς καὶ οἱ ἄλλοι ἐπίσκοποι οἷς
ἐπετέτραπτο τὸ πρᾶγμα. τίνος χά-
ριν οὐκ ἀνεγνώσθη: οἱ ἐνδοξότατοι
ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος
εἶπον· τίνα μάλιστα βούλει ἐρωτη-
θῆναι σαφῶς εἰπέ· διόσκορος ὁ εὐ-
λαβέστατος ἐπίσκοπος ἀλεξανδρεί-
ας εἶπε: τὸν θεοσεβέστατον ἐπίσκο-
πον ἰουβενάλιον· καὶ τὸν θεοσεβέ-
στατον ἐπίσκοπον θαλάσσιον :·
οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερ-
φυὴς σύγκλητος εἶπον· ἐν πρώ-
τῃ τάξει ἀπόκριναι αὐτός. δι᾽ ἣν αἰτί-
αν ἡ ἀνάγνωσις οὐκ ἐγένετο. ἀκολού-
θως γὰρ καὶ αὐτοὶ ἐρωτηθήσονται:
διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος
ἀλεξανδρείας εἶπεν: ἅπαξ εἶπον.
ὅτι δεύτερον διελάλησα ἀναγνωσθῆ-
ναι αὐτήν: εὐσέβιος ὁ εὐλαβέστατος

ἐπίσκοπος δορυλαίου εἶπε·
ψεύδεται· οἱ ἐνδοξότατοι ἄρχον-
τες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε·
λεγέτω ὁ θεοφιλέστατος ἐπίσκοπος
ἰουβενάλιος· πῶς διαλαλήσαντος
τοῦ θεοφιλεστάτου ἐπισκόπου διοσ-
κόρου ἀναγνωσθῆναι τὴν ἐπιστολὴν
τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου
ῥώμης. ἡ ἀνάγνωσις οὐκ ἐγένετο·
ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκο-
πος ἱεροσολύμων εἶπεν· εὐθέως
ἀπεκρίνατο ὁ πρεσβύτερος καὶ
πριμικήριος τῶν νοταρίων ἰωάν-
νης ἔχειν μετὰ χεῖρας εὐσεβῆ γράμ-
ματα τῶν θεοφιλεστάτων καὶ εὐσεβε-
στάτων βασιλέων· καὶ ἀπεκρίναμεν
ἀναγνωσθῆναι τὰ βασιλικὰ γράμ-
ματα· οἱ ἐνδοξότατοι ἄρχοντες
καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε·
μετὰ οὖν τὴν ἀνάγνωσιν τοῦ θείου
γράμματος· καὶ ἡ τοῦ εὐλαβεστάτου
ἀρχιεπισκόπου λέοντος. ἐπιστολὴ
ἀνεγνώσθη· ἰουβενάλιος ὁ εὐλα-
βέστατος ἐπίσκοπος ἱεροσολύμων
εἶπεν· οὐκ ἔτι οὔτε ὁ πριμικήριος
τῶν νοταρίων· οὔτε ἄλλος τις εἶπεν
ἔχειν μετὰ χεῖρας τοῦ εὐλαβεστάτου

ἐπισκόπου Ῥώμης τὰ γράμματα:
Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερ-
φυὴς σύγκλητος εἶπε· νῦν καὶ ὁ εὐ-
λαβέστατος ἐπίσκοπος Θαλάσσιος
λεγέτω τὴν αἰτίαν δι' ἣν μὴ ἀνεγνώ-
σθη ἡ ἐπιστολὴ τοῦ ὁσιωτάτου ἀρχι-
επισκόπου Λέοντος: Θαλάσσιος
ὁ εὐλαβέστατος ἐπίσκοπος Καισαρεί-
ας Καππαδοκίας εἶπεν: ἐμοὶ οἶδα
ἐγὼ ὅτι οὔτε ἐκώλυσα· οὔτε δὲ τοσαύ-
την αὐθεντίαν εἶχον ὥστε ἐμὲ μό-
νον κωλῦσαι γενέσθαι τὴν ἀνάγνω-
σιν: Οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ
ὑπερφυὴς σύγκλητος εἶπε:
[illegible] ὅλη ἡ σύνοδος ἐπετρέπετο [illegible] ἀναγι-
νωσκέσθω τι [illegible] κ[illegible] τινος ὁ κα-
θοσιωμένος σηκρητάριος ἀπὸ τοῦ
αὐτοῦ σχεδαρίου ἀναγνώτω: Ἰωάννης
πρεσβύτερος καὶ πρωτονοτάριος
ἀνέγνω· θεῖον γράμμα γραφὲν τῷ εὐ-
λαβεστάτῳ Διοσκόρῳ περὶ τοῦ παρα-
γενέσθαι Βαρσουμᾶν· ὅπερ ἀνωτέρω
ἐντέτακται ἀπὸ κώδικος ἀναγνωσ-
θέν: Ἰουβενάλιος ἐπίσκοπος
Ἱεροσολύμων εἶπε· ταῦτα καὶ ἐμοὶ
ἐγράφη περὶ τοῦ εὐλαβεστάτου πρε-
σβυτέρου καὶ ἀρχιμανδρίτου Βα

-σου μου· παρὰ τῶν εὐσεβεστάτων
βασιλέων· ὅθεν εὐλόγως παρέδρω
τῆς ἁγίας συνόδου: Διόσκορος ἐπίσ-
κοπος Ἀλεξανδρείας εἶπεν· εἴ τι
διδάσκειν ἔχουσι περὶ τῆς ἐγχειρισ-
ὑποθέσεως οἱ περίβλεπτοι· Ἐλπίδι-
ος ὁ κόμης καὶ Εὐλόγιος ὁ τριβοῦνος
νοτάριος λεγέτωσαν: Ἐλπίδιος
ὁ περίβλεπτος κόμης εἶπεν:
οὔτε τῷ ἀρχεκάκῳ δαίμονι ῥᾳθυμη-
τέον ποτὲ τοῦ πρὸς τὰς ἁγίας ἐκκλη-
σίας πολέμου· καὶ ὁ εὐσεβέστατος
ἀεὶ βασιλεὺς ἡμῶν τὸ παραιτεῖται· τὸν
μὴ δικαίως μαχόμενον· ὀρθῶς ἄρα
διαμονῆς θείας· ὡς ὄζει τὸν ὑπερμαχοῦν-
τα τῆς αὐτοῦ βασιλείας· εἰ πρὸς τὰ
ἀγωνίσματα τοῖς ὑπὲρ τῆς εὐσεβείας
αὐτὸς ὁπλίζοιτο· καὶ οὐχ ἑτέρως εἰκὸς αὐ-
το τὴν γνώμην οὕτω φρονῶν· ἄνω-
θεν γὰρ αὐτῷ τὰ πολλὰ μᾶλλον ἢ τοῖς
ὅπλοις κατορθοῦται· διὰ τοῦτο καὶ
[illegible]ρίου τῆς ἀπονοίας μεθυόντων
κατεψήφισται· ὅτι πρὸς τὴν θεραπεί-
αν τοῦ κρείττονος τεταγμένος· ἀ-
σεβῶν διδαγμάτων· τηρέτεμετο
καὶ διδάσκαλος· καθάπερ ὑπὲρ τῶν
δαιμόνων· ἀλλ' οὐχὶ τῆς εὐσεβείας

τὴν ἱεροσολύμων λαόν· ἀλλ᾽ ἐκεῖνος
μὲν, τὸν πρέποντι χῶρον τέως κατα-
δεδίκασται πρὸς τὴν ἀπαραίτητον
ὃν τοῦ μέλλοντος αἰῶνος τηρούμενος κό-
λασιν· ὅτι πρὸς τοσαύτην ἀσέβειαν
αὐτός τε ἐξεχύθη· καὶ πολλοὺς μετα-
πείσας παρέσυρε· τὴν δὲ γενομένην
νῦν ἀμφισβήτησιν, ὁ θειότατος βα-
σιλεὺς ἐφ᾽ ὑμᾶς ὡς πατέρας καὶ κριτὰς
ἄγει· καὶ παρ᾽ ὑμῶν εὑρέσθαι βούλεται
τοῦ κινουμένου τὴν λύσιν· κοινὴν
αὐτοῖς τε καὶ τοῖς ὑπηκόοις ἐσομένην
ἀσφάλειαν· ταῦτα δὲ ἔχων ἅπερ ὁ θειότα-
τος βασιλεὺς ἡμῶν τε ἐπέσταλται καὶ
πρὸς ὑμᾶς ἔγραψε. νῦν ἄρτι καὶ ὑμῖν
φανερὰ ποιήσω· τοσούτων ὑπειπε
οἷα δὴ εἰς ὧν τῶν ὑφ᾽ ὑμῶν τὴν εὐσέ-
βειαν ὀρθῶς τελουμένων· σύνδρομον
ὑμῶν ὁ τῶν ὅλων δεσπότης καὶ θεὸς λόγος
σωτήρ· εἰς κρίσιν ἑαυτὸν παραδίδωσι καὶ
δικαζόντων ἀνέχεται· καὶ τιμᾷ ταῖς
ἐξουσίαις τῶν ψήφων ὑμᾶς· ἵνα δ᾽
ρων ὑμᾶς ἐπ᾽ αὐτοῦ τὰ δίκαια κρίναν-
τας· καὶ δὴν ταῦθ᾽ ἀντιτιμήσῃ· καὶ ἐπὶ τοῦ
πρὸς πάλιν ὁμολογήσῃ· ὥστ᾽ εἴ γε τινὰς
εὕροι τὸ μὴ ὅσιον τῆς εὐσεβείας ἐκβάλ-
λοντας τῆς διανοίας· καὶ τὰ πεφευό-

μῶν αἱ τέχναι ἠρεμήσωσι τῶν μετ᾽ ἀμφισβη-
τήσεως ἀγόντων τὰς παρὰ τὴν ἔκθεσιν
τῶν ἁγίων πατέρων, φθεῖν τῆς ἐπ᾽ αὐτοῖς
ἑκατέρας ψήφου θεοῦ τε καὶ βασιλέως·
καλὸν ἦν αὐτοῖς εἰ μὴ ἐγεννήθησαν
ὅτι μεταλήψιν καὶ τελείωσιν καὶ πορ-
νην καὶ χαμαιπετείαν οὐχ ὁμολογοῦσι
καθαρῶς· ἐπὶ τῆς δόξης τὸ μὲν ἐπι-
δημίας αὐτοῦ τῶν πειρασθέντων περι-
θέντων· ἀναγνωσθῆναι δὲ ἐπὶ τοῖς πρὸς
ἡμᾶς ἐνταλθέντα παρὰ τοῦ θειο-
τάτου αὐτοκράτορος ἡμῶν βασιλέ-
ως· ἐλπίδιος ὁ περίβλεπτος κόμης
ἀμέτρως θείων ὑπομνηστικὸν δοθέντων
τοῖς· καὶ εὐλογίως ὁ περίβλεπτος τριβοῦ-
νος νοταρίων ὁ πρὸς ἀπάντων ὀρθοῖς ἐπι-
ταχθεὶς αὐτὸς ὁ κόσδικος ἀναθεμ·
ἐλπίδιος ὁ περίβλεπτος κόμης εἶπε·
μῶν κελευσάντων δεχθῆναι καὶ ἀναγνω-
σθῆναι· καὶ τὰ πρὸς ὑμᾶς γραφέντα
παρὰ τῆς θείας κορυφῆς :·
διόσκορος ἐπίσκοπος ἀλεξανδρεί-
ας εἶπεν· ὑποδεχθὲν τὸ εὐσεβὲς
γράμμα τῶν φιλοχρίστων βασιλέων
τὸ γραφὲν πρὸς τὴν ἁγίαν σύνοδον
ἀναγινωσκέσθω:· ἰωάννης πρεσ-
βύτερος καὶ πρωτονοταρίων·

ἀντίγραφον θείου γράμματος γραφὲν πρὸς
τὴν ἐν Ἐφέσῳ σύνοδον περὶ τοῦ τῆς
ὁσίας μνήμης Φλαβιανοῦ ὡς ἀνα-
χωροῦντος ἤδη περὶ τῆς πίστεως·
πρὸς Εὐτυχὴν ὅπερ ἀνωτέρω ἐν-
τέτακται ἀπὸ κώδικος ἀναγνωσθέν:
Θαλάσσιος ἐπίσκοπος Καισαρείας
Καππαδοκίας εἶπεν· ὁ εὐσεβέ-
στατος καὶ φιλόχριστος βασιλεὺς βου-
λόμενος τὴν πίστιν τὴν οὖσαν ἄχρι
τοῦ παρόντος ἀσάλευτον μεῖναι·
ἐκέλευσε μηδὲν ἕτερον μηδὲ τελεσθῆ-
ναι μήτε ἀρχθῆναι ἐν τῇ ἁγίᾳ συνό-
δῳ εἰ μὴ πρότερον τὰ τῆς πίστεως
σταθῇ· ὅθεν εἰ πᾶσιν ἀρεστὸν τὰ μέντοι
τῆς πίστεως προκείσθω μέσον·
Ἰούλιος ἐπίσκοπος ἐπέχων τὸν τό-
πον τοῦ ἁγιωτάτου ἐπισκόπου Ῥω-
μαίων ἐκκλησίας Λέοντος· ἑρμηνεύ-
οντος αὐτὸν Φλωρεντίου ἐπισκό-
που Λυδῶν εἶπεν: οὔτε γὰρ ἄλλο προσ-
τέτακται: Ἐλπίδιος ὁ περίβλεπτος
κόμης εἶπεν: ἐπειδὴ πρόθεμε-
λιος τῆς πίστεως ἡ πίστις αὕτη· ἧς
ἕνεκα καὶ συνεληλύθατε· καταξιώ-
σατε συμψηφιζομένου ὑμῖν τοῦ θεοῦ
τὰ περὶ τῆς πίστεως ἀποφήνασθαι:

ὥστε δεύτερον κατὰ τὴν τάξιν καὶ ὁμ(όνοιαν)
γενέσθαι τὴν ἀνάγνωσιν τῶν πεπραγ-
μένων κατὰ τὴν βασιλεύουσαν ἐπὶ
εὐτυχεῖ τῷ εὐλαβεστάτῳ ἀρχιμανδρίτῃ·
Διόσκορος ἐπίσκοπος Ἀλεξανδρείας
εἶπεν ∴ δηλαδὴ τούτου γινομένου τὰ εὐ-
σεβῆ γράμματα τῶν θεοφιλεστάτων
βασιλέων· καὶ ὅτι κεκινημένων τῶν
ἐν τῇ Κωνσταντινουπόλει· τὴν σύνο-
δον προσέταξαν γενέσθαι ∴ εἰ τοί-
νυν κεκίνηται πρὸ τούτων δηλούσθω·
εἰ δὲ οὕτως ἐπιφερέσθω τὰ τῶν πραχ-
θέντων γενομένων ἁγίων συνόδων δικ-
αι· φανερὰ ὥρισαν οἱ κανόνες· φανε-
ρὰ ἐτύπωσαν αἱ σύνοδοι· ἐκεῖνα αὐτοὺ-
τως οὐκ ὀφείλομεν· ὁ εὐσεβέστατος
καὶ φιλόχριστος ἡμῶν βασιλεὺς ἀναφο-
ρῶν τῶν τιμίων ἐκέλευσε ταύτην τὴν ἁ-
γίαν συγκροτηθῆναι σύνοδον· οὐχ ἵνα
τὴν πίστιν ἑαυτῶν ἐκθώμεθα· ἣν ἐξέ-
θεντο οἱ πατέρες ἡμῶν ἤδη· ἀλλ' ἵνα ζητή-
σωμεν τὰ ἀναφυέντα εἰ συμβαίνου-
σι τοῖς ὁρισθεῖσι παρὰ τῶν ἁγίων ἡμῶν
πατέρων ∴ χρὴ τοίνυν ἐκεῖνα τὰ ἀνα-
φυέντα πρότερον ζητηθῆναι καὶ
ἡμᾶς δοκιμάσαι εἰ συνῳδὰ τυγχάνουσι

μο

τοῖς ὁρισθεῖσι παρὰ τῶν ἁγίων πατέρων·
ἢ βούλεσθε τὴν πίστιν τῶν ἁγίων πατέρων
ἀνασκευάσαι; ἡ ἁγία σύνοδος εἶπεν·
εἴ τις ἀνασκευάσει, ἀνάθεμα ἔστω· ὅ-
στις ἐξετάζεται, ἀνάθεμα ἔστω·
τὴν πίστιν τῶν πατέρων φυλάσσομεν ἐν
Χαλκηδόνι. καὶ ἐν τοῖς [illegible] ἐσχέθη-
σαν. οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέ-
στατοι ἐπίσκοποι ἐξεφώνησαν· ταῦτα
οὐχ εἴπομεν. Θεόδωρος ὁ εὐλαβέστα-
τος εἶπε Κλαυδιουπόλεως ἐπίσκοπος·
ἀ[illegible] τοῦ μοναστηρίου αὐτοῦ· ἐκ [illegible]
γὰρ [illegible] τῶν μοναστηρίων τούτων
αὐτοῦ ἐπὶ [illegible] γράφειν ἐλθόντων οἱ μο-
ναχοὶ καὶ εἰπόντων εἰ ἐγράφη ταῦτα,
εἶπον [illegible] ἀμέτρως ἀνέγνωσθη,
[illegible] καὶ ὑπέγραψαν· οἱ [illegible]
[illegible] ἀρχόντων καὶ ἡ ὑπερφυὴς σύγ-
κλητος εἶπε· τὰ ὑπομνήματα τῇ
χειρὶ γέγραπται. Διόσκορος ὁ εὐλα-
βέστατος ἐπίσκοπος τῆς Ἀλεξανδρέ-
ων εἶπεν· ἕκαστος διὰ τῶν ἑαυτοῦ
νοταρίων ἔγραψεν· οἱ ἐμοὶ, τὰ ἐμά·
οἱ τοῦ θεοσεβεστάτου ἐπισκόπου Ἰου-
βεναλίου, τὰ αὐτοῦ· οἱ τοῦ θεοσεβε-
στάτου ἐπισκόπου Θαλασσίου, τὰ

αὐτοῦ· ἦσαν δὲ καὶ ἄλλων εὐλαβεστάτων
ἐπισκόπων πολλοὶ νοτάριοι ἐκλαμ-
βάνοντες οὕτως· οὐχ ἑτέρων ἐμῶν
νοταρίων τὸ γράμμα· ἕκαστος ἔχει τὸ
ἴδιον·: Ἰουβενάλιος ὁ εὐλαβέστατος
ἐπίσκοπος Ἱεροσολύμων εἶπεν·:
ἦν νοτάριός μου εἷς ἐκλαμβάνων μετὰ
τῶν ἄλλων νοταρίων·: Θαλάσσιος
ἐπίσκοπος Καισαρείας Καππαδο-
κίας εἶπε· καὶ ἐμὸς εἷς ἦν ἐκλαμβά-
νων· Διόσκορος ὁ εὐλαβέστατος ἐπί-
σκοπος Ἀλεξανδρείας εἶπεν· ἰδοὺ
καὶ ὁ νοτάριος τοῦ ἐπισκόπου Ἰουβε-
ναλίου ἐξέλαβε· καὶ ὁ νοτάριος τοῦ
ἐπισκόπου Θαλασσίου· καὶ τῆς Κο-
ρίνθου ἐξέλαβε· μὴ οἱ ἐμοὶ μόνοι;·
Εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος
Δορυλαίου εἶπεν·: ἀξιῶ τὸν θεο-
φιλέστατον ἐπίσκοπον Στέφανον τῆς
Ἐφέσου ἐρωτηθῆναι εἰ μὴ ἐξειλήφασι
τὰ ὑπομνήματα τῆς συνόδου
οἱ νοτάριοι αὐτοῦ· καὶ τί ἂν πεπόνθα-
σι παρὰ τῶν νοταρίων τοῦ θεοφιλε-
στάτου ἐπισκόπου τῆς Ἀλεξανδρείας
Διοσκόρου·: οἱ ἐνδοξότατοι ἄρχον-
τες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε·
τί λέγει πρὸς ταῦτα ὁ εὐλαβέστατος

ἐπίσκοπος Στέφανος :· Στέφανος
ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου εἶ-
πεν· ὀξελάμμανον οἱ νοτάριοι Ἰουλι-
ανὸς ὁ νῦν εὐλαβέστατος ἐπίσκοπος
Λεβέδου· καὶ Κρισπῖνος διάκονος· καὶ
ἦλθον οἱ νοτάριοι τοῦ εὐλαβεστάτου
ἐπισκόπου Διοσκόρου καὶ ἀπήλειψαν
αὐτῶν τὰς δέλτους· καὶ τοῖς δακτύ-
λοις αὐτῶν παρὰ τι ἔκλασαν· θέλοντες
λαβεῖν καὶ τὰ καλαμάρια αὐτῶν· καὶ
οὐδὲ ἐὰν ἐπιγράφαι ἔλαβον τῶν ὑπομνη-
μάτων· οὔτε οἶδα εἴ ποτε τί ἐγένετο:
ἀλλὰ καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐν ᾗ ἡ ἐξέ-
τασις ἐγένετο· ὑπεγράψαμεν εἰς
χάρτην· καὶ οἱ ἐπίσκοποι οἱ μὴ ὑπο-
γράψαντες ἐμοῦ ἐγγυησαμένου τῇ
ἑξῆς ὑπέγραψαν: Εὐσέβιος ὁ εὐλαβέ-
στατος ἐπίσκοπος Δορυλαίου εἶπεν:
ἀξιῶ τὸν θεοφιλέστατον ἐπίσκοπον
τῆς Ἐφέσου Στέφανον εἰπεῖν εἰς ποῖ-
ον χάρτην ὑπέγραψαν :· Στέφανος
ὁ εὐλαβέστατος ἐπίσκοπος Ἐφέσου
εἶπεν: εἰς ἄγραφον χάρτην· ἐν αὐ-
τῇ γὰρ τῇ ὥρᾳ ἐν ᾗ ἡ καθαίρεσις γέ-
γονεν· εὐθὺς καὶ ἡ ὑπογραφὴ ἐγένετο:·
Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος
Ἀλεξανδρείας εἶπεν:· ἀνεγνώσθη

ἢ κατάθεσις τοῦ εὐλαβεστάτου ἐπι-
σκόπου Στεφάνου. ἆρα ἐγὼ αὐτὸν ἠ-
νάγκασα καταθέσθαι; Ἀκάκιος
ὁ εὐλαβέστατος ἐπίσκοπος Ἀριαρα-
θείας εἶπεν· ἄγραφον χάρτην ὑπε-
γράψαμεν ἀναγκασθέντες καὶ βια-
σθέντες καὶ μυρία κακὰ παθόντες
μὴ βουλόμενοι· ἀλλὰ τυραννούμε-
νοι ὑπεσημηνάμεθα. ἕως γὰρ ἑ-
σπέρας κατέσχον ἡμᾶς ἀποκλείσαν-
τες εἰς τὴν ἐκκλησίαν· καὶ ἀνωμα-
λοῦντας ἡμᾶς οὐ συνεχώρησαν· οὔ-
τε ἀναπνεῦσαι ἢ ἀναχωρῆσαι καὶ
ἑαυτοὺς γενέσθαι· ἀλλὰ στρατιώτας
ἡμῖν ἐπήγαγον. μετὰ μάχλων καὶ ξί-
φων καὶ μονάζοντας. καὶ οὕτως ἐ-
ποίησαν ἡμᾶς ὑποσημήνασθαι.
οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερ-
φυὴς σύγκλητος εἶπεν· ἀναγινώ-
σκέσθω τὰ λοιπά. Κωνσταντῖνος
ὁ καθωσιωμένος σηκρητάριος
τοῦ θείου κονσιστωρίου ἐκ τοῦ αὐτοῦ
χαρτίου ἀνέγνω. Διόσκορος ἐπί- ἐπὶ Διο-
σκοπος Ἀλεξανδρείας εἶπεν· ἐγὼ σκόρου·
πρὸς πληροφορίαν ἁπάντων καὶ
βεβαίωσιν τῆς πίστεως· καὶ πρὸς
ἀνατροπὴν τῶν ἀναφυέντων τῶν

τῶν προφητῶν ἐρευνῶν καὶ τῶν ἐν νικαίᾳ [α]
καὶ τῶν ἐν ἐφέσῳ: ἡ ἁγία σύνοδος
εἶπε· τοῦτο τὴν οἰκουμένην σώζει·
τοῦτο τὴν πίστιν στηρίζει· καὶ ἐν τῷ
ἀναγινώσκεσθαι· εὐσέβιος ὁ εὐλα-
βέστατος ἐπίσκοπος δορυλαίου
εἶπεν· ἰδοὺ ἐρευνῶν εἶπε· καθὼς τοῦ-
ἐν χαλκηδόνι: — το πεποίηκα: διόσκορος ὁ εὐλα-
βέστατος ἐπίσκοπος ἀλεξανδρείας
εἶπεν· ἐρευνῶν εἶπον· οὐ καινοτομῶν·
καὶ γὰρ ὁ σωτὴρ προσέταξεν ἡμῖν λέγων·
ἐρευνᾶτε τὰς γραφάς· ὁ δὲ ἐρευνῶν
τὴν γραφὴν οὐ καινοτομεῖ:
εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος
δορυλαίου εἶπεν: ὁ σωτὴρ εἶπε· ζη-
τεῖτε καὶ δοθήσεται ὑμῖν:
κωνσταντῖνος ὁ καθωσιωμένος
σηκρητάριος τοῦ θείου κονσιστωρίου
ἀπὸ τοῦ αὐτοῦ χαρτιδαρίου ἀνέγνω:
ἐπὶ διοσκόρου: — διόσκορος ἐπίσκοπος ἀλεξανδρείας
εἶπεν· εἰ καὶ δύο λέγονται σύνοδοι
ἀλλ' εἰς μίαν συντείνουσι πίστιν: ω
ἡ ἁγία σύνοδος εἶπεν· ἀπαραλείπτ
πάντα ὥρισαν οἱ πατέρες· ὁ παραβαί
νων ταῦτα ἀνάθεμα· οὐδεὶς προσ
τίθησιν οὐδεὶς ἀφαιρεῖ: διόσκορ
ἐπίσκοπος ἀλεξανδρείας εἶπεν

.ιχ.

ʼὡσεὶ δὴ τὰς φωνὰς ὑμῶν καὶ θεὸς ἀ-
-ποδέχεται· καὶ αὐτοὶ τὰς ἑαυτῶν κα-
-ταδέχεσθε ὡς βεβαίας εἶναι καὶ ἀρεσκού-
-σας θεῷ· εἴ τις παρὰ τὰ πεπραγμένα·
παρὰ τὰ δεδογμένα τοῖς πατράσι·
τοῖς ἐν νικαίᾳ συνελθοῦσι· καὶ τοῖς
ἐνταῦθα συνειλεγμένοις· ἢ ζητεῖ·
ἢ πολυπραγμονεῖ· ἢ ἀνασκευάζει· ἀ-
-νάθεμα ἔστω: ἡ ἁγία σύνοδος εἶπε:
μεγάλῳ φύλακι τῆς πίστεως διοσκό-
-ρῳ τῷ ἀρχιεπισκόπῳ: διόσκορος
ἐπίσκοπος ἀλεξανδρείας εἶπε·
καὶ τὸ ἔνδοξον λέγω ὅπερ ἐστὶ φοβερὸν
καὶ φρικτόν· ἐὰν φησὶν ἁμαρτάνων
ἁμαρτήσῃ ἀνὴρ εἰς ἄνδρα· καὶ προσεύ-
-ξονται ὑπὲρ αὐτοῦ πρὸς κύριον· ἐὰν δὲ
εἰς κύριον ἁμαρτήσῃ τίς προσεύξηται ὑ-
-πὲρ αὐτοῦ· εἰ τοίνυν τὸ πνεῦμα τὸ
ἅγιον συνήδρευσε μετὰ τῶν πατέρων·
ὡς ἀνθρώποις καὶ συνήδρευσε καὶ ἐτύ-
-πωσε τὰ τετυπωμένα· ὁ ἀνασκε-
-υάζων αὐτὰ, τὴν τοῦ πνεύματος ἀθετεῖ
χάριν: ἡ ἁγία σύνοδος εἶπε· πάντες
ταῦτα λέγομεν· ἀνάθεμα ἔστω ὁ
ἀνασκευάζων· ἐκκαλέσθω ὁ ἀνασκε-
-υάζων: διόσκορος ἐπίσκοπος
ἀλεξανδρείας εἶπεν: οὐδεὶς τῶν

τοῖς πεπραγμένοις·· ἡ ἁγία σύνοδος
εἶπεν· αὗται αἱ φωναὶ τῆς ἁγίου·
τῷ φύλακι τῶν κανόνων· διὰ σοῦ ζῶ-
σιν οἱ ἱερεῖς· τῷ φύλακι τῆς πίστεως·
καὶ ἐν τῷ ἀναγινώσκεσθαι· Θεόδωρος
ὁ εὐλαβέστατος ἐπίσκοπος Κλαυδιου-
πόλεως εἶπεν· οὐδεὶς εἶπε ταῦτα·
Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος
Ἀλεξανδρείας εἶπεν· ἐκ τῶν ὁμολο-
γουμένων πάντα ἀρνεῖσθαι θέλουσιν·
εἴπωσι καὶ τοῦτο ὅτι οὐδὲ παρῆμεν·
Κωνσταντῖνος ὁ καθωσιωμένος ση-
κρητάριος τοῦ θείου κονσιστωρίου ἐκ
τοῦ χιδαρίου ἀνέγνω· Ἐλπίδιος ὁ
περίβλεπτος κόμης εἶπεν· ἐπὶ Δι-
οσκόρου· φανερῶν ὄντων τῶν δε-
δογματισμένων ὑμῖν ἐπὶ τῇ ἁγίᾳ πίστει· καὶ
τῆς κοινῆς ἁπάντων φωνῆς συν-
θεμένης τε καὶ εὐφημησάσης τὴν
ὑμῶν τῶν προεδρευόντων ψῆφον·
κελεύσατε τὸν ἀρχιμανδρίτην Εὐτυ-
χῆν· ἐφ᾽ ὧν κέχρηται ταῖς κεκτημέναις χαι
ὧδ᾽ ἦν ὑπόθεσις πάσης τῆς πράξεως·
καὶ οὗ ἕνεκα γέγραπται ὑμῖν τὸ πολὺ
μέρος τοῦ θείου γράμματος· παρεῖναι
καὶ τὰ δοκοῦντα αὐτῷ διδάξαι τὴν
ὑμετέραν θεοσέβειαν· ἡ ἁγία σύνο-

δος εἶπεν· ἀκολούθως. Ἰουβενάλιος ὁ
ἐπίσκοπος Ἱεροσολύμων εἶπεν·
εὔλογον παρεῖναι τὸν θεοσεβέστατον
ἀρχιμανδρίτην Εὐτυχέα· καὶ τοῖς
αὐτοῦ δικαιώμασι χρήσασθαι· καὶ
εἰσελθόντος αὐτοῦ. Θαλάσσιος ὁ ἐ-
πίσκοπος Καισαρείας Καππαδοκί-
ας εἶπε· τὰς προσούσας αὐτῷ δικαι-
ολογίας ὁ εὐλαβέστατος ἀρχιμανδρί-
της Εὐτυχὴς σαφηνιζέτω τῇ ἁγίᾳ
ταύτῃ καὶ μεγάλῃ συνόδῳ:
Εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν· ὑμῖν
ἐγὼ παρεθέμην ἐμαυτόν. τῷ πατρὶ
τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι καὶ τῷ λόγῳ
τῆς ἀληθείας. τῆς ὑμῶν δικαιοσύ-
νης· καὶ μάρτυρας ὑμᾶς ἔχω τῆς
ἐμαυτοῦ πίστεως· ὑβρίσθην καὶ ἐκινδύ-
νευσα μεθ' ὑμῶν μετὰ τῆς ἁγίας
συνόδου τῆς πρὸ ὑμῶν ἐνταῦθα
συναχθείσης· ὡς καὶ ἡ ὑμετέρα ὁ-
σιότης μαρτυρεῖ· ἔχω δὲ μετὰ χεῖρας·
καὶ τὸν λίβελλον τὸν περὶ τῆς πίστε-
ώς μου· κελεύσατε αὐτὸν ἀναγνωσ-
θῆναι· καὶ τὴν ὁμολογίαν δὲ τῆς πί-
στεως τῆς ἐγκειμένης αὐτῷ.
Στέφανος ἐπίσκοπος Ἐφέσου εἶπε·
δίκαιόν ἐστι τὴν ὁμολογίαν καὶ τοὺς

λιβέλλοις τοῦ εὐλαβεστάτου ἀρχιμαν-
δρίτου Εὐτυχοῦς ὑποδεχθέντας ἐν τά-
γμασι τῇ πράξει τῶν ὑπομνημάτων
καὶ ἐπιδοθέντων αὐτῶν. Ἰωάννης
πρεσβύτερος καὶ πρωτονοτάριος
ἀνέγνω· Τῇ ἁγίᾳ ταύτῃ καὶ θεοφιλεστάτῃ
συνόδῳ οἰκουμενικῇ συνελθούσῃ ἐν
τῇ Ἐφεσίων μητροπόλει· παρὰ Εὐτυχοῦς
ἀρχιμανδρίτου· εὐχαριστῶ τῷ πανα-
γίῳ θεῷ τῆς παρούσης ἡμέρας καθ' ἣν
ἡ εὐσέβεια δι' ὑμᾶς τὴν παρρησίαν
ἀπείληφεν· ἀναδιδάσκω τὴν ὑμετέραν
ἁγίαν σύνοδον τὰ ἐπ' ἐμοί· μᾶλλον δὲ
κατὰ τῆς ὀρθῆς πίστεως παρακολου-
θήσαντα· προθυμηθεὶς μὲν ἐκ νέας
χρόνων ἡλικίας ἐν ἡσυχίᾳ ἀπραγμό-
νως μέχρι γήρως διατελεῖν, καὶ πάσης
ἔξω ταραχῆς καθεστάναι· οὐ συγχωρη-
θεὶς δὲ τῆς τοιαύτης ἐν ἀπολαύσει γε-
νέσθαι προθέσεως· ἀλλὰ καὶ τοῖς ἐσχά-
τοις ἐξ ἐπιβουλῆς κληθεὶς κινδύνοις·
διὰ τὸ κατὰ τὸν ὅρον τῆς ἐνταῦθα προ-
τέρας ὑμῶν ἁγίας συνόδου μερῶν δόξασ-
θαι παρὰ τὴν ἐν Νικαίᾳ ὑπὸ τῶν ἁγίων
πατέρων ἐκτεθεῖσαν πίστιν φρονεῖν· ἀναγ-
καῖον δὲ πρὸ τῆς διδασκαλίας τῶν γε-
νομένων εἰς πληροφορίαν τῆς ὑμε-

-τέρας ὁσιότητος· ἣν ἔχομεν περὶ τοῦ
ἁγίου δόγματος ὁμολογίαν· φανερὰν
αὖθις ποιῆσαι· μαρτυροῦντος μὲν τοῦ
τοῦ θεοῦ· μαρτυρούσης δὲ καὶ τῆς ὑμε-
-τέρας ἁγιωσύνης· μεθ' ἧς καὶ αὐτὸς
ἀεὶ κατὰ δύναμιν ὑπὲρ τῆς ὀρθοδό-
-ξου πίστεως κατὰ τῶν αἱρετικῶν ἐ-
σπουδάσαμεν· Πιστεύομεν εἰς ἕνα θεὸν·
πατέρα παντοκράτορα· πάντων ὁρ-
-ατῶν τε καὶ ἀοράτων ποιητήν· καὶ
εἰς ἕνα κύριον ἰησοῦν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ γεννη-
-θέντα ἐκ τοῦ πατρὸς μονογενῆ· τουτέστιν
ἐκ τῆς οὐσίας τοῦ πατρός· θεὸν ἐκ θεοῦ· φῶς
ἐκ φωτός· θεὸν ἀληθινὸν· ἐκ θεοῦ ἀληθινοῦ·
γεννηθέντα οὐ ποιηθέντα· ὁμοού-
-σιον τῷ πατρί· δι' οὗ τὰ πάντα ἐγένετο·
τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ· τὸν
δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμε-
-τέραν σωτηρίαν· κατελθόντα· σαρκωθέν-
-τα· ἐνανθρωπήσαντα· παθόντα
καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· ἀνελ-
-θόντα εἰς τοὺς οὐρανούς· ἐρχόμενον
κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ
ἅγιον πνεῦμα· τοὺς δὲ λέγοντας ἦν ποτὲ
ὅτε οὐκ ἦν· καὶ πρὶν γεννηθῆναι οὐκ ἦν·
καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο· ἢ ἐξ ἑτέρας
ὑποστάσεως ἢ οὐσίας φάσκοντες εἶναι·

ἢ τρεπτὸν· ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θεοῦ·
ἀναθεματίζει ἡ ἀποστολικὴ καὶ καθο-
λικὴ ἐκκλησία· οὕτως ἄνωθεν ἐκ προ-
γόνων παραλαβὼν ἐπίστευσα καὶ πι-
στεύω· ἐν αὐτῇ γὰρ καὶ ἐτέχθην καὶ εὐ-
θέως ἀφιερώθην θεῷ· καὶ προσεδέξα-
το δεσπότου φιλανθρωπία· καὶ τῇ πίστει
ταύτῃ χθεὶς πεισθεὶς ἐσφράγισμαι·
καὶ μέχρι τῆς σήμερον ἔζησα· εὔχο-
μαι δὲ ἐν αὐτῇ καὶ τελειωθῆναι· ταύ-
την τὴν πίστιν καὶ ἡ μνημονευθεῖσα
ἐνταῦθα προτέρα ἁγία καὶ οἰκουμε-
νικὴ σύνοδος ἐβεβαίωσεν· ἧς καθη-
γήσατο ὁ τῆς μακαρίας καὶ ὁσίας μνή-
μης πατὴρ ἡμῶν καὶ ἐπίσκοπος Κύριλλος
καὶ ὅρον ἐξήνεγκε· τὸν παρὰ ταύτην
προστιθέντα τι· ἢ ἐπινοοῦντα ἢ
διδάσκοντα· ἐπιτιμίοις τοῖς τότε
ἐγγραφεῖσιν ὑποκεῖσθαι· ὧν τὰ ἴσα
ἐν μεγάλῳ ἀπέστειλέ μοι ὁ μνημονευθεὶς
ἐν ἁγίοις πατὴρ ἡμῶν καὶ ἐπίσκοπος
Κύριλλος· ἣν καὶ μετὰ χεῖρας ἔχω· ὑ-
ποτάξας τοίνυν ἐμαυτὸν τῇ ἁγίᾳ συ-
νόδῳ· καὶ τὸν ὅρον ταύτης ἄχρι τοῦ
παρόντος ἐφύλαξα· καὶ ἐν τῷ ἀνα-
γινώσκεσθαι: Εὐσέβιος ὁ εὐλαβέ-
στατος ἐπίσκοπος Δορυλαίου εἶπεν·

ἐν χαλκηδόνι: ἐψεύσατο· οὐχ ἔφην
ὅρος τοιοῦτος· οὐχ ἔφη κανόνων τοῦτο
διαγορεύειν: διόσκορος ὁ εὐλαβέ-
στατος ἐπίσκοπος ἀλεξανδρείας
εἶπε: τέσσαρα ἐστὶ βιβλία περιέχον-
τα τοῦτον τὸν ὅρον. οὓς ὥρισαν οἱ ἐπί-
σκοποι· οὐχ ἔφη ὅρος: μὴ γὰρ ἔχω
ὅτι κανόνων ἐστίν· οὐχ ἔφη κανόνων· ἄλλο
ἐστὶ κανόνων· ἄλλο ὅρος· κατηγόρησον
πέντε συνοδικῶν βιβλίων· κἀγὼ
ἔχω· καὶ ὁ δεῖνα καὶ ὁ δεῖνα ἔχει· ἐμέ-
κοσ τι πάντων τῶν βιβλίων: διογένης
ὁ εὐλαβέστατος κυζίκου εἶπε: ὁ λε- + ἐπίσκ(οπος)
ρῶν προέταξε τὴν ἐν νικαίᾳ τῶν ἁγί-
ων πατέρων σύνοδον· ἐδόξαν τὸ δὲ προσ-
θήκας παρὰ τῶν ἁγίων πατέρων· διὰ
τὴν ἔννοιαν τὴν κακὴν ἀπολιναρίου·
καὶ οὐαλεντίνου· καὶ μακεδονίου καὶ
τῶν ὁμοίων ἐκείνοις· καὶ προσέθη-
καν τῷ συμβόλῳ τῶν ἁγίων πατέρων·
τὸν κατελθόντα καὶ σαρκωθέντα
ἐκ πνεύματος ἁγίου· καὶ μαρίας τῆς παρ-
θένου· τοῦτο γὰρ παρέλειπεν εὐτυ-
χής· ὡς ἀπολιναριστής· καὶ ἀπολι-
νάριος γὰρ δέχεται τὴν ἐν νικαίᾳ ἁγί-
αν σύνοδον· κατὰ τὴν οἰκείαν παρά-
νοιαν ἐκλαμβάνων τὸ ῥητόν· καὶ

φεύγει τὸ ἐκ πνεύματος ἁγίου καὶ μαρίας τῆς
παρθένου· ἵνα πανταχοῦ μὴ τὴν ἕ-
νωσιν τῆς σαρκὸς ὁμολογήσῃ· οἱ γὰρ
ἅγιοι πατέρες οἱ μετὰ ταῦτα τὸ σαρκωθὲν
ὃ εἶπον οἱ ἅγιοι ἐν νικαίᾳ πατέρες· ἐσαφή-
νισαν εἰπόντες ἐκ πνεύματος ἁγίου καὶ μαρίας
τῆς παρθένου:· οἱ αἰγύπτιοι καὶ
οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι
ἐξεβόησαν: οὐδεὶς δέχεται προσθή-
κην· οὐδεὶς μείωσιν· τὰ τῶν ἐν νικαί-
ᾳ κρατείτω· ὁ ὀρθόδοξος βασιλεὺς
τοῦτο ἐκέλευσεν:· οἱ ἀνατολικοὶ καὶ
οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι
ἐξεβόησαν· ταῦτα εὐτυχὴς εἶπεν:·
οἱ αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέ-
στατοι ἐπίσκοποι εἶπον· προσθήκην
οὐδεὶς δέχεται· κρατείτω τὰ τῶν ἡ-
μετέρων πατέρων· τὰ τῶν ἐν νικαίᾳ κρατείτω·
τὰ ἐκ πνεύματος ἁγίου κρατείτω· ὁ ὀρθόδοξος
βασιλεὺς τοῦτο ἐκέλευσε:·
κωνσταντῖνος ὁ καὶ θωσιωνύμος μα-
γιστριανὸς καὶ σηκρητάριος τοῦ θείου
κονσιστωρίου· ἐκ τοῦ αὐτοῦ χιδαρίου
ἀνέγνω:· καὶ πάντας δὲ τοὺς ἁγίους
πατέρας· ὡς καὶ ἡ ὑμετέρα θεοσέβεια·
ὀρθοδόξους ἔχων· καὶ πιστοὺς καὶ διδασ-
κάλους ἐμαυτῷ ἐθέμην· ἀναθεματίζω·

μάνην· βαλεντῖνον· ἀπολινάριον
καὶ νεστόριον· καὶ πάντας τοὺς αἱρε-
-τικούς. ἕως σίμωνος τοῦ μάγου· καὶ
τοὺς λέγοντας τὴν σάρκα τοῦ κυ καὶ
θυ ἡμῶν ιυ χυ. ἐξ οὐρανοῦ καταληλυθέ-
-ναι· καὶ ἐν τοῖς ἀμφιβόλοις σκέπτεσθαι :·
ἐν χαλκηδόνι :· εὐσέβιος ὁ εὐλα-
-βέστατος ἐπίσκοπος δορυλαίου εἶ-
-πεν· ἐφυτεύθη τὸ, τὸ ἐκ δύο φύσεων· οὐ
προστέθεικε δὲ τὸ θεόν :· διογένης
ὁ εὐλαβέστατος ἐπίσκοπος κυζίκου
εἶπε :· τὸ θεὸν οὖν εἶπε· καὶ τὴν ἐ-
-ξουσίαν ὑμῶν. παρεκαλέσαμεν αὐτὸν
λέγοντες· κύρι εὐτυχή. πόθεν οὖν εἶπε.
καὶ οὐ συνεχώρησε :· βασίλειος ὁ
εὐλαβέστατος ἐπίσκοπος σελευκείας
εἶπε: παρεκαλέσαμεν τὸ πρῶτον με-
-μνῆσθαι καὶ ὁ κύριος εὐσέβιος· καὶ σώ-
-ζων ὁ φιλίππων· ὥστε εἰπεῖν αὐτὸν τὸν
τρόπον τῆς σαρκώσεως· καὶ τῆς ἐναν-
-θρωπήσεως· εἰ κατὰ πρόσληψιν σαρ-
-κὸς οἶδε τὸν θεὸν λόγον γενόμενον ἄνθρωπον·
καὶ ἐκέλευσαν ἀπερίεργον ἐᾶσαι τοῦτο·
καὶ οὐ προσεδέξαντο τὴν δικαιολογί-
-αν ἡμῶν :· διόσκορος ὁ εὐλαβέστατος
ἐπίσκοπος ἀλεξανδρείας εἶπεν :·
ὁ θεοσεβέστατος ἐπίσκοπος βασίλειος

ἐπελάβετο ἐν ὑπομνήμασι· τῆς ἑ-
αυτοῦ φωνῆς λέγων· ὅτι οὕτως οὐκ
εἶπον· ἀλλὰ ἐπλαστογραφήθη· εἰ δὲ
εὐτυχὴς παρὰ τὰ δόγματα τῆς ἐκ-
κλησίας φρονεῖ· οὐ μόνον τιμωρίας
ἄξιός ἐστιν· ἀλλὰ καὶ πυρός: ἐγὼ γὰρ
τῆς πίστεως τῆς καθολικῆς καὶ ἀπο-
στολικῆς φροντίδα τίθεμαι· οὐκ ἀ[illegible]
τινός· περὶ γὰρ αὐτὸ τὸ θεῖον τὸν νοῦν
πεπταμένον ἔχω· καὶ εἰς πρόσωπον
οὐκ ἀφορῶ· οὔτε μὴν φροντίζω τινός·
ἢ τῆς ἐμαυτοῦ ψυχῆς καὶ τῆς ὀρθῆς
καὶ εἰλικρινοῦς πίστεως:· Βασίλειος
ὁ εὐλαβέστατος ἐπίσκοπος σελευκείας
ἰσαυρίας εἶπεν:· ἀναγινωσκομένων
τῶν ὑπομνημάτων τῶν ἐπὶ εὐτυχεῖ
πραχθέντων· ἡ διαλαλιὰ ἡ ἐμὴ ἀνε-
γνώσθη· καὶ εἰς μέσον ἤχθη ἣν ἐποιη-
σάμην. ἀκολουθῶν τοῖς ἐν ἐφέσῳ πα-
τράσι τοῖς πρότερον συνεδρεύσασιν·
ἀποδεξάμενος τὴν ἐπιστολὴν τοῦ
μακαριωτάτου κυρίλλου τῆς συνόδου
τῆς μακαρίας ἐκείνης ἡγησαμένου·
διὰ τὸν φρενομανῆ νεστόριον ἐλεγχθέ(ντα)·
παρερμηνεύοντα τὴν τῶν τριακο-
σίων δέκα καὶ ὀκτὼ πατέρων πίστιν·
σχεδὸν ἡ διαλαλιά μου· ὡς καὶ μέχρι

μὼν ἔχομεν· ὅτι προσκυνοῦμεν τὸν ἕνα
κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν
μονογενῆ· τὸν θεὸν λόγον· μετὰ τὴν σάρ-
κωσιν· καὶ τὴν ἐνανθρώπησιν· ἐν
δύο φύσεσιν γνωριζόμενον :·
οἱ αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέ-
στατοι ἐπίσκοποι ἐξεφώνησαν :·
τὸν ἀμέριστον μηδεὶς χωριζέτω·
τὸν ἕνα υἱὸν οὐδεὶς λέγει δύο :·
οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλα-
βέστατοι ἐπίσκοποι ἐξεφώνησαν :·
ἀνάθεμα τῷ μερίζοντι· ἀνάθεμα
τῷ διαιροῦντι :· Βασίλειος ὁ εὐ-
λαβέστατος ἐπίσκοπος Σελευκείας Ἰσαυ-
ρίας εἶπεν :· ἀνάθεμα τῷ μερίζο-
ντι· ἀνάθεμα τῷ διαιροῦντι τὰς
δύο φύσεις μετὰ τὴν ἕνωσιν· ἀνά-
θεμα δὲ καὶ τῷ μὴ γνωρίζοντι τὸ ἰδι-
άζον τῶν φύσεων :· οἱ αἰγύπτιοι
καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκο-
ποι ἐξεφώνησαν· ὡς ἐγεννήθη οὕτως
ἔπαθε· τὰς φωνὰς τῷ βασιλεῖ· εἷς
κύριος· μία πίστις· τὸν ἕνα κύριον
δύο οὐδεὶς λέγει· ταῦτα νεστόριος ἐ-
φρόνει· ταῦτα νεστόριος ἐβόα :·
οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλα-
βέστατοι ἐπίσκοποι· ἐξεφώνησαν·

ἀνάθεμα Νεστορίῳ καὶ Εὐτυχεῖ:·
οἱ αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέ-
στατοι ἐπίσκοποι. ἐξεβόησαν:·
τὸν κύριον τῆς δόξης μὴ μερίζετε·
τὸν ἀμέριστον μὴ μερίζετε:·
Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος
Σελευκείας Ἰσαυρίας. εἶπεν· ὃ ἐ-
λέγομεν ἐν δύο φύσεσι γνωριζόμενον
μετὰ τὴν ἕνωσιν θεότητι τελείᾳ,
καὶ ἀνθρωπότητι τελείᾳ· τὴν μὲν
γὰρ εἶχεν ἐκ πατρὸς προαιώνιον· τὴν
δὲ ἐκ τῆς κατὰ σάρκα μητρὸς λαβὼν ὁ
αὐτὸς ἥνωσεν ἑαυτῷ καθ' ὑπόστα-
σιν· καὶ κεχρημάτικεν ὁ υἱὸς τοῦ
θεοῦ υἱὸς ἀνθρώπου:· ταύτης ἀναγνω-
σθείσης τῆς διαλαλιᾶς. εἷς μέν τις.
οὐκ οἶδα δέ. ὅστις· ἢ παρ' ἀχλὺς τῶν
πραγμάτων· καὶ τὸ τῆς ψυχῆς οἰ-
κείως συνέχεε. καὶ τὸ τοῦ σώματος.
ἔρριψεν ἑαυτὸν εἰς τὸ μέσον. καὶ ἤρ-
ξατο λέγειν· ὅτι αὕτη ἡ φωνὴ τὴν ἐκ-
κλησίαν ἐτάραξεν· ἀνέστησαν
λοιπὸν πάντες οἱ αἰγύπτιοι καὶ οἱ
μονάζοντες. οἱ ἀκολουθοῦντες Βαρ-
σουμᾷ· καὶ πᾶς ὁ ὄχλος ἤρξαντο λέγειν·
τὸν λέγοντα δύο φύσεις. εἰς δύο τέμε·
ὁ λέγων δύο φύσεις. Νεστόριός ἐστι·

μετὰ ταῦτα ἀνεγνώσθη πάλιν ἐμὴ
φωνὴ μετὰ τὴν ἀσεβῆ καὶ ἀλλόκοτον
Εὐτυχοῦς φωνήν· ἐρωτώμενος γὰρ
παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου
Εὐσεβίου· εἰ λέγει δύο φύσεις ἐν τῷ
Χριστῷ. εἶπεν·· ἐκ δύο μὲν φύσεων
εἰδέναι τὸν Χριστὸν πρὸ τῆς ἑνώσεως·
μετὰ δὲ τὴν ἕνωσιν μίαν· ἐγὼ δὲ
τότε ὡς μήπω ἐντυχὼν τοῖς ὑπομνή-
μασιν· ἀνεμνήσθην καὶ εἶπον· ἐὰν
μετὰ τὴν ἕνωσιν· ἀχωρίστοις καὶ ἀ-
συγχύτοις εἴπῃς δύο φύσεις· σύγχυ-
σιν λέγεις καὶ σύγκρασιν:· ὁ
ἀναγνωσθείσης τῆς φωνῆς τοσοῦτος
ἐγένετο κρότος· ὥστε πάντων ἡμῶν
ταραχθῆναι τὴν ψυχήν· καὶ μάλιστα·
ἡμῶν τῶν κρινομένων· καὶ κελευ-
σθέντων ἀναμένειν τὴν ψῆφον
τῆς συνόδου ἀχλύος πληρωθεὶς
εἶπον:· ὅτι ἐγὼ οὐ μέμνημαι αὐταῖς
λέξεσι ταῦτα εἰρηκώς· οἶδα μέντοι
εἰρηκώς· ὅτι ἐὰν μίαν φύσιν εἴπῃς
ἀπολελυμένως μετὰ τὴν ἕνωσιν·
σύγχυσιν λέγεις καὶ σύγκρασιν· ἐὰν μέν-
τοι γε προσθῇς σεσαρκωμένην καὶ
ἐνανθρωπήσασαν καὶ νοήσῃς πα-
ραπλησίως τῷ μακαριωτάτῳ Κυρίλλῳ

ρεῖ ἄλλως τὴν σάρκωσιν καὶ τὴν ἐνανθρώ-
πησιν· ταῦτα λέγεις ἡμῖν· δῆλον
γὰρ ὅτι ἄλλο μέν τι ἐστὶν ἡ θεότης αὐτοῦ
ἡ ἐκ τοῦ πατρός· ἄλλο δὲ ἡ ἀνθρωπότης
ἡ ἐκ τῆς μητρός· καὶ οἱ κατεγνωκότες πρό-
τερον ὕστερον ἀπεδέξαντο. μετὰ
ταῦτα εἰρηκότα:· οἱ ἐνδοξότατοι
ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος
εἶπε:· καὶ οὕτως ὀρθοδόξως διδάξας·
διὰ τί τῇ καθαιρέσει Φλαβιανοῦ τοῦ
τῆς ὁσίας μνήμης ὑπέγραψας:·
Βασίλειος ὁ εὐλαβέστατος ἐπίσκοπος
Σελευκείας Ἰσαυρίας εἶπεν· ἐπειδὴ
εἰς κρίσιν ἑκατὸν εἴκοσιν ἢ τριάκοντα
παραδοθεὶς ἐπισκόπων ἀνάγκην
εἴχομεν πείθεσθαι τοῖς ὑπ' ἐκείνων
τυπουμένοις:· Διόσκορος ὁ εὐλαβέ-
στατος ἐπίσκοπος Ἀλεξανδρείας
εἶπε· νῦν πεπλήρωται τὸ γεγραμ-
μένον· ἐκ τοῦ στόματός σου δικαιω-
θήσῃ· καὶ ἐκ τοῦ στόματός σου κατα-
κριθήσῃ· αἰδούμενος ἀνθρώποις· παρεῖκας
τὸ εὔλογον καὶ τὴν πίστιν ἠθέτησας;
οὐκ ἤκουσας· καὶ μὴ ἐντραπῇς εἰς πτῶ-
σίν σου; Βασίλειος ὁ εὐλαβέστατος
ἐπίσκοπος Σελευκείας Ἰσαυρίας εἶπεν·
εἰ πρὸς ἄρχοντας εἴχομεν μαρτύρων·

καὶ γὰρ ἐν χώρᾳ φαμὶ τῇ μου πόλει ἐπε-
δειξάμην παρρησίαν· παρὰ πρὸς δὲ
ὁ κρινόμενος. δικαίοις οὐκ ἔχρηται·
πᾶς γὰρ περὶ δίκαια λέγων τεθνάτω:·
οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέ-
στατοι ἐπίσκοποι ἐξεβόησαν· πάν-
τες ἡμάρτομεν· πάντες συγγνώμην
αἰτοῦμεν:· οἱ ἐνδοξότατοι ἄρχον-
τες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπε:·
καὶ μὴν ὑμεῖς πρότερον ἐδιδάξατε
ὡς κατὰ βίαν καὶ ἀνάγκην ἀγράφῳ
χάρτῃ ὑπογράψαι κατηναγκάσθητε
εἰς τὴν καθαίρεσιν τοῦ τῆς ὁσίας
μνήμης Φλαβιανοῦ:· οἱ ἀνατολικοὶ
καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκο-
ποι ἐξεβόησαν· πάντες ἡμάρτομεν·
πάντες συγγνώμην αἰτοῦμεν:·
Βερονικιανὸς ὁ καθωσιωμένος καὶ
μαγιστριανὸς καὶ σηκρητάριος τοῦ θείου
κονσιστωρίου· ἀνέγνω ἀπὸ τοῦ αὐτοῦ
χιδαρίου· ἀλλὰ κατὰ ταύτην τὴν πί-
στιν· καὶ ζῶν καὶ προσκαρτερῶν ταῖς
εὐχαῖς. κατηγορίαν δὲ ἐπιβουλῆς ὑπο-
μεμένηκα παρὰ Εὐσεβίου τοῦ ἐπι-
σκόπου Δορυλαίου· λιμέλλοις ἐπιδόν-
τος κατ' ἐμοῦ τῷ εὐλαβεστάτῳ ἐπισκό-
πῳ Φλαβιανῷ· καὶ τοῖς ἐν διαφόροιν

ἰδίων μὲν ἕνεκα αἰτιῶν ἐν δημοσίοις ποτὲ
τῇ βασιλευούσῃ· αἱρετικὸν μὲν ἐμὲ
ὑπερφυχῶς ἐν αὐτοῖς ἀποκαλοῦντος·
οὐδὲν δὲ εἶδος αἱρέσεως τοῖς λιμέλλοις
ἐνθέντος· ὅπως ἀθρόον ἐν τοῖς ἤθεσι
τῆς ἐξετάσεως τοῖς τῆς γλώττης·
οἷα εἰκὸς ἐκ τῶν θορύβων ὀλίσθοι εἰς
ἁμάρτημα περιπέσοιμι· ἐχεφρονούμε-
νος· ἐμὲ μὲν οὖν ἐκ τῶν τῆς κατηγορίας
λιμέλλων ὁ μνημονευθεὶς εὐλαβέστατος
ἐπίσκοπος ἀναστῆσαι πρὸς τὴν ἀ-
πολογίαν τοῦ κατηγορηκότος παρεκε-
λεύετο· καὶ μὲν πολλὰ τῶν κατηγόρων,
σιωπῶν· καὶ σχεδὸν ἀχώριστος ὑπάρχων
αὐτῶν· οἰόμενος δὲ ὡς εἴθισμένον ἀπὸ
τῶν μοναστηρίων προσκαρτερεῖν· καὶ
παραγενήσεσθαι· καὶ διὰ τοῦτο καθυ-
ρήσειν ὡς οὐκ ἀπαντήσαντα· ἀφ' ὧν
μετὰ τὸ παραγενέσθαι με κατὰ τὴν
βασιλεύουσαν ἐκ τῆς μονῆς μεμαθηκὼς
παρὰ τοῦ θαυμασιωτάτου σιλεντια-
ρίου μαγίστρου· ὁ μὲν εὐσεβέστατος καὶ πι-
στότατος ἡμῶν βασιλεὺς ἀπέμεινε
πρὸς τὸ μὴ συγχωρῆσαί μοι τὸν ἀπα-
λούμενον ἐπὶ τῆς ὁρίας κίνδυνον, περὶ
τὴν εἰναιλοιπὸν τὴν παρουσίαν μου
ἀπεκρίνατο ὡς καὶ ἤδη πρὸ τῆς ἐξε

τάσεως καὶ θηρημένου· ὡς καὶ ἡ γε-
νομένη παρὰ τοῦ αὐτοῦ θαυμασιω-
τάτου σιλεντιαρίου μετὰ ταῦτα κα-
τάθεσις δηλοῖ· ἀλλ' ὅμως ἐπειδὴ καὶ οὕτως
τὸ κριτήριον ἐπὶ ταῖς ἀπολογίαις
κατέλαβον· τὴν μὲν ὑπὲρ τῆς θείας
ὁμολογίας παρ' ἐμοῦ γενομένην ἤτε
καὶ ὑπογραφεῖσαν διδασκαλίαν κατὰ
τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων πα-
τέρων τῶν ἐν Νικαίᾳ πίστιν· καὶ κα-
τὰ τὴν δὲ τὴν ἐν Ἐφέσῳ βεβαιωθεῖσαν
παρὰ τῆς προτέρας ἁγίας συνόδου·
οὔτε δέχεσθαι ἠξίου· οὔτε ἐπέτρεπεν
ἀναγινώσκεσθαι· θορυβοῦν δὲ τὸ κρι-
τήριον καὶ ταραχῆς ἐπληροῦτο· πλῆ-
θος ἐπιχυθέντων ἀτάκτως· καὶ
πανταχόθεν μὲν συγκραυγῇ δια-
θορυβούντων· ὡς αἱ ἐγγράφως μετὰ
ταῦτα ἐξενεχθεῖσαι παρὰ τῶν κρι-
μάτων διαλαλιαὶ περὶ τῆς ταραχῆς
δηλοῦσι· κελευσθέντος δέ μου δι' ἑαυτοῦ
λέγειν τὰ ἐπὶ τῇ ὁμολογίᾳ τῆς πίστε-
ως· καὶ εἰπόντος φρονεῖν ὡς οἱ τρια-
κόσιοι δέκα καὶ ὀκτὼ ἅγιοι πατέρες οἱ ἐν
Νικαίᾳ ἐθέσπισαν· καὶ ἡ ἐν Ἐφέσῳ ἁγία
σύνοδος ἐβεβαίωσεν· ἀπῄτει με
ἑτέρας τινὰς παρὰ τὰς ἐκτεθείσας

ἔν τε τῇ Νικαέων καὶ ἐν Ἐφέσῳ προ-
τέρων εἰπεῖν· ἐγὼ δὲ φοβηθεὶς πα-
ραβῆναι τόν τε ἐξενεχθέντα ὅρον
ὑπὸ τῆς ἁγίας συνόδου· τῆς ἐνταῦ-
θα συνειλεγμένης πρότερον κατὰ κ-
λῆσιν θεοῦ· τοῦ τε ὁρισθέντος ἐπὶ τῇ πί-
στει· παρὰ τῶν ἐν τῇ Νικαέων συνα-
χθέντων ἁγίων πατέρων. παρεκάλουν
ὁρισθῆναι τῇ ὑμετέρᾳ ἁγίᾳ συ-
νόδῳ· ὡς τοῖς παρ' ἡμῶν δοκιμαζο-
ϛτ' μένοις· ἑτοίμως ὑπάρχων·
καὶ ταῦτα λέγοντος ἀθρόον ἡ κατ' ἐμοῦ
πρὸ πολλοῦ συγγραφεῖσα ὡς ἔδοξεν
αὐτῷ καθαίρεσις· ἀνεγινώσκετο·
καὶ κατ' ἰδίαν λοιπὸν μετὰ ταῦτα
τινὲς δὲ αὐτῶν τε φωναὶ καὶ ἐμοῦ καὶ
ἄλλαι καταιτιαθεῖσαι· καὶ μάλιστα ἐν θα
ἐγὼ κατὰ τοὺς ἐν Νικαίᾳ ἁγίους πατέρας·
καὶ τοὺς μετὰ ταῦτα ἐν Ἐφέσῳ συνελ-
θόντας ὁμολογοῦν φρονεῖν· ἐπὶ τῶν
πεπραγμένων ὑπομνημάτων με-
τεπλάττοντο ὡς τὰ ἔγγραφα
μετὰ ταῦτα πραχθέντα κατὰ πα-
ράκλησιν ἐμήν. καὶ κέλευσιν τοῦ εὐ-
σεβεστάτου καὶ φιλοχρίστου ἡμῶν
βασιλέως· ἔδειξεν οὐδένα λόγον τοῦ
εὐλαβεστάτου ἐπισκόπου Φλαβιανοῦ

ποιησαμένου τῆς ἐμῆς εἰς τὴν ὑμε-
-τέραν ὁσιότητα ἐπικλήσεως· οὔτε
τὰς ἐμὰς πολιὰς αἰδεσθέντος ἐν ταῖς
κατὰ τῶν αἱρετικῶν πολέμοις. καὶ
τῇ τῆς εὐσεβείας ὁμολογίᾳ καταγη-
-ράσαντος· ἀλλ' ὡς ἐξουσίαν ἔχων πάν-
-τα καταμόνας περὶ τῆς πίστεως
πράττειν καὶ μηδὲν τῇ ὑμετέρᾳ ἁγι-
-ότητι τῶν τῆς τοιαύτης κρίσεως
ἐπιτρέπειν δικαίων καταπεφημα-
-τόμου καὶ τῆς ἐκκλησίας ἀπέτεμεν
ὡς ἐνόμιζε· καὶ τῆς ἱερωσύνης ἀ-
-φεῖλεν ὡς ᾤετο· καὶ τῆς τῶν θείων
μυστηρίων κοινωνίας ἀπεῖργε· καὶ
τοῦ προΐστασθαι μοναστηρίου παρὰ
τὴν ἀκολουθίαν ἀπεκώλυε· καὶ πα-
-ρέδωκε τῷ εἰς τοῦτο συντεταγμέ-
-νῳ πλήθει κατὰ τὸ ἐπισκοπεῖον·
ἐπὶ τῆς ἀγορᾶς ὡς αἱρετικὸν καὶ
βλάσφημον καὶ μανιχαῖον διαχει-
-ρίσασθαι· εἰ μὴ ἡ τοῦ θεοῦ πρόνοια
διασώσασά με κατὰ τὴν παροῦσαν
ἡμέραν τῇ ὑμετέρᾳ ἐτήρησεν ἁγι-
-ότητι· ἀλλὰ καὶ ἐν διαφόροις δα-
-κτηρίοις οἴκοις ἐν ταῖς τῶν ἁγίων
μνήμαις μετὰ τὴν ἔκκλητον· τήν
τε ἐπ' ἐμοὶ ψῆφον ἀναγινώσκεσθαι

ὦ παρεσκεύασε καὶ ἅμα ἀθεματίζε με·
καὶ τοῖς δὴ τυγχάνουσί μοι. καὶ προ-
διαλεγομένοις ἀλλοτρίοις τῆς θείας
κοινωνίας ὡς οἰόμην οὐ περιμείνας
τῆς ὑμετέρας ἁγιωσύνης τὴν κρί-
σιν· καὶ καθυπογράφειν τῇ γενομένῃ
κατ' ἐμοῦ ψήφῳ κατηνάγκασε μονα-
φηρεῖαι οὐδέποτε· ὡς καὶ ἡ ὑμετέρα
οἶδε θεοφίλεια· τοιαύτης συνηθείας
οὐδὲ κατὰ ταῖς αἱρετικῶν κρατησάσης·
καὶ εἰς τὴν ἅμα ἀπολὴν δὲ ὅζε ἔπεμψε τοῖς
χαρτία· καὶ πολλαχοῦ. ἐπὶ τοῖς καὶ
παρὰ ἄλλων θεοσεβεστάτων ἐπισκό-
πων τε καὶ μοναζόντων· καὶ ταῦτα
μὴ κρινάντων, καθυπογράφεσθαι·
καίτοι μᾶλλον ὀφειλόντων πρὸ πάντων
τοῖς ἀρχιερεῦσιν ἐπιστεῖλαι· οἷς καὶ
ἐπεκαλεσάμην· τότε μὲν οὖν μόλις
σὺν θεῷ; δι' αὐλικῶν μελλόντων. δῆλα πεποί-
ηκα τοῦ παρακολουθήσαντα πρὸς
τὴν ὑμετέραν θεοσέβειαν· καὶ τοῦ
εὐσεβεστάτου καὶ πιστοτάτου βασιλέ-
ως. ἐδεήθην ὑμᾶς τοῖς ὁσίοις καὶ θεο-
φιλεῖς· καὶ πᾶσαν ἀδικίαν καὶ συσκε-
υὴν ἀδελευτομένοις γενέσθαι δίκας
τὰς τῶν κεχρισμένων· δέομαι δὲ
μὲν τῆς ὑμετέρας ἁγιωσύνης λογι-

σασθαι τὴν κατασκευασθεῖσάν μοι
συκοφαντίαν καὶ ἐπιβουλήν· καὶ
τὴν ἐκ ταύτης τῆς αἰτίας γενομέ-
νην ταῖς πανταχοῦ ἁγίαις ταῖς
ἐκκλησίαις ταραχήν· καὶ τὸ ἐκ τούτου
πολλοῖς ἀναφυὲν σκάνδαλον διαλῦ-
σαι· καὶ διὰ τῆς προσούσης ὑμῖν φι-
λοχρίστου σοφίας· τοῖς μὲν τούτων
αἰτίοις· τοῖς ἐκκλησιαστικοῖς ὑπο-
βαλεῖν θεσμοῖς· πᾶσαν δὲ βλασφη-
μίας καὶ ἀσεβείας ῥίζαν ἐκκόψαι·
ἐγὼ γὰρ τὴν τῆς ὑμετέρας μακαριό-
τητος κρίσιν ἐξ ἀρχῆς ἐπεκαλεσάμην·
καὶ πάλιν δὲ διαμαρτύρομαι ἐνώπι-
ον τοῦ Χριστοῦ τοῦ μαρτυρήσαντος ἐπὶ
Ποντίου Πιλάτου· τὴν καλὴν ὁμολο-
γίαν· ὅτι οὕτως φρονῶ καὶ ἐνθυμοῦ-
μαι καὶ ἐννοῶ καθ' ἣν παρέδοσαν
ἡμῖν πίστιν οἱ ἅγιοι πατέρες· οἱ ἐπὶ τῆς
Νικαέων συνελθόντες· ἣν καὶ οἱ ἐν
Ἐφέσῳ ἐν τῇ δευτέρᾳ συνόδῳ ἅγιοι
πατέρες ἐκύρωσαν· καὶ εἴ τις παρὰ
ταύτην τὴν πίστιν δογματίζει, τοῦτον
ἀναθεματίζω κατὰ τὸν ὅρον αὐτῶν·
Εὐτυχὴς ἀρχιμανδρίτης. οὕτως πιστε-
ύω ὡς προγέγραπται καὶ ὑπέγραψα
χειρὶ ἐμῇ· καὶ ἐπέδωκα τοῖς λιβέλλ[οις]

φλαβιανὸς ὁ ἐπίσκοπος κωνσταντι-
νουπόλεως εἶπεν· οὗτος κατήγορον
ἔχων εὐσέβιον· κελεύσατε αὐτὸν πα-
ρεῖναι· καὶ ἐν τῷ ἀμφιγνώσκεσθαι·
εὐσέβιος ὁ εὐλαβέστατος ἐπίσκοπος
ἐν χαλ-
κηδόνι:
δορυλλαίου εἶπεν:· ὁ κατηγορηθεὶς
παρ' ἐμοῦ εὐτυχής· δι' οὓς λιβέλλους
ἐν τῇ ἁγίᾳ συνόδῳ ἐμφανιζόμενος ἐστὶν ὅ-
τι κατήγορος αὐτοῦ εἰμί· ποίῳ δὲ
τρόπῳ τοῦ δικάσαντος φλαβιανοῦ
τοῦ τῆς ὁσίας μνήμης ἀξιώσαντος
τὸν κατηγορούμενον εἰσελθεῖν καὶ τῆς
ἀκολουθίας καὶ τῶν κανόνων τοῦτο
βουλομένων· ἐκωλύθην εἰσελθεῖν,
ἀξιῶ ζητηθῆναι:· οἱ ἐνδοξότατοι
ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος
εἶπεν:· αἰτήσαντος φλαβιανοῦ
τοῦ τῆς ὁσίας μνήμης· ὥστε τὸν
εὐσέβιον τὸν κατήγορον εὐτυχοῦς
εἰσελθεῖν· διατί κατὰ τοὺς κανόνας
ὑμεῖς· οἷς ἡ ἐξουσία τοῦ δικάζειν ἐ-
δίδοτο τοῦτο γενέσθαι οὐ προσετά-
ξατε:· διόσκορος ὁ εὐλαβέστατος
ἐπίσκοπος ἀλεξανδρείας εἶπεν·
ἀξιῶ ἀναγνωσθῆναι τὴν καταθέ-
σιν ἐλπιδίου· οὐκ εἶχον γὰρ κωλῦσαι
ὃ μὴ κομμονιτώριον ἤνεγκεν ἐλπί

-διος διὰ τῶν βαιου ὕμβρος· ὅτι ὁ βα-
-σιλεὺς ἐκέλευσεν αὐτὸν μὴ εἰσελθεῖν:·
Ἰουβενάλιος ὁ εὐλαβέστατος ἐπίσκο-
-πος Ἱεροσολύμων εἶπεν:·
ὁ περίβλεπτος κόμης Ἐλπίδιος οὐκ
ἐπέτρεψεν εἰσελθεῖν αὐτόν:·
Θαλάσσιος ὁ εὐλαβέστατος ἐπίσκοπος
Καισαρείας Καππαδοκίας εἶπεν:
ἐγὼ οὐκ ἤμην αὐθέντης:·
οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερ-
-φυὴς σύγκλητος εἶπε· πίστεως
κρινομένης αὕτη οὐκ ἔχει χώραν ἀπολογία:·
Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος
Ἀλεξανδρείας εἶπεν:· ἐπειδὴ — Διόσκορ(ος) ἐπὶ Θεοδω-ρίτου:
νῦν αἰτιᾶσθέ με, ὡς παραβεβηκότα
τοὺς κανόνας· καὶ ἀκούσαντες ἐλπί-
-διον· νῦν ποῖοι σώζονται κανόνες·
ὅτι εἰσῆλθε Θεοδώριτος:·
οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερ-
-φυὴς σύγκλητος εἶπε· Θεοδώριτος
ὁ ἐπίσκοπος [illegible] κατηγο-
-ρήσων εἰσελήλυθεν ὡς τῆς αὐτοῦ
φωνῆς ἀκηκόατε:· Διόσκορος ὁ εὐ-
-λαβέστατος ἐπίσκοπος Ἀλεξανδρεί-
-ας εἶπε· καὶ τί ἐν τάξει ἐπισκόπου
καθέζεται:· οἱ ἐνδοξότατοι ἄρ-
-χοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος

εἶπε· καὶ ὁ ἐπίσκοπος Εὐσέβιος.
καὶ ὁ ἐπίσκοπος Θεοδώρητος ἐν τά-
ξει κατηγόρων καθέζονται· ὡς καὶ
ὑμεῖς ἐν τάξει κατηγορουμένων
καθέζεσθαι· ὅθεν τὰ λοιπὰ ἀμαι-
γνωσκέσθω:· Κωνστάντινος
ὁ καθωσιωμένος σηκρητάριος
τοῦ θείου κονσιστωρίου· ἀπὸ τοῦ
χιδαρίου ἀνέγνω:· Ἐλπίδιος ὁ
περίβλεπτος κόμης εἶπεν· ἐπὶ

quod desinunt esse accusatores.

Διοσκόρου· ὁ θειότατος βασιλεὺς
πληρῶν πρῶτος αὐτὸς τὴν τάξιν
τῶν νόμων· ἧς ἐστι καὶ εὑρετὴς καὶ
φύλαξ· παρεκελεύσατο τοὺς κρίναν-
τας ἤδη ἐν τάξει κρινομένων ὑπάρ-
χειν καὶ διδασκαλίας μὴ πω καιρὸν
ἔχειν· μὴ ταύτης τὴν παρρησίαν
δοῦν τῶν ὑμῶν· πρὸς δὲ τὰ νῦν εἰρη-
μένα παρὰ τοῦ θεοφιλεστάτου ἀρχι-
επισκόπου Φλαβιανοῦ· ἐκεῖνο διδά-
σκω· ὁ μὲν κατήγορος· τὴν ἑαυτοῦ
κατηγορίαν ἐπλήρωσε· καὶ νενίκη-
κεν ὡς οἴεται καὶ μετήνεγκε· λοιπὸν
τοῦ κατηγορήσαντος τὴν κρίσιν ἐς
ἑαυτὸν ὁ δικαστής· ὡς καὶ παρὰ τοῖς
ἔξω θεσμοῖς φυλάττεται· νῦν ποί-
νυν ὑμεῖς συνεληλύθατε· ὥστε τοῖς

κρίμασι κρῖναι· οὐ μὴν ἀπωσθὲν κα-
τηγόρου δόξασθαι πρόσωπον· καὶ
θορύβου πάλιν ἀρχὴν ἑτέραν γενέ-
σθαι· κελεύσατε τοίνυν εἰ δοκεῖ. κα-
τὰ τάξιν ἅπαντα τὰ λοιπὰ τὰ ἐ-
πὶ τῇ ὑποθέσει πεπραγμένα ἀνα-
γνωσθῆναι κατὰ τὸ ὑμῖν δοκοῦν·
ἀκολούθως ἐδίδαξεν ὁ περίβλεπτος
κόμης Ἐλπίδιος ὅθεν ἐπιδοθέντος
τοῦ λιβέλλου καὶ ἀναγνωσθέντος
ἀναγινώσκεσθω καὶ τὰ ἐν τῇ βα-
σιλευούσῃ πόλει περὶ ταύτης τῆς
κινουμένης ὑποθέσεως πεπραγ-
μένα· λεγέτωσαν δὲ καὶ οἱ παρόντες
θεοσεβέστατοι ἐπίσκοποι εἰ τοῦτο
αὐτοῖς δοκεῖ·   Ἰουβενάλιος ἐπίσκο-
πος Ἱεροσολύμων εἶπεν· ἀκόλου-
θός ἐστιν ἡ ἀπόφασις τῆς σῆς ἁγιω-
σύνης· ὅθεν εὔλογον ἀναγινώσκεσθαι
τὰ πεπραγμένα·   Στέφανος ἐπί-
σκοπος Ἐφέσου εἶπε· δικαίας οὔσης
τῆς διαλαλιᾶς τοῦ ἁγιωτάτου καὶ θε-
οφιλεστάτου πρὸς ἡμῶν. καὶ ἀρχιεπι-
σκόπου Διοσκόρου· τοῦτο γινέσθω·
Κῦρος ἐπίσκοπος Ἀφροδισιάδος εἶπε·
δικαία καὶ ἀκόλουθος ἡ διαλαλιὰ τοῦ
θεοφιλεστάτου καὶ ἁγιωτάτου ἀρχι-

ἐπισκόπου Διοσκόρου· πρὸς τὸ ἀνα- α
γνωσθῆναι τὰ ἐπὶ τῇ ὑποθέσει πε-
πραγμένα ἐν τῇ βασιλευούσῃ πόλει:·
Θαλάσσιος ἐπίσκοπος Καισαρείας
Καππαδοκίας εἶπεν· ἀκόλουθον
τοῖς διαλαληθεῖσι παρὰ τῆς ὑμε-
τέρας θεοφιλείας τὸ ἱκανὸν γενέσθαι· αγ
ὅθεν προσκομιζέσθωσαν οἱ χάρται αγ
οἱ ὀφείλοντες ἀναγνωσθῆναι ἐπὶ
τῆς ἁγίας ταύτης συνόδου:·
Εὐσέβιος ἐπίσκοπος Ἀγκύρας εἶπε· ε
καὶ ἐμοὶ δοκεῖ τὰ παραπλήσια· ὥσ-
τε κατὰ τὴν ἀπόφασιν τῶν ὁσίων
πατέρων γενέσθαι τὴν τῶν πεπραγ-
μένων ἀνάγνωσιν:· Διογένης
ἐπίσκοπος Κυζίκου εἶπε:· κἀγὼ
ταὐτὰ συντίθεμαι· ὥστε κατὰ
τὴν ἀπόφασιν τῆς ἁγίας καὶ μεγά-
λης συνόδου ἀναγνωσθῆναι τὰ πε-
πραγμένα ἐν τῇ βασιλευούσῃ:·
Φλωρέντιος ἐπίσκοπος Λυδδῶν εἶπε· ε
σύμψηφός εἰμι τῆς γνώμης τῶν
καλῶς ἐπιζητηθέντων ὑπομνη-
μάτων:· Θεόδωρος ἐπίσκοπος
Ταρσοῦ εἶπε· κατὰ τὸ παραστὰν
τοῖς ἁγιωτάτοις ἀρχιεπισκόποις·
δίκαιον ἐστὶν ἀναγνωσθῆναι τὰ πε-

πραχθεῖσιν ἐν τῇ βασιλευούσῃ:·
ἰωάννης ἐπίσκοπος σεβαστείας
εἶπε:· κατὰ τὴν ψῆφον τῶν ὁσιω-
τάτων καὶ θεοφιλεστάτων ἐπισκό-
πων ἀναγκαία ἐστὶν ἡ τῶν πραχθέν-
των ἐν τῇ βασιλευούσῃ πόλει ὑπο-
μνημάτων ἀνάγνωσις:· ἔρως καὶ ὁ
ἐπίσκοπος μύρων εἶπε:· κατὰ
τὴν διαλαλιὰν τῶν θεοφιλεστάτων
πατέρων ἀκόλουθον δοκεῖ καὶ ἐμοὶ τὸ
γενέσθαι τὴν τῶν πεπραγμένων
ἀνάγνωσιν:· νουνέχιος ἐπίσκο-
πος λαοδικείας τριμιταρίας εἶπε·
δίκαιον οἶμαι ἀναγνωσθῆναι τὰ
ὑπομνήματα τὰ ἐν τῇ βασιλευού-
σῃ πεπραγμένα καὶ ἅπερ διελά-
λησαν καὶ οἱ ἁγιώτατοι πατέρες:·
μαριανὸς ἐπίσκοπος συννάδων
εἶπε:· καθὰ διελάλησαν οἱ ὁσι-
ώτατοι πατέρες· ἀναγινωσκέσθω ἡ
πρᾶξις τῶν ὑπομνημάτων· ἡ γε-
νομένη ἐνε καὶ εὐτυχοῦς ἐν τῇ πα-
νευδαίμονι πόλει:· εὐστάθιος
ἐπίσκοπος βηρυτοῦ εἶπεν·
ἀναγκαία ἐστὶν ἡ ἀνάγνωσις τῶν ὑ-
πομνημάτων πρὸς εἴδησιν τῶν
νῦν παρόντων τῇ ὑποθέσει:·

κωντίλλιος ἐπίσκοπος ἡρακλείας
ἐπέχων καὶ τὸν τόπον τοῦ θεοσεβε-
στάτου ἐπισκόπου τῆς θεσσαλονικέ-
ων πόλεως ἀναστασίου εἶπεν:
ἀκόλουθόν ἐστιν ἀναγνωσθῆναι τὰ
πεπραγμένα ἐν τῇ μεγαλωνύμω
κωνσταντινου πόλει. τῇ ἁγίᾳ συνό-
δῳ πρὸς ἐντελεστέραν εἴδησιν τῆς
ὑποθέσεως:· ἀττικὸς ἐπίσκο-
πος νικοπόλεως παλαιᾶς ἠπείρου
εἶπεν: ἀκολουθούσης τῆς δια-
λαλιᾶς τοῦ ἁγιωτάτου ἀρχιεπισκό-
που διοσκόρου τὸ ἱκανὸν γινέσθω
καὶ τὰ ὑπομνήματα ὑπαναγινωσκ-
έσθω. πάσῃ τῇ ἁγιωτάτῃ συνόδῳ πρὸς
ἀκριβεστέραν εἴδησιν τῶν ζητουμέ-
νων:· σώζων ἐπίσκοπος φιλίπ-
πων μακεδονίας εἶπεν· ἀναγκαία
ἡ τῶν πεπραγμένων ἐν κωνσταν-
τινου πόλει περὶ τῆς ὑποθέσεως
ταύτης ἀνάγνωσις· οὕτως γὰρ ἔσται μα-
θεῖν ἀκριβῶς τὰ ἐκεῖ κεκινημένα:·
οὐράνιος ἐπίσκοπος ἱμερίας ἐπαρ-
χίας ὀσροηνῆς ἑρμηνεύοντος αὐτῷ
εὐλογίου πρεσβυτέρου ἐδέσημου εἶπ(εν)·
ἀκολούθως ἀπεφήνατο ὁ ἁγιώτατος
ὁ θεοσεβέστατος ἀρχιεπίσκοπος

διόσκορος ὡς εἶπε· ἀναγνωσθῆναι πρό-
τερον τὰ πεπραγμένα ἐν τῇ πα-
νευδαίμονι κωνσταντινουπόλει· πε-
ρὶ τῆς προκειμένης ὑποθέσεως:·
ἡ ἁγία σύνοδος εἶπε· ὡς ἂν τῷ θε-
λομένῳ ἀναγνωσθῆναι τὰ πεπραγ-
μένα· ἀναγινωσκέσθω τὰ πεπραγ-
μένα:· διόσκορος ἐπίσκοπος
ἀλεξανδρείας εἶπε· λεγέτω καὶ
ὁ θεοσεβέστατος ἐπίσκοπος ἰούλιος
ὁ ἐπέχων τὸν τόπον τοῦ ἁγιωτάτου
ἐπισκόπου τῆς ῥωμαίων ἐκκλησί-
ας λέοντος. εἰ σύμψηφος γίνεται τῇ
ἁγίᾳ ταύτῃ συνόδῳ· καὶ βούλεται καὶ
αὐτὸς ἀναγνωσθῆναι τὰ πεπραγ-
μένα ἐν κωνσταντινουπόλει ἐπὶ τῇ
ὑποθέσει ταύτῃ:· ἰούλιος ἐπί-
σκοπος ἐπέχων τὸν τόπον τοῦ ἁγι-
ωτάτου ἐπισκόπου τῆς ῥωμαίων
ἐκκλησίας λέοντος ἑρμηνεύοντος
αὐτὸν φλωρεντίου ἐπισκόπου λυδῶν
εἶπεν· τούτῳ τῷ λόγῳ βουλόμεθα
τὴν πρᾶξιν ἀναγνωσθῆναι εἰ πρῶ-
τον ἀναγνωσθῇ τὰ παρὰ τοῦ πάπα
ἀποσταλέντα:· ἱλάριος διάκονος
τῆς ῥωμαίων ἐκκλησίας ἑρμηνεύον-
τος αὐτὸν φλωρεντίου ἐπισκόπου

σημ(είωσαι) ὅ(τι)
ἐκ δευτέρου
πάλιν ἐπε-
ζήτησεν ἀνα-
γνωσθῆναι
τὴν ἐπιστολὴν
λέοντος καὶ
οὐκ ἀνεγνώ-
σθη·

λυδῶν εἶπεν· ἐπειδὴ καὶ ὁ ἁγιώτα-
τος ἐπίσκοπος ῥώμης ἀναγνωσ-
θέντων αὐτῶν τούτων τῶν ὑπομνη-
μάτων· τῶν μὲν ὧν ζητεῖ πε τὴν ἀνάγνω-
σιν· ἐπέστειλεν ἃ ἀπέστειλεν ::
εὐτυχὴς ἀρχιμανδρίτης εἶπεν ::
οἱ ἀποσταλέντες θεοσεβέστατοι ἄν-
δρες ὑπὸ τοῦ ἁγιωτάτου καὶ θεοφι-
λεστάτου ἀρχιεπισκόπου λέοντος
τῆς ῥωμαίων ἐκκλησίας εἰς τὴν
ἁγίαν ὑμῶν σύνοδον ὕποπτοί μοι
γεγόνασι· κατηχήθησαν γὰρ πρὸς
φλαβιανὸν τὸν θεοφιλέστατον ἐπί-
σκοπον· καὶ ἠρίστησαν παρ᾽ αὐτῷ καὶ
συνεκροτήθησαν καὶ πάσης θερα-
πείας παρ᾽ αὐτοῦ ἠξιώθησαν· ἀξιῶ
τὴν ὑμετέραν ἁγιότητα· εἴ τι παρὰ
τὸ δίκαιον γένοιτο παρ᾽ αὐτῶν· κατ᾽ ἐ-
μοῦ· τοῦτο πρόκριμά μοι μὴ φέρειν :
διόσκορος ἐπίσκοπος ἀλεξανδρεί-
ας εἶπεν : ἀκόλουθόν ἐστι καὶ εὔλο-
γον πρῶτον ἀναγνωσθῆναι τὰ ἐπὶ
τῇ ὑποθέσει πεπραγμένα· εἶθ᾽ οὕτως
τὰ γράμματα τοῦ θεοφιλεστάτου ἐπι-
σκόπου ῥώμης· ὅθεν κατὰ τὰ δόξαν-
τα τῇ ἁγίᾳ ταύτῃ συνόδῳ ἀναγινω-
σκέσθω τὰ πεπραγμένα ::

ἰωάννης πρεσβύτερος καὶ πρωτο-
νοταρίων εἶπε· προσέταξεν ἡ ἁγία
ὑμῶν καὶ μεγάλη σύνοδος ἀναγνωσ-
θῆναι τὰ πεπραγμένα ἐν τῇ βασι-
λευούσῃ κωνσταντινουπόλει ἐπὶ τῇ
ἐν χερσὶν ὑποθέσει· ὅσα δὴ τοίνυν
προήνεγκε ταῦτα ὁ θεοσεβέστατος
ἐπίσκοπος τῆς κωνσταντινουπό-
λεως ἐκκλησίας φλαβιανός· ἐπειδὲ
δοκεῖ δὲ ταῖς ἴσαις καὶ ὁ θεοσεβέστατος
ἀρχιμανδρίτης εὐτυχὴς ἀναγνωσθῆ-
ναι ὡς προσετάξατο :-

Τὰ πραχθέντα ἐν κωνσταντινου-
πόλει ἐπὶ φλαβιανοῦ· ἀναγινωσκόμεν-
α δὲ ἐν ἐφέσῳ ἐπὶ διοσκόρου· ἀναγι-
νώσκεται ἐν χαλκηδόνι :

Ὑπατείας φλαυΐου ζήνωνος καὶ
ποστουμιανοῦ τῶν λαμπροτάτων
πρὸ ὀκτὼ εἰδῶν νοεμβρίων ἐν τῇ φιλο-
χρίστῳ βασιλευούσῃ κωνσταντινου-
πόλει ῥώμῃ· συναχθείσης τῆς ἁγίας
καὶ μεγάλης συνόδου τῆς ἐνδημού-
σης ἐν τῇ προειρημένῃ μεγαλοπόλει·
ἐν τῷ σεκρέτῳ τοῦ ἐπισκόπου προ-
καθεζομένου τοῦ ἁγιωτάτου καὶ
ὁσιωτάτου ἀρχιεπισκόπου φλαβι-
ανοῦ· καὶ ἀναγινωσκομένης ἀναφορᾶς

σταλείσης παρὰ Φλωρεντίου τοῦ θε-
οσεβεστάτου ἐπισκόπου τῆς Σαρδι-
ανῶν μητροπόλεως τῆς ἐπαρχίας
Λυδῶν· καὶ τῶν ὑπ᾽ αὐτῷ τελούντων
θεοσεβεστάτων ἐπισκόπων Ἰωάννου
καὶ Κοσμίου· παρόντων καὶ τῶν τὰς
ἀναφορὰς κομισάντων κληρικῶν·
τούτου τε δοθέντος φανεροῦ ἐπὶ τοῖς
ἀναγνωσθεῖσιν· ἀναστὰς Εὐσέβιος
θεοφιλέστατος ἐπίσκοπος Δορυλαίου
εἰσάγων τῶν συνεδρευόντων λίβελλον
ἐπιδέδωκε τῇ ἁγίᾳ συνόδῳ, ὃν ὁρκῶν
ἀναγνωσθῆναι αὐτοῖς καὶ ἐμφέρεσθαι
τῇ πράξει τῶν ὑπομνημάτων· ὃν ἱ-
σταμένου δὲ αὐτοῦ· ὁ ἁγιώτατος ἀρχιε-
πίσκοπος Φλαβιανὸς εἶπεν· ὑποδε-
χθεὶς ὁ λίβελλος, ἀναγνωσκέσθω πρό-
τον· γνῶναι ἡμᾶς τὴν ἐγκειμένην αἰτί-
αν· καὶ ὑποδεξάμενος Ἀστέριος πρε-
σβύτερος καὶ νοτάριος ἀνέγνω· καὶ
μετὰ τὸ ἀναγνωσθῆναι· ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος εἶπεν· ἐκπλήττει
με ἡμᾶς τὰ ἀναγνωσθέντα τοιαύ-
την εἰσάγονται μέμψιν τῷ εὐλαβε-
στάτῳ πρεσβυτέρῳ καὶ ἀρχιμανδρίτῃ
Εὐτυχεῖ· ὅμως καταξιώσει ἡ εὐλάβειά
σου συντυχίαν ποιήσασθαι πρὸς

ἀμήν ·

πατέρας· οὕτω τεθαρρήκασι θεοτόκον εἰπεῖν
τὴν ἁγίαν παρθένον· οὐχ ὡς τῆς τοῦ
λόγου φύσεως ἤτοι τῆς θεότητος
αὐτοῦ, ἀρχὴν τοῦ εἶναι λαχούσης ἐκ
τῆς ἁγίας παρθένου· ἀλλ' ὡς γεννη-
θέντος ἐξ αὐτῆς τοῦ ἁγίου σώματος
ψυχωθέντος λογικῶς· ᾧ καὶ καθ' ὑπό-
στασιν ἑνωθεὶς ὁ λόγος γεγεννῆσθαι λέ-
γεται κατὰ σάρκα· ταῦτα καὶ νῦν ἐξ
ἀγάπης τῆς εἰς Χριστὸν γράφω παρακα-
λῶν ὡς ἀδελφὸν καὶ διαμαρτυρόμε-
νος ἐνώπιον τοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν
ἀγγέλων· ταῦτα μεθ' ἡμῶν καὶ φρονεῖν
καὶ διδάσκειν ἵνα σώζηται τῶν ἐκκλη-
σιῶν ἡ εἰρήνη· καὶ τῆς ὁμονοίας καὶ ἀγά-
πης ὁ σύνδεσμος ἀρραγὴς διαμένῃ τοῖς
ἱερεῦσι τοῦ θεοῦ :· Κύριλλος ἐπίσκο-
πος Ἀλεξανδρείας εἶπε· τὰ δὲ ἐν Ἐφέσῳ
πραχθέντα ἐπὶ Κυρίλλου ἀναγινώ-
σκεται δὲ ἐν Κωνσταντινουπόλει ἐπὶ
Φλαβιανοῦ· ἤκουσεν ἡ ἁγία καὶ μεγά-
λη σύνοδος αὕτη· ὧν ἐπέστειλα τῷ εὐ-
λαβεστάτῳ Νεστορίῳ· συνηγορεύων τῇ
ὀρθῇ πίστει· διάκειμαι δὲ ὅτι κατ' οὐδέ-
να τρόπον ἐκβεβηκὼς ἁλίσκομαι τὸν
ὀρθὸν τῆς πίστεως λόγον· ἤγουν παρα-
βεβηκὼς τὸ ἐκτεθὲν παρὰ τῆς ἁγίας

καὶ μεγάλης συνόδου τῆς κατὰ και-
ροὺς ἐν τῇ Νικαέων συνειλεγμένης σύμ-
βολον· καὶ παρακαλοῦμεν τὴν ὑμετέραν
ὁσιότητα εἰπεῖν· πότερον ὀρθῶς
καὶ ἀνεπιλήπτως καὶ συμφώνως
τῇ ἁγίᾳ ἐκείνῃ συνόδῳ τὰ τοιαῦτα
γεγράφηκα ὑμῖν :· Ἰουβενάλιος
ἐπίσκοπος Ἱεροσολύμων εἶπεν·
ἀναγνωσθείσης τῆς ἐκτεθείσης ἁγί-
ας πίστεως τῆς ἐν Νικαίᾳ· καὶ τῆς
ἐπιστολῆς τοῦ ἁγιωτάτου καὶ ὁσιω-
τάτου ἐπισκόπου Κυρίλλου· καὶ τὰ
παρὰ τῆς ἁγίας συνόδου ἐκτεθέντα·
σύμφωνα εὕρηται· καὶ τούτοις τοῖς
εὐσεβέσι δόγμασι συντίθεμαι καὶ
συναινῶ :· Φίρμος ἐπίσκοπος
Καισαρείας Καππαδοκίας εἶπε·
τὰ συντόμως καὶ ἐν κεφαλαίῳ εἰρη-
μένα παρὰ τῆς ἁγιωτάτης συνόδου
τῆς ἐν Νικαίᾳ ἐξηγησαμένη ἡ σὴ θε-
οσέβεια λεπτῶς καὶ περὶ πόδα· σα-
φεστέραν ἡμῖν καὶ ἐναργεστέραν τὴν
ἀποκάλυψιν τῆς ἐκτεθείσης πίστεως
ἐποιήσαμεν· ὥστε μηδὲν εἶναι ἐν τοῖς
λεγομένοις ἀμφίβολον· πάντων ἀλλή-
λοις συμφωνούντων· καὶ τῆς πίστεως
βεβαιουμένης· τούτων οὖν ἀκριβῶς

ἐχόντων καὶ ἀπαρατρέπτως· καὶ οὐδεμίαν μετὰ τὸν ὁρισμὸν ἐπιφερομένων· κἀγὼ συντίθεμαι τὴν αὐτὴν δόξαν παρὰ τῶν ἁγίων ἐπισκόπων τῶν ἐμῶν πατέρων δοξαζόμενος :· Μέμνων ἐπίσκοπος Ἐφεσίων μητροπόλεως εἶπε· τῇ πίστει τῇ ἐκτεθείσῃ παρὰ τῶν ἁγίων πατέρων· τῶν ἐν Νικαίᾳ συνελθόντων· σύμφωνα καὶ ἡ ἐπιστολὴ ἀναγνωσθεῖσα τοῦ ἁγιωτάτου καὶ θεοφιλεστάτου πατρὸς καὶ ἐπισκόπου Κυρίλλου περιέχει· οἷς καὶ συντιθέμεθα καὶ συναινοῦμεν· μηδὲν ἐλλιπὲς εὑρίσκοντες μηδὲ διαφωνοῦν· ἐλάλησε δὲ τὰ αὐτὰ· καὶ πᾶσα ἡ ἁγία καὶ μεγάλη σύνοδος :· —

Ἐπιστολὴ γραφεῖσα τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἀντιοχείας Ἰωάννῃ παρὰ τοῦ ὁσιωτάτου ἐπισκόπου Ἀλεξανδρείας Κυρίλλου περὶ εἰρήνης :·

υφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ· λέλυται γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ· καὶ πέπαυται τὸ λυποῦν· καὶ διχονοίας ἁπάσης ἀνῄρηται τρόπος· τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ ταῖς ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βραβεύοντος· κεκληκότων δὲ πρὸς τοῦτο

ἡμᾶς. καὶ τῶν εὐσεβεστάτων καὶ θεο
φιλεστάτων βασιλέων. οἱ προγονικῆς
εὐσεβείας ἄριστοι ζηλωταὶ γενόμενοι.
ἀσφαλῆ μὲν καὶ ἀκατάσειστον τὴν ὀρ
θὴν ἐν ἰδίαις ψυχαῖς φυλάττουσι πί
στιν. ἐξαίρετον δὲ ποιοῦνται φροντί
δα τὴν ὑπὲρ τῶν ἁγίων ἐκκλησιῶν. ἵνα
διαμένητον ἔχωσιν εἰς αἰῶνα τὴν δόξαν.
καὶ εὐκλεεστάτην ἀποφήνωσι τὴν ἑ
αυτῶν βασιλείαν. οἷς καὶ αὐτὸς ὁ τῶν
δυνάμεων χριστὸς κύριος. πλουσίᾳ χειρὶ δι
ανέμει τὰ ἀγαθά. καὶ δίδωσι μὲν κατα
κρατεῖν τῶν ἀνθεστηκότων. χαρίζεται
δὲ τὸ νικᾶν. οὐ γὰρ ἂν διαψεύσηται λέ
γων, ζῶ ἐγὼ λέγει κς. ὅτι τοὺς δοξά
σαντάς με δοξάσω. ἀφικομένου τοί
νυν εἰς τὴν ἀλεξάνδρειαν τοῦ κυρίου
μου τοῦ θεοφιλεστάτου συλλειτουργοῦ
ἀδελφοῦ παύλου. θυμηδίας ἐμπεπλή
σμεθα. καὶ σφόδρα εἰκότως. ὡς ἂν δὲ
τοιούτου μεσιτεύοντος. καὶ τοῖς ὑπὲρ
δύναμιν πόνοις ἑλομένου προσομι
λεῖν. ἵνα τὸν τοῦ διαβόλου νικήσῃ φθό
νον. καὶ συνάψῃ τὰ διῃρημένα. καὶ τὰ
μεταξὺ διερριμμένα σκάνδαλα περιε
λὼν. ὁμονοίᾳ καὶ εἰρήνῃ στεφανώσῃ.
τάς τε παρ' ἡμῶν καὶ παρ' ὑμῖν ἐκκλη

-σίας· τίνα γὰρ διῄρηνται τρόπον,
περιττὸν εἰπεῖν· χρὴ δὲ ὑπολαμ-
-βάνειν τὰ τῆς εἰρήνης πρέποντα
καιρῷ· καὶ φρονεῖν καὶ λαλεῖν· ἤδη μὲν
τοίνυν τῇ συντυχίᾳ τοῦ μνημονευ-
-θέντος θεοσεβεστάτου ἀνδρὸς· ὡς
ταχέως που καὶ ἀγῶνας ὄζειν οὐ μικρούς
ὑπονοήσειεν· ἀναπείθομεν ἡμᾶς ὅτι
χρὴ συνάψαι πρὸς εἰρήνην τὰς ἐκκλη-
-σίας· καὶ τὸν ἑτεροδόξων ἀφανίσαι
ζῆλον ταύτῃ· ἀναμιχθῆναί τε πρὸς τού-
-τοις τῆς τοῦ διαβόλου διὰ τροπίας
τὸ κέντρον· ἑτοίμως δὲ οὕτως ἔχοντας
διὰ τοῦτο. καταλαβεῖν ὡς μηδένα
πόνον ὑποστῆναι παντελῶς· μεμνή-
-μεθα γὰρ τοῦ σωτῆρος λέγοντος· εἰρήνην
τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην τὴν
ἐμὴν ἀφίημι ὑμῖν· δεδιδάγμεθα δὲ
καὶ λέγειν ἐν προσευχαῖς· κύριε ὁ θεὸς ἡμῶν
εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδω-
-κας ἡμῖν· ὥστε εἴ τις ἐνθυμεῖσθαι ζητεῖ γένοι-
-το τῆς παρὰ θεοῦ χορηγουμένης εἰρή-
-νης· ἂν ἐνδεὴς ἔσται παντὸς ἀγαθοῦ·
ὅτι δὲ περιττὴ παντελῶς καὶ οὐκ εὐ-
-φορος ἡ τῶν ἐκκλησιῶν διχοστασία
γέγονε· νῦν μάλιστα πεπληροφορήμε-
-θα· τοῦ κυρίου μου τοῦ εὐσεβεστάτου

παύλου τοῦ ἐπισκόπου χάρτην προσ-
κομίσαντος ἀδιάβλητον ἔχοντα
τῆς πίστεως τὴν ὁμολογίαν· καὶ ταύ-
την συντετάχθαι διαβεβαιουμένου·
παρά τε τῆς σῆς ὁσιότητος καὶ τῶν
αὐτόθι θεοφιλεστάτων ἐπισκόπων·
ἔχει δὲ οὕτως ἡ συγγραφή· καὶ αὐταῖς
λέξεσιν ἐντέθειται τῇ δὲ ἡμῶν τῇ ἐ-
πιστολῇ· περὶ δὲ τῆς θεοτόκου παρθέ-
νου ὅπως καὶ φρονοῦμεν καὶ λέγο-
μεν· τοῦ τε τρόπου τῆς ἐνανθρω-
πήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ
θεοῦ· ἀναγκαίως οὐκ ἐν προσθήκης
μέρει· ἀλλ' ἐν πληροφορίας εἴδει ὡς
ἄνωθεν ἔκ τε τῶν θείων γραφῶν·
ἔκ τε τῆς παραδόσεως τῶν ἁγίων
πατέρων παρειληφότες ἐσχήκαμεν·
διὰ βραχέων ἐροῦμεν· οὐδὲν τὸ σύ-
νολον προστιθέντες· τῇ τῶν ἁγίων
πατέρων τῶν ἐν νικαίᾳ ἐκτεθείσῃ πίστει·
ὡς γὰρ ἔφθημεν εἰρηκότες· πρὸς πᾶ-
σαν ἐξαρκεῖ καὶ εὐσεβείας γνῶσιν· καὶ
πάσης αἱρετικῆς κακοδοξίας ἀπο-
κήρυξιν· ἐροῦμεν δὲ οὐ κατατολμῶν-
τες τῶν ἀνεφίκτων· ἀλλὰ τῇ ὁμολογίᾳ
τῆς οἰκείας ἀσθενείας ἀποκλείοντες·
τοῖς ἐπιφύεσθαι βουλομένοις· ἐν οἷς

ται ὑπὲρ ἀνθρώπων διασκεπτόμεθα·
ὁμολογοῦμεν τοιγαροῦν τὸν κύριον ἡμῶν
Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ.
θεὸν τέλειον· καὶ ἄνθρωπον τέλειον· ἐκ ψυχῆς
λογικῆς καὶ σώματος· πρὸ αἰώνων
μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα. κατὰ
τὴν θεότητα· ἐπ' ἐσχάτου δὲ τῶν ἡ-
μερῶν· τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ
τὴν ἡμετέραν σωτηρίαν· ἐκ Μαρίας τῆς
παρθένου· κατὰ τὴν ἀνθρωπότη-
τα· ὁμοούσιόν τε πατρὶ κατὰ τὴν θε-
ότητα· καὶ ὁμοούσιον ἡμῖν. κατὰ τὴν
ἀνθρωπότητα· δύο φύσεων ἕνω-
σις γέγονε· διὸ ἕνα Χριστόν· ἕνα υἱόν· ἕνα
κύριον ὁμολογοῦμεν· κατὰ ταύτην τὴν
τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν·
ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον
θεοτόκον διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι
καὶ ἐνανθρωπῆσαι· καὶ ἐξ αὐτῆς τῆς
συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς
ληφθέντα ναόν· τὰς δὲ εὐαγγελικὰς
καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνάς.
ἴσμεν τοὺς θεολόγους ἄνδρας· τὰς μὲν.
κοινοποιοῦντας. ὡς ἐφ' ἑνὸς προσώ-
που· τὰς δὲ. διαιροῦντας· ὡς ἐπὶ
δύο φύσεων· καὶ τὰς μὲν. θεοπρεπεῖς·
κατὰ τὴν θεότητα τοῦ Χριστοῦ· τὰς δὲ. τα

πει μᾶς· κατὰ τὴν ἀνθρωπότητα αὐ-
τοῦ παραδιδόντας· ταύταις ὑμῶν
ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς· οὕτω
τε καὶ ἑαυτοὺς φρονοῦντας εὑρίσκον-
τες· εἷς γὰρ κύριος· μία πίστις· ἓν βάπτι-
σμα· ἐδοξάσαμεν τὸν τῶν ὅλων σωτῆρα
θεόν· ἀλλήλοις συγχαίροντες· ὅτι ταῖς
θεοπνεύστοις γραφαῖς· καὶ τῇ παρα-
δόσει τῶν ἁγίων ἡμῶν πατέρων συμβαί-
νουσαν ἔχουσι πίστιν· αἵ τε παρ' ἡμῖν
ἐκκλησίαι· ἐπειδὴ δὲ ἐπυθόμην τῶν
φιλοψογεῖν εἰωθότων τινάς· σφηκῶν
ἀγρίων δίκην περιβομβεῖν· καὶ μο-
χθηροὺς ἐρεύγεσθαι κατ' ἐμοῦ λόγους·
ὡς ἐξ οὐρανοῦ κατακομισθὲν καὶ οὐκ
ἐκ τῆς ἁγίας παρθένου λέγοντος τὸ
ἅγιον σῶμα Χριστοῦ· δεῖν ᾠήθην ὀλίγα περὶ
τούτου πρὸς αὐτοὺς εἰπεῖν· ὦ ἀνόη-
τοι· καὶ μόνον εἰδότες τὸ συκοφαντεῖν·
πῶς εἰς τοῦτο παρηνέχθητε γνώ-
μης· καὶ τοσαύτην νενοσήκατε μω-
ρίαν· ἔδει γὰρ ἔδει σαφῶς ἐννοεῖν· ὅτι
σχεδὸν ἅπας ἡμῖν ὁ περὶ τῆς πίστεως
ἀγὼν συγκεκρότηται διαβεβαιουμέ-
νοις· ὅτι θεοτόκος ἐστὶν ἡ ἁγία παρθένος·
ἀλλ' εἴπερ ἐξ οὐρανοῦ καὶ οὐκ ἐξ αὐτῆς τὸ
ἅγιον σῶμα γεγεννῆσθαι φαμὲν τοῦ

ὦσαν τῶν ἡμετέρων σωτῆρος Χριστοῦ· πῶς ἂν ἔτι
μονογενὴς ὁ Χριστός· τί; μὴ γὰρ ἄλλως τέτοκεν·
εἰ μὴ ἦν ἀληθὲς ὅτι γεγέννηκε κατὰ
σάρκα τὸν Ἐμμανουήλ· γελάσθωσαν
τοίνυν οἱ ταῦτα περὶ ἐμοῦ πεφλυ-
αρηκότες· οὐ γὰρ ψεύδεται λέγων ὁ μα-
κάριος προφήτης Ἡσαΐας· ἰδοὺ
ἡ παρθένος ἐν γαστρὶ ἕξει· καὶ τέξε-
ται υἱὸν καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ
Ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον·
μεθ' ἡμῶν ὁ θεός· ἀληθεύει δὲ πάντως
καὶ ὁ ἅγιος Γαβριὴλ πρὸς τὴν μακαρί-
αν παρθένον εἰπών· μὴ φοβοῦ Μαριάμ·
εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ· καὶ ἰδοὺ
συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν· καὶ κα-
λέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ
σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρ-
τιῶν αὐτῶν· ὅταν δὲ λέγωμεν ἐξ οὐρανοῦ
καὶ ἄνωθεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὡς ἄνω-
θεν καὶ ἐξ οὐρανοῦ καταπεμφθείσης τῆς
ἁγίας αὐτοῦ σαρκός· τὰ τοιαῦτά φαμεν·
ἑπόμενοι δὲ μᾶλλον τῷ θεσπεσίῳ Παύ-
λῳ διακεκραγότι σαφῶς· ὁ πρῶτος
ἄνθρωπος ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄνθρωπος
ὁ κύριος ἐξ οὐρανοῦ· μεμνήμεθα δὲ καὶ αὐτοῦ
τοῦ σωτῆρος λέγοντος· καὶ οὐδεὶς ἀναβέ-
βηκεν εἰς τὸν οὐρανόν· εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ

καταμιᾶς ὁ υἱὸς τοῦ ἀνθρώπου· καίτοι γε-
γέννηται κατὰ σάρκα καθάπερ ἔφημεν
ἀρτίως ἐκ τῆς ἁγίας παρθένου· ἐπει-
δὴ δὲ ἄνθρωπος γέγονεν καὶ ὁ ἐξ οὐρανοῦ καταφοι-
τήσας θεὸς λόγος κεκένωκεν ἑαυτὸν
μορφὴν δούλου λαβών· καὶ κεχρημά-
τικεν υἱὸς ἀνθρώπου μετὰ τοῦ μεῖναι ὅπερ ἦν
τουτέστι θεός· ἄτρεπτος γὰρ καὶ ἀναλλοί-
ωτος. καὶ κατὰ φύσιν ἐστίν· ὡς εἷς δὲ
νοούμενος μετὰ τῆς ἰδίας σαρκός.
ἐξ οὐρανοῦ λέγεται κατελθεῖν· ὠνόμασται
δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ· τέλειος ὢν ἐν θε-
ότητι· καὶ τέλειος ὁ αὐτὸς ἐν ἀνθρω-
πότητι· καὶ ὡς ἐν ἑνὶ προσώπῳ νο-
ούμενος· εἷς γὰρ κύριος Ἰησοῦς Χριστός· κἂν ἡ
τῶν φύσεων μὴ ἀγνοῆται διαφορά·
ἐξ ὧν τὴν ἀπόρρητον ἕνωσιν πε-
πρᾶχθαι φαμέν· τοὺς δὲ λέγοντας
ὅτι κρᾶσις ἢ σύγχυσις ἢ φυρμὸς ἐγέ-
νετο τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα·
καταξίως αὐτῶν ἡ σὴ ὁσιότης ἐπιστο-
μίζειν· εἰκὸς γὰρ τινὰς καὶ ταῦτα πε-
ρὶ ἐμοῦ θρυλλεῖν· ὡς ἢ πεφρονηκότος
ἢ εἰρηκότος· ἐγὼ δὲ τοσοῦτον ἀφέστη-
κα τοῦ φρονῆσαί τι τοιοῦτον· ὥστε
καὶ μαίνεσθαι νομίζω τοὺς οἰηθέντας
ὅλως. ὅτι τροπῆς ἀποσκίασμα περὶ

τὴν τοῦ θεοῦ λόγου φύσιν, συμμεῖναι
δύναται· μένει γὰρ ὅ ἐστιν ἀεί. καὶ οὐκ
ἠλλοίωται· ἀλλ' οὐδ' ἂν ἀλλοιωθεῖναι
πώποτε. καὶ μεταβολῆς ἐστὶν ἀνεπιδε-
κτική· ἀπαθῆ δὲ πρὸς τούτῳ τὴν
τοῦ θεοῦ λόγον ὑπάρχειν ὁμολογοῦμεν
ἅπαντες. κἂν εἰ πάνσοφος αὐτὸς ὁ
οἰκονομικῶς τὸ μυστήριον· ἑαυτῷ προ-
νέμων ὁρῷτο τὰ τῇ ἰδίᾳ σαρκὶ συμβε-
βηκότα πάθη· ταύτῃ τοι καὶ ὁ πάν-
σοφος Πέτρος· Χριστοῦ φησι παθόντος
ὑπὲρ ἡμῶν σαρκί. καὶ οὐχὶ τῇ φύσει
τῆς ἀρρήτου θεότητος· ἵνα γὰρ αὐτὸς
τῶν ὅλων σωτὴρ εἶναι πιστεύηται· κατ'
οἰκείωσιν οἰκονομικὴν εἰς ἑαυτὸν ὡς
ἔφην. τὰ τῆς ἰδίας σαρκὸς ἀναφέρει
πάθη· ὁποῖόν ἐστι· τὸ διὰ τῆς τοῦ
προφήτου φωνῆς προαναφωνούμε-
νον ὡς ἐξ αὐτοῦ· τὸν νῶτόν μου
δέδωκα εἰς μάστιγας· τὰς δὲ σιαγόνας
μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν
μου. οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης
ἐμπτυσμάτων· ὅτι δὲ ταῖς τῶν ἁγί-
ων πατέρων δόξαις ἑπόμεθα πανταχοῦ·
μάλιστα δὲ ταῖς τοῦ μακαρίου καὶ πα-
νευφήμου πατρὸς ἡμῶν Ἀθανασίου
τὸ κατά τι γοῦν ὅλως ἐξωφέρεσθαι

παρ' αὐτοῦ μὲν μοι. πεπείσθω μὲν ἡ
σὴ ὁσιότης· ἐνδοιαζέτω δὲ τῶν ἄλλων
μηδείς· Παρέθηκα δ' ἂν καὶ χρή-
σεις αὐτῶν πολλὰς τοῖς ἐμαυτοῦ λό-
γοις ὁ ἐξ αὐτῶν πιστούμενος· εἰ μὴ τὸ
μῆκος ἐδεδίειν τοῦ γράμματος· μὴ
ἄρα πως γένηται διὰ τοῦτο προσκο-
ρές· καὶ τοῦ οὐδένα δὲ τρόπον σαλεύεσ-
θαι παρ' αὐτῶν τὴν ὁρισθεῖσαν πί-
στιν ἤτοι τὸ τῆς πίστεως σύμβολον
παρὰ τῶν ἁγίων ἡμῶν πατέρων τῶν
ἐν νικαίᾳ συνελθόντων κατὰ καιρὸν
οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς. ἢ ἑ-
τέροις ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμέ-
νων ἐκεῖσε. ἢ μίαν γοῦν παραβῆναι
συλλαβὴν· μεμνημένοι τοῦ λέγοντος·
μὴ μέταιρε ὅρια αἰώνια. ἃ ἔθεντο οἱ
πατέρες σου· οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦν-
τες. ἀλλ' αὐτὸ τὸ πνεῦμα τοῦ θεοῦ καὶ πρς.
ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ· ἔστι δὲ
οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς
οὐσίας λόγον· καὶ πρός γε τοῦτο. ἡμᾶς
οἱ τῶν ἁγίων μυσταγωγῶν πιστοῦσι
λόγοι· ἐν μὲν γὰρ ταῖς πράξεσι τῶν
ἀποστόλων. γέγραπται· ἐλθόντες δὲ
κατὰ τὴν μυσίαν. ἐπείραζον εἰς τὴν
βιθυνίαν πορευθῆναι· καὶ οὐκ εἴασεν

αὐτοῖς, τὸ πνεῦμα ἰυ̅· ἐπιφέρει δὲ καὶ ὁ
θεσπέσιος παῦλος· οἱ δὲ ἐν σαρκὶ ὄν-
τες. θεῷ ἀρέσαι οὐ δύνανται· ὑμεῖς
δὲ οὐκ ἐστὲ ἐν σαρκὶ· ἀλλ' ἐν πνεύματι· εἴπερ
πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις πνεῦμα
χριστοῦ οὐκ ἔχει· οὗτος οὐκ ἔστιν αὐτοῦ· ὅταν
δέ τινες τῶν τὰ ὀρθὰ διαστρέφειν εἰ-
ωθότων· τὰς ἐμὰς παρατρέπωσι
φωνάς, εἰς τὸ αὐτοῖς δοκοῦν· μὴ θαυ-
μαζέτω τοῦτο ἡ σὴ ὁσιότης· εὖ οἶδα ὅ-
τι καὶ οἱ ἀπὸ πάσης αἱρέσεως· ἐκ τῆς
θεοπνεύστου γραφῆς τὰς τῆς ἑαυτῶν
πλάνης συλλέγουσιν ἀφορμάς· τὰς δι-
ὰ τοῦ ἁγίου πνεύματος ὀρθῶς εἰρημένας·
ταῖς ἑαυτῶν κακονοίαις παραφθεί-
ροντες· καὶ ταῖς ἰδίαις ἑαυτῶν κεφα-
λαῖς. τὴν ἄσβεστον ἐπαντλοῦντες
φλόγα· ἐπειδὴ δὲ μεμαθήκαμεν ὅτι
καὶ τὴν πρὸς τὸν μακάριον ἐπίκτη-
τον ἐπιστολὴν τοῦ πανευφήμου πρ̅ς
ἡμῶν ἀθανασίου ὀρθοδόξως ἔχουσαν·
παραφθείραντές τινες ἐκδεδώκασιν·
ὥστ' ἐντεῦθεν ἀδικεῖσθαι πολλούς· διὰ
τοῦτο χρήσιμόν τι καὶ ἀναγκαῖον ἐννοή-
σαντες τοῖς ἀδελφοῖς. ἐξ ἀντιγρά-
φων ἀρχαίων τῶν παρ' ἡμῖν καὶ ἀπλα-
νῶς ἐχόντων· ἀπεστείλαμεν τὰ ἴσα

τῇ σῇ ὁσιότητι: καὶ ἐν τῷ ἀναγινώσκεσθαι· οἱ εὐλαβέστατοι ἐπίσκοποι οἱ ἰλλυρικιανοὶ ἐβόησαν· οὕτως πιστεύομεν ὡς Κύριλλος· Κυρίλλου αἰωνία ἡ μνήμη· Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν· ἀνάθεμα καὶ τῷ λέγοντι δύο υἱούς· ἕνα γὰρ υἱὸν προσκυνοῦμεν, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν μονογενῆ: Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν: ἡμεῖς ὡς Κύριλλος πιστεύομεν· οὕτως ἐπιστεύσαμεν· οὕτως πιστεύομεν· ἀνάθεμα τῷ μὴ οὕτως πιστεύοντι: οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· Φλαβιανὸς οὕτως ἐπίστευε· Φλαβιανὸς ταῦτα ἐξεδίκει· διὰ ταῦτα Φλαβιανὸς καθῃρέθη: Εὐσέβιος Νεστόριον καθεῖλε· τὴν πίστιν Διόσκορος παρέτρεψεν· οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐξεβόησαν· ὁ Θεὸς Νεστόριον καθεῖλεν: Οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν: Λέων οὕτως φρονεῖ· Λέων οὕτως πιστεύει· Ἀνατόλιος οὕτως φρονεῖ: οἱ Αἰγύπτιοι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι·

ἐβόησαν· πάντες οὕτως φρονοῦ-
μεν· ὁ σατανᾶς τόπον μὴ ἔχῃ· ὁ
σατανᾶς χώραν μὴ ἔχῃ·· οἱ ἀνα-
τολικοὶ καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστα-
τοι ἐπίσκοποι δὲ ἐβόησαν· καὶ ὁ
βασιλεὺς καὶ ἡ σύγκλητος· καὶ πάν-
τες οὕτως φρονοῦσιν· οἱ ἐνδοξότα-
τοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγ-
κλητος· καὶ πᾶσα ἡ ἁγία σύνοδος
τῶν εὐλαβεστάτων ἐπισκόπων.
ἐβόησαν· ὁ βασιλεὺς οὕτως φρο-
νεῖ· ἡ αὐγοῦστα οὕτως φρονεῖ· πάν-
τες οὕτως φρονοῦμεν· οἱ αἰγύπτι-
οι καὶ οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπί-
σκοποι. ἐβόησαν·· οὕτως φρονεῖ ὅ-
λος ὁ κόσμος τὰ τῶν πατέρων. καλῶς
ἔχει·· οἱ ἀνατολικοὶ καὶ οἱ σὺν αὐτοῖς
εὐλαβέστατοι. ἐβόησαν· τὸν φονέα + ἐπίσκοποι
φλαβιανοῦ. ἔξω βάλε· τὸν πατρα-
λοίαν ἔξω βάλε·· οἱ αἰγύπτιοι καὶ
οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκο-
ποι. δὲ ἐβόησαν· πάντες οὕτως
πιστεύομεν· πολλὰ τὰ ἔτη τῆς
συγκλήτου· πολλὰ τὰ ἔτη τῶν βα-
σιλέων· πολλὰ τὰ ἔτη τῶν ὀρθοδό-
ξων· πάντες οὕτως πιστεύομεν·
δι' ὑμῶν εἰρήνη γίνεται· πάντες ὀρθῶς

δοξάζομεν :· οἱ ἐνδοξότατοι ἄρ-
χοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος.
εἶπεν :· καὶ ποίῳ λόγῳ εὐτυχὴν
μόνον τὸν ἐναντία τούτοις λέγοντα.
ἐδόξατε εἰς κοινωνίαν· φλαβιανὸν
δὲ τὸν τῆς ἁγίας μνήμης· καὶ εὐσέ-
βιον τὸν εὐλαβέστατον ἐπίσκοπον
τούτοις κεχρημένους· καθείλετε:
διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος
ἀλεξανδρείας εἶπε: τὰ ὑπομνήματα
αὐτὰ διδάξει τὴν ἀλήθειαν :·
βερονικιανὸς ὁ καθωσιωμένος ση-
κρητάριος τοῦ θείου κονσιστωρίου ἀ-
πὸ τοῦ αὐτοῦ χαρτιδαρίου ἀνέγνω·
εὐστάθιος ἐπίσκοπος βηρυτοῦ. εἶπε
μετὰ τὸ ἀναγνωσθῆναι τὰς προτε-
ταγμένας ἐπιστολάς· ἀναγκαῖον μὲν ἐστὶ
δῆλον ποιῆσαι τῇ ὑμετέρᾳ ὁσιότητι·
ὅτι δὴ παρέσχεν ὁ θεὸς τῷ μακαριωτά-
τῳ καὶ ὁσιωτάτῳ τὴν μνήμην πρὶν
ἡμῶν καὶ ἀρχιεπισκόπῳ τῆς ἀλεξαν-
δρέων κυρίλλῳ· ἀμφισβητηθῆναι τινὰ
τῶν παρ' αὐτοῦ συγγραφέντων ἐν τῇ
αὐτοῦ ζωῇ, παρὰ τῶν οὐκ ὀρθῶς τὰ
καλῶς εἰρημένα νενοηκότων· ὥστε
αὐτὸν διὰ τῆς πανσόφου καὶ διδασκα-
λικῆς αὐτοῦ γλώττης· σαφῆ ποιῆσαι

αἰθέριχος ἐπίσκοπος σμύρνης,
εἶπεν· ἐγὼ ταῦτα οὐκ εἶπον :·
διόσκορος ἐπίσκοπος ἀλεξανδρεί-
ας εἶπε· τί λέγει· ἰωάννης ἐπίσκοπ(ος)
καὶ πρώτος νοταρίων εἶπε· πλαγοῦ
ἐπιλαμβάνεται· διόσκορος ἐπίσκο-
πος ἀλεξανδρείας εἶπε· διδασκέ-
τω ὁ εὐλαβέστατος ἐπίσκοπος αἰθέ-
ριχος· ὃ βούλεται: αἰθέριχος ἐπί-
σκοπος σμύρνης, εἶπεν· αἰφνιδίως
ἐπεισῆλθον ἐν χώρᾳ ταύτῃ μου πόλει·
προσέσχον δὲ τοῖς ἀκροαταῖς· εἶτα
τοῦτον αὐτὸν τὸν μονάζοντα. με-
τ' αὐτῶν· λέγει κύριε ὑπόγραψον· λέγω
κἀγώ· πέως καὶ ἀφ' ὧν ἴδωμεν· ἐπη-
χούσαμεν αὐτοῦ φανερὰ τιμά· μετὰ
ταῦτα λέγει· ἔκθου· ἐγὼ λέγω· ἐκθέσθαι
οὐ δύναμαι· ἀληθῶς μὲν οἶδα· ἀλλ' οὐ
δύναμαι εἰπεῖν· πλὴν λέγω· εἴ τις οὐ
πιστεύει καθὼς οἱ τριακόσιοι δέκα καὶ
ὀκτὼ καὶ οἱ ἐν ἐφέσῳ, ἀνάθεμα ἔστω·
καὶ ὧδε. καὶ εἰς ἐκεῖνον τὸν μέλλοντα
αἰῶνα :. διόσκορος ἐπίσκοπος ἀλε-
ξανδρείας εἶπε· ταῦτα οὖν τὰ ἀνα-
γνωσθέντα πλαστά εἰσιν: · εν
αἰθέριχος ἐπίσκοπος σμύρνης εἶπ(εν)·
οὐκ οἶδα ἐγώ: διόσκορος ἐπίσκοπος

ἀλεξανδρείας εἶπε· παρ᾽ ἑτέρων
οὐκ εἴρηκας· αἰθέριχος ἐπίσκοπος
σμύρνης εἶπεν· οὔ. διόσκορος ἐ-
πίσκοπος ἀλεξανδρείας εἶπεν·
ἐπήκουσας δὲ τῶν μὴ δεῖν θεῖναι παρὰ
σοῦ εἰρημένων; αἰθέριχος ἐπί-
σκοπος σμύρνης εἶπεν· ἐπήκου-
σα. διόσκορος ἐπίσκοπος ἀλεξαν-
δρείας εἶπε· καὶ οὐκ εἴρηκας αὐτά;
αἰθέριχος ἐπίσκοπος σμύρνης
εἶπεν· οὔ. διόσκορος ἐπίσκοπος
ἀλεξανδρείας εἶπε· δῆλα ταῦτα κατα-
θέντα παρὰ τοῦ παρόντος· ὅθεν
ἀμφιβόλως κείσθω τὰ ἑξῆς· καὶ δεῖν
τὸ ἀμφιβόλως κεῖσθαι· αἰθέριχος
ὁ εὐλαβέστατος ἐπίσκοπος σμύρνης·
ἀναστὰς εἶπε· τῇ πρώτῃ ταύτῃ συνεθέμην
καὶ ὑπέγραψα μόνον καὶ ἀπῆλθον·
εὐθέως ἐκολλήθη μοι διόσκορος ὁ εὐλα-
βέστατος ἐπίσκοπος καὶ λέγει· διατί
ὑπέγραψας κατὰ εὐτυχοῦς· λέγω ἐγώ·
ὑπέγραψα ὡς πάντες οἱ πρὸ ἐμοῦ ἡμῶν·
εἰ δὲ ἔφη τί ποτε ἄλλο. εἴπατέ μοι· λέγει
τί ὑπέγραψας· λέγω. ὑπέγραψα ὡς
προσήνεγκάν μοι· ἀνάθεμα εἴ τις οὐ
πιστεύει τοῖς τριακοσίοις δέκα καὶ ὀ-
κτὼ· καὶ ὡς ἐν ἐφέσῳ. οὗτος ἀνάθεμα

ἔγραψα· ἐγὼ δὲ ὅτι ἕτεροι τι ὑπέγραψαν οὐκ
οἶδα· ἐπὶ πάντων εἶπα:·
Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος
Ἀλεξανδρείας εἶπεν· ἐγὼ ἔχω δύο
μάρτυρας:· Αἰθέριχος ὁ εὐλαβέσ-
τατος ἐπίσκοπος Σμύρνης εἶπεν·
ὡς Κύριλλος φρονῶ:· οἱ ἐνδοξότα-
τοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγ-
κλητος εἶπε· τίνος παρόντος ταῦ-
τά σοι εἶπε Διόσκορος ὁ εὐλαβέστατος
ἐπίσκοπος:· Αἰθέριχος ὁ εὐλαβέστα-
τος ἐπίσκοπος Σμύρνης εἶπεν·
ἐπὶ πάντων:· Θαλάσσιος ὁ εὐλα-
βέστατος ἐπίσκοπος Καισαρείας
Καππαδοκίας εἶπε· ταῦτα αὐτῷ γέγρα-
πται εἰπὼν δὲ ἐκτὸς ἀνάγκης· τί θέλεις
ἄρτι καταστρέφειν:· Διόσκορος ὁ εὐ-
λαβέστατος ἐπίσκοπος Ἀλεξανδρεί-
ας εἶπε· συκοφαντήσας οὐδὲν πά-
σχει· εἰ ἤμην καταγνωσθείς, οὐκ ἔπα-
σχον:· Βερονικιανὸς ὁ καθωσιω-
μένος σηκρητάριος τοῦ θείου κονσι-
στορίου ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέ-
γνω:· τῶν ῥωμαϊκῶν τούτων
ἡ ἑρμηνεία ἐστί· τῶν ἑπομένων ἑλλη-
νικῶν· ὁ εὐλαβέστατος ἐπίσκοπος
Οὐαλέριος εἶπεν· ἐγὼ ὁμολογῶ δύο

γεννήσεις· ἐκ θείας. καὶ ἐκ σαρκός·
θείας μὲν ἐκ πρς· σαρκὸς δὲ. ἐκ μρς·
ἕνα καὶ τὸν αὐτὸν υἱὸν θυ· καθὼς
πάντες ὥρισαν οἱ πρες· δύο γενν-
ήσεις μὲν· ἓν δὲ πρόσωπον· οὕτως ὁμολο-
γῶ καθὼς οἱ πρες οἱ τριακόσιοι δέκα
καὶ ὀκτὼ οἱ συναχθέντες ἐν τῇ νικαί-
ᾳ· καὶ ὡς ἡ ἁγία σύνοδος ἡ ἐν ἐφέσῳ
ἐψηφίσατο· καὶ ὁ τῆς μακαρίας μνή-
μης κύριλλος. ὁ τῆς ἀλεξανδρέων με-
γαλοπόλεως ἐπίσκοπος ὥρισεν·
οὕτως πιστεύω καὶ ὁμολογῶ :·
ὁ θεοφιλέστατος ἐπίσκοπος λογγῖνος
τῆς χερσονήσου πόλεως εἶπεν·
ἐπὶ φλαβιανοῦ· ἡ ἁγία καὶ μεγάλη
σύνοδος ἡ τῶν τριακοσίων δέκα ὀκτὼ
τῆς συναχθείσης ἐν τῇ νικαίᾳ· ἐπα-
κολουθῶν καὶ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν ἐπί-
σκοπος κύριλλος· τὸ δόγμα ἐν τῇ ἐπι-
στολῇ ὃ ἐξέθετο· μετὰ πάσης ἀκριβείας·
ὅθεν χάρτῳ τῇ τοῦ θεοφιλεστάτου ἀρχι-
επισκόπου φλαβιανοῦ συναινέσει καὶ
τῶν θεοφιλεστάτων ἐπισκόπων συν-
τίθεμαι· εἰδὼς μετὰ τὴν ἐνανθρώπη-
σιν τὴν ἐκ δύο φύσεων προσκυνεῖσθαι
θεότητα τοῦ μονογενοῦς αὐτοῦ θυ
καὶ σωτῆρος ἡμῶν ιυ χυ· τοὺς δὲ ἐναντίους με-

θεοῦ· καὶ ἀληθῶς υἱὸς ἀνθρώπου τυγχάνει·
θεὸς μὲν κατὰ τοῦτο· καθὸ ἐν ἀρχῇ,
ἦν ὁ λόγος· καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν.
καὶ θεὸς ἦν ὁ λόγος· ἄνθρωπος δὲ κατὰ τοῦτο.
καθὸ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκή-
νωσεν ἐν ἡμῖν· καὶ θεὸς μὲν κατὰ τοῦ-
το καθὸ δι' αὐτοῦ πάντα ἐγένετο·
καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ἄν-
θρωπος δὲ κατὰ τοῦτο καθὸ γέγονεν ἐμ-
βρυωνικὸς γενόμενος ὑπὸ νόμον· καὶ
ἡ μὲν τῆς σαρκώσεως γέννησις,
ἀνθρωπίνης ἐστὶ δηλωτικὴ φύσεως·
ὁ δὲ τοκετὸς τῆς παρθένου, μήνυ-
μα τῆς θείας ὑπάρχει δυνάμεως·
καὶ ἡ μὲν νηπιότης τοῦ βρέφους,
διὰ τῆς τῶν σπαργάνων εὐτελείας
ἐπιγινώσκεται· τὸ δὲ μέγεθος τῆς
αὐτοῦ μεγαλωσύνης· διὰ τῶν ἀγγε-
λικῶν φωνῶν ἀποδείκνυται· καὶ ὁ-
μοιοῦται μὲν τοῖς νεωστὶ τικτομένοις
ἀνθρώποις οὗτος· ὃν Ἡρώδης ὁ ἀσεβέστατος
φονεῦσαι βουλεύεται· ἀλλ' ἔστι δεσπό-
της τῶν ὅλων· ὃν οἱ μάγοι χαίρουσιν
ἱκετικῶς προσκυνεῖν· ὅπερ δὲ πρὸς
τὸ τοῦ προδρόμου αὐτοῦ Ἰωάννου
ἔρχεται βάπτισμα· ὅπως ἂν μὴ λά-
θῃ ὅτι ὑπὲρ τῷ προκαλύμματι

τῆς σαρκὸς ἢ θεότητος ἐκρύπτετο; ἢ
τοῦ προσφόρου ἢ ἐξ οὐρανῶν ἐπιμαρτυρίας
φωνῆς· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπη-
τὸς ἐν ᾧ εὐδόκησα· τοιγαροῦν οὐ πῶς
ἂν ἢ τοῦ διαβόλου πειράζει πανουρ-
γίᾳ τούτων· ὅτε δὴ θεὸν ἢ τῶν ἀγγέλων
τάξις διακονεῖ· τὸ μὲν γὰρ πεινῆν καὶ
διψῆν καὶ κοπιᾶν καὶ ὑπνοῦν, ὁμολο-
γουμένως ἐστὶν ἀνθρώπου· ἀλλὰ τὸ πέντε
ἄρτοις πεντακισχιλιάδας ἀνδρῶν χορτάσαι
καὶ χαρίσασθαι τῇ Σαμαρείτιδι ζῶν ὕ-
δωρ· ὅθεν ἀρυσαμένῃ ὑπῆρξε ταύτῃ
τὸ μηκέτι διψῆν· καὶ ἐπιβῆναι τῶν
θαλασσίων, ὑγροῖς πατεῖν τῶν ποδῶν
οὐ βαπτιζομένων· τοῖς δὲ τῶν κυμά-
των οἰδήσεσιν ἐπιτιμῶν μὲν οὐ τοῦ κλύ-
δωνος κατευνάζειν, ἐστὶν ἀναμφιβό-
λως θεοῦ· ὥσπερ οὖν ἵνα τὰ πολλὰ πα-
ραλίπω· οὐ τῆς αὐτῆς ἐστι φύσεως
τὸ κλαίειν ἐκ διαθέσεως οἴκτου τὸν
τελευτήσαντα φίλον· καὶ τὸ τὸν αὐτὸν
ἀναζῆν μέλλοντα· διασκεδασθέντος
τοῦ προσχώματος τῆς τελευταίας
ἤδη ταφῆς· ἐξαναστῆσαι πρὸς τὸ κέ-
λευσμα τῆς φωνῆς· ἢ τὸ ἐπὶ ξύλου
ἠρτῆσθαι· καὶ ἐξ ἡμέρας εἰς νύκτα
μεταβληθέντα τὰ στοιχεῖα πάντα

συνασεῖσθαι· ἢ τὸ διαπεπάρθαι τοῖς
ἥλοις· καὶ τὰς τοῦ παραδείσου πύ-
λας ἀνοῖξαι τῇ πίστει τοῦ λῃστοῦ, οὕτως
οὐ τῆς αὐτῆς ἐστι φύσεως· τὸ λέγειν
ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ τὸ λέγειν ὁ
πατήρ μου μείζων μού ἐστιν· εἰ καὶ τὰ
μάλιστα γὰρ ἐν τῷ δεσπότῃ Ἰησοῦ Χριστῷ· τοῦ
θεοῦ καὶ τοῦ ἀνθρώπου ἕν ἐστι πρόσωπον,
ὅμως ἕτερον μέν ἐστιν ἐκεῖνο ὅθεν ἐν ἑκα-
τέρῳ κοινόν ἐστι τὸ τῆς ὕβρεως· καὶ
ἕτερον, ὅθεν κοινὸν τὸ τῆς δόξης κα-
θέστηκεν· ἐξ ἡμῶν μὲν γὰρ ἔστιν αὐτῷ,
ἡ ἐλάττων τοῦ πατρὸς ἀνθρωπότης·
ἀπὸ δὲ τοῦ πατρὸς ἔστιν αὐτῷ ἡ μετὰ τοῦ
πατρὸς ἴση θεότης· διὰ ταύτην τοίνυν
τοῦ προσώπου τὴν ἕνωσιν· τὴν ἐν
ἑκατέρᾳ φύσει νοεῖσθαι ὀφείλουσαν·
καὶ υἱὸν ἀναγινώσκομεν ἀνθρώπου κατε-
ληλυθέναι ἐξ οὐρανοῦ· ὁπότε ὁ υἱὸς τοῦ
θεοῦ τὸ σῶμα ἐξ αὐτῆς τῆς παρθένου
ἐξ ἧς ἐτέχθη προσέλαβε· καὶ πάλιν ὁ
υἱὸς τοῦ θεοῦ σταυρωθῆναι λέγεται καὶ τα-
φῆναι· ὁπότε ταῦτα οὐκ ἐν αὐτῇ τῇ
θεότητι ἐν ᾗ μονογενὴς καὶ συναΐ-
διος καὶ ὁμοούσιος ὢν τῷ πατρί· ἀλλ' ἐν
τῇ ἀσθενείᾳ τῆς ἀνθρωπίνης ὑπο-
μεμένηκε φύσεως· ὅθεν τὸν μονογενῆ

υἱὸν τοῦ θεοῦ· τὸν σταυρωθέντα· καὶ τα-
φέντα· καὶ ἀναστάντα· πάντες καὶ
ἐν πολλοῖς συμμόλως συνομολογοῦμεν
καὶ ἐπέχειν ὅτι τὸ ἀποστολικόν· εἰ γὰρ ἔγνω-
σαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρω-
σαν· ὅτε δὲ αὐτὸς ὁ χριστὸς ἡμῶν καὶ σωτὴρ
τὴν πίστιν διὰ τῶν οἰκείων ἐξεπαίδευ-
σεν ἐρωτήσας αὐτούς· τίνα με φησὶ λέγου-
σιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου· κα-
κείνων ἀποκρινομένων· ἄλλας ἀλλ-
ων δόξας. ὑμεῖς φησὶ τίνα με λέγετε
εἶναι ἐμὲ δηλαδὴ τὸν υἱὸν τοῦ ἀνθρώπου· καὶ
ὃν ἐν μορφῇ δούλου καὶ ἀληθεία σώ-
ματος θεωρεῖτε, τίνα με λέγετε· ἔνθα
ὁ μακάριος πέτρος θεόθεν ἐμπνευ-
σθεὶς· καὶ διὰ τῆς οἰκείας ὁμολογίας
πάντων μελλόντων γίνεσθαι σωτηρία τοῖς ἔθνε-
σι· σὺ εἶ φησὶν ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ
ζῶντος· καὶ ἄξιος μακάριος ἀπεφάν-
θη παρὰ τοῦ χριστοῦ· καὶ ἀπὸ τῆς πρωτο-
τύπου πέτρας· τὸ στερρὸν ἐπεσπά-
σατο τῆς τε ἀρετῆς καὶ τῆς προσηγο-
ρίας· ὥσπερ διὰ ἀποκαλύψεως τοῦ
πατρὸς τὸν αὐτὸν καὶ υἱὸν θεοῦ ὁμολογή-
σας καὶ χριστόν· ἐπειδήπερ ἐν τούτων δίχα
θατέρου λαμβανόμενον, ἀνθρώπων ἢ τὸν
υἱὸν ἐπιτύχαμεν εἰς σωτηρίαν· καὶ τοῦ αὐτοῦ

ὑπερέχειν δ' ὕμου· τό, τὸν κν̄ μ ἰν̄ χν̄·
ἢ θν̄ μόνον ἀνευ ἀμοῦ. ἢ δ' ἰχνευθῦ τι-
-φεύειν αὐτὸν μόνον· μετὰ δὲ τὴν ἀνα-
-στασιν τοῦ χῦ· ἥ τις δηλαδὴ τοῦ ἀλη-
-θοῦς αὐτοῦ σώματος γέγονεν ἐπι-
ποτεροῦ κἄλλος ἂν εἴη. εἰ μὴ ὁ φρωθεὶς
καὶ ἀποθανὼν, εἰς πέτρον ἢ τῶν
τεσσαράκοντα αὐτοῦ ἡμερῶν δι-
ατριβὴ γέγονεν· ἢ ἵνα ἐκ πάσης ἀ-
χλύος τὰ τῆς πίστεως ἡμῶν κα-
-θαρθῆ· διαλεγόμενος γὰρ τοῖς ἑαυ-
-τοῦ μαθηταῖς· καὶ συνδιατρίβων
καὶ συναλιζόμενος· ἀκριβέστερόν
τε καὶ πολυπραγμονικώτερον διὰ
τῆς ἀφῆς ἑαυτὸν ψηλαφᾶσθαι πα-
-ρὰ τούτων· οὐδὲ ἐπλήττετε τὸ ἀμφί-
βολον ἀνεδίδου· διὰ τοῦτο καὶ κεκλει-
-σμένων τῶν θυρῶν εἰσῄει πρὸς
τοὺς μαθητάς· καὶ τῷ φυσήματι
τῷ ἑαυτοῦ παρεῖχεν ἅγιον πνᾶ·
καὶ χαριζόμενος τὸ φῶς τὸ τῆς πί-
-στεως. τῶν θείων γραφῶν ἀνεκάλυ-
-πτε τὰ ἀπόρρητα· καὶ πάλιν ὁ αὐτὸς
τὰ τραύματα τῆς πλευρᾶς καὶ τὰς
διατρήσεις τῶν ἥλων· καὶ πάντα
τὰ τοῦ μεγάλου πάθους ἐπεδείκνυ
σημεῖα λέγων· ψηλαφήσατέ με καὶ

ἴδετε· ὅτι πνεῦμα, σάρκα καὶ ὀστέα
οὐκ ἔχει καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα·
ὅπως ἂν ἐν αὐτῷ μεμενηκέναι γνω-
σθῇ ἡ ἰδιότης τῆς τε θείας καὶ τῆς
ἀνθρωπίνης φύσεως ἀδιαίρετος· οὕτω
τε μανθάνομεν. τὸν λόγον μὴ τοῦτο
εἶναι ὅπερ ἐστὶν ἡ σάρξ· ἀλλ' ἕνα υἱὸν τοῦ
θεοῦ καὶ τὸν λόγον ὁμολογήσωμεν καὶ
τὴν σάρκα· ἧστινος πίστεως τοῦ
μυστηρίου· κοῦφος ὢν εὐτυχὴς οὗτος,
καὶ ἀμέτοχος ὀφείλει λογίζεσθαι· ὅς
τὴν φύσιν τὴν ἡμετέραν ἐν τῷ μο-
νογενεῖ υἱῷ τοῦ θεοῦ· οὔτε διὰ τῆς τα-
πεινότητος τῆς ἀνθρωπότητος·
οὔτε διὰ τῆς δόξης ἐπέκεινα τῆς ἀνα-
στάσεως· οὔτε τὴν ἀπόφασιν ἐφοβή-
θη τοῦ μακαρίου ἀποστόλου καὶ εὐαγ-
γελιστοῦ τοῦ λέγοντος· πᾶν πνεῦμα
τὸ ὁμολογοῦν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθέ-
ναι, ἀπὸ τοῦ θεοῦ ἐστι· καὶ πᾶν πνεῦμα τὸ
διαιροῦν Ἰησοῦν Χριστόν, ἀπὸ τοῦ θεοῦ οὐκ ἔστι· καὶ οὗτος
ἐστὶ τοῦ ἀντιχρίστου· τί δέ ἐστι τὸ διαι-
ρεῖν τὸν Ἰησοῦν· εἰ μὴ τὴν ἀνθρωπίνην ἀπ' αὐτοῦ
φύσιν ἀποχωρίζειν· καὶ τὸ μυστήριον
δι' οὗπερ ἐσώθημεν μόνου πειρᾶσθαι
μάταιον διὰ πλασμάτων ἀναιδῶν
ἀπεργάζεσθαι· ὁ δὲ τὴν ἀχλὺν ὑφιστᾶ

-μένος περὶ τὴν φύσιν τοῦ σώμα-
-τος τοῦ χυ̅, ἀναγκαίως καὶ περὶ τὸ
πάθος αὐτοῦ τῇ παραπλησίᾳ τυ-
-φλώσει παραφρονεῖ· καὶ γὰρ εἰ τὸν
στ̅ρον τοῦ δεσπότου ψευδῆ νενόμι-
-κε· καὶ τὸ πάθος τὸ ὑπὲρ τῆς τοῦ
κόσμου σωτηρίας ἀναδειχθέν· ἀληθῶς
γενόμενον μηδαμῶς ἀμφιβάλλει;
οὗτινος ἐπιγινώσκει τὸν θάνατον
ἐπιγινωσκέτω καὶ τὴν σάρκα· καὶ μη-
δὲ τῆς ἡμετέρας αὐτὸν σαρκὸς ἀν̅ον
ἀπαρνείσθω· ὃν παθητὸν ἔγνω γε-
-νόμενον· ἐπειδήπερ ἡ ἄρνησις τοῦ
ἀληθινοῦ σώματος, ἄρνησίς ἐστι καὶ τοῦ
πάθους τοῦ σώματος· εἰ τοίνυν ὠδὲ-
-χεται πίστιν χριστιανῶν· καὶ ἀπὸ τοῦ
κηρύγματος τοῦ εὐαγγελίου· μὴ τὴν
οἰκείαν ἀκοὴν ἀποστρέφει· σκοπείτω.
ποία φύσις διαπεπαρμένη τοῖς
ἥλοις ἐν τῷ τοῦ στ̅ρου ξύλῳ κεκρέμαστο·
καὶ νυγείσης τῆς πλευρᾶς τοῦ προσ-
-παγέντος τῷ στ̅ρῷ διὰ τοῦ δόρατος
τοῦ στρατιώτου· νοείτω πόθεν τὸ αἷ-
-μα καὶ τὸ ὕδωρ ἐρρύη· ὥστε τὴν ἐκκλη-
-σίαν τοῦ θυ̅ τῷ λουτρῷ καταρδεύεσ-
-θαι καὶ τῷ πόματι· ἀκουέτω δὲ καὶ τοῦ
μακαρίου πέτρου τοῦ ἀποστόλου κλι,

ρύπτοντος· ὅτι ὁ καθαρισμὸς τοῦ πν̄ς,
διὰ τοῦ βαπτισμοῦ γίνεται τοῦ αἵματος
τοῦ χ̄ῦ· μηδὲ παροδικῶς ἀναγινωσκέ-
τω τοῦ αὐτοῦ ἀποστόλου τὰ ῥήματα·
λέγοντος· εἰδότες· ὅτι περ οὐ τοῖς φθαρ-
τοῖς· ἀργυρίῳ ἢ χρυσίῳ ἐξηγοράσθητε
ἐκ τῆς ἁμαρτίας ὑμῶν πατροπαρα-
δότου ἀναστροφῆς· ἀλλὰ τιμίῳ αἵ-
ματι· ὡσανεὶ ἀμνοῦ ἁγίου καὶ ἀμώμου
ῑῡ χ̄ῡ· καὶ τοῦ μακαρίου δὲ ἰωάννου τῇ,
μαρτυρίᾳ μὴ ἀνεπιστάσθω· λέγοντος·
καὶ τὸ αἷμα ῑῡ τοῦ υἱοῦ τοῦ θ̄ῦ· καθαρί-
ζει ὑμᾶς ἀπὸ πάσης ἁμαρτίας· καὶ πά-
λιν αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσ-
μον ἡ πίστις ὑμῶν· τίς ἐστιν ὁ νικῶν
τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων ὅτι ἰσ̄ αὐτός
ἐστιν ὁ υἱὸς τοῦ θ̄ῦ· οὗτός ἐστιν ὁ ἐρχόμενος
δι' ὕδατος καὶ αἵματος ἰσ̄ χ̄σ· οὐκ ἐν τῷ,
ὕδατι μόνον· ἀλλ' ἐν ὕδατι καὶ αἵματι· καὶ
τὸ πν̄α ἐστὶ τὸ μαρτυροῦν· ἐπειδὴ τὸ
πν̄α ἐστὶν ἡ ἀλήθεια· τρεῖς γάρ εἰσιν οἱ
μαρτυροῦντες· τὸ πν̄α· τὸ ὕδωρ· καὶ
τὸ αἷμα· καὶ οἱ τρεῖς τὸ ἕν εἰσι· τὸ πν̄α
δηλονότι τοῦ ἁγιασμοῦ· καὶ τὸ αἷμα τῆς
λυτρώσεως· καὶ τὸ ὕδωρ τοῦ βαπτίσ-
ματος· ἅπερ τρία ἕν ἐστι· καὶ ἀμέριστα
μένει· καὶ οὐδὲν αὐτῶν ἀπὸ τῆς ἑαυτῶν

οἱ εὐλαβέστατοι νοτάριοι. τοὺς ἀπολειφθέντας τῶν θεοφιλεστάτων ἐπισκόπων. τῶν ἐνδημούντων ταύτῃ τῇ βασιλευούσῃ πόλει· ἢ διὰ ἀθύμειαν. ἢ ἀγνοήσαντες τὴν κλῆσιν τῆς ἁγίας συνόδου, οὐ συνῆλθον· ἀξιοῦντος τοὺς ἀπολειφθέντας. διὰ τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ νοταρίου Ἀστερίου· καὶ διὰ τῶν εὐλαβεστάτων διακόνων καὶ νοταρίων ὑπομνησθῆναι· ὥστε καὶ αὐτοὺς γνόντας τὰ πραχθέντα τὴν ἑαυτῶν γνώμην φανερὰν ποιῆσαι. Ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· οἱ εὐλαβέστατοι νοτάριοι τοὺς ἀπολειφθέντας τῶν θεοφιλεστάτων ἐπισκόπων ὑπομνήσωσιν· ὥστε ἀναγνῶσχοντες αὐτοῖς τὰ πραχθέντα ἐφ᾽ ᾧ τε ἕκαστον καταθέσθαι τὴν οἰκείαν γνώμην. —

Προκαθεζομένου τοῦ ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Φλαβιανοῦ· καὶ συνεδρευούσης αὐτῷ τῆς ἁγίας συνόδου. αὖθις ἐν τῷ σεκρέτῳ τοῦ ἐπισκόπου· ἡμέρᾳ δευτέρᾳ· μηνὸς νοεμβρίου πεντεκαιδεκάτῃ· ἐν ὑπατείᾳ τῇ προγεγραμμένῃ· ἐν

κοσμᾶ ἢ τῆς μόψου πόλει ἐπὶ φλαυϊάδος·
ὁ θεοφιλέστατος ἐπίσκοπος εὐσέ-
βιος εἶπε· τετάρτης ἡμερῶν πα-
ρεληλυθυιῶν ἡμέρᾳ· ἀφ' οὗ προσῆλ-
θον τῇ ὑμετέρᾳ ἁγιωσύνῃ ἠξίωσα τὸν
εὐτυχῆν τὸν πρεσβύτερον καὶ ἀρχι-
μανδρίτην· ἀναστῆσαι εἰς τὴν
ἁγίαν ὑμῶν σύνοδον· ὀφείλοντα
διελεγχθῆναι παρ' ἐμοῦ, ὅτι τὰ
τῆς ὀρθοδοξίας δόγματα διέφθει-
ρε καὶ ἑτερόδοξα φρονεῖ ἢ καθὼς
[illegible] μένει ἡ καθολικὴ ἐκκλησία· καὶ
ἀξιῶ τοὺς ἀποσταλέντας [illegible]
παρὰ τῆς ὑμετέρας ἁγιωσύνης
ἐρωτηθῆναι τίνας εἰπεῖν, [illegible]
[illegible] παρ' αὐτοῦ ἀπόκρισις·
ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε·
λεγέτωσαν οἱ νοτάριοι. τίνες εἰσὶν
οἱ διαποσταλέντες· οἱ νοτάριοι εἶ-
πον· πρῴην ἐκελεύσθημεν ἡ ὑμετέρα
ἁγιωσύνη τὸν θεοσεβέστατον πρε-
σβύτερον καὶ ἔκδικον ἰωάννην καὶ
τὸν εὐλαβέστατον διάκονον ἀνδρέαν
παραγενέσθαι. πρὸς τὸν εὐλαβέ-
στατον πρεσβύτερον καὶ ἀρχιμαν-
δρίτην εὐτυχῆν καὶ πάρεισιν ἀμφό-
τεροι· ὁ ἁγιώτατος ἐπίσκοπος·

εἰπεῖν· ζητοῦσαν ἐπὶ τῆς ἁγίας συ-
-νόδου· καὶ λεγέτω πρότερον ὁ εὐλα-
-βέστατος πρεσβύτερος καὶ ἔκδικος
ἰωάννης εἰ ἀπῆλθεν ἐπὶ τὴν κλῆσιν
τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρί-
-του εὐτυχοῦς· καὶ εἰ συντετύχηκεν
αὐτῷ. καὶ τί ἤκουσε παρ' αὐτοῦ·
ὁ εὐλαβέστατος πρεσβύτερος. καὶ
ἔκδικος ἰωάννης. εἶπε· πρώην
τοῦ θεοφιλεστάτου ἐπισκόπου εὐ-
-σεβίου προσελθόντος ἐν συνεδρί-
-ῳ τῇ ὑμετέρᾳ ἁγιωσύνῃ· καὶ αἰτια-
-σαμένου τὸν εὐλαβέστατον πρεσ-
-βύτερον καὶ ἀρχιμανδρίτην εὐτυχῆν·
καὶ βιβλίον ἔγγραφον ἐπιδεδωκότος
τὸ καταδηλοῦν ὡς εἶν αὐτὸν τῶν τ
αἱρετικῶν ὡσαύτῃ· καὶ ἐξαιτήσαν-
-τος· προσκληθέντα αὐτὸν ἐπὶ τῆς
ὑμετέρας ἁγιωσύνης ἀπολογήσα-
-σθαι· ἐπὶ τοῖς ἐπαγομένοις αὐτῷ
παρ' αὐτοῦ· πρόνοιαν ποιουμένη
ἡ ὑμετέρα ἀπαραλόγιστος σοφία.
προσέταξε διαμῆναι· ἐμέ τε καὶ τὸν
εὐλαβέστατον διάκονον ἀνδρέαν πρὸς
αὐτὸν ἐν τῇ μονῇ αὐτοῦ· καὶ καλέσαι
αὐτὸν ἀπολογησόμενον· τούτου
δὲ γενομένου· καὶ παραγενομένων

ἡμῶν πρὸς αὐτὸν ἐν τῇ μονῇ αὐτοῦ· τοῖς τε λιμέλλοις αὐτῶν ὑπαναγνώσαμεν· καὶ τὰ ἴσα αὐτῷ δεδώκαμεν· καὶ τὸν αἰτησάμενον κατεδηλώσαμεν· καὶ κατεμηνύσαμεν αὐτῷ τὴν κλῆσιν καὶ τὴν ἀπολογίαν τὴν ἐπὶ τῆς ὑμετέρας ἁγιωσύνης· ὁ δὲ τὸ μὲν ἀπαντῆσαι καὶ ἀπολογήσασθαι παντελῶς ἀπηρνήσατο· εἰρηκὼς τοῦτο προωρίσθαι αὐτῷ καὶ ὅρῳ τινὶ κεκρατηκέναι ἀπ' ἀρχῆς τὸ μηδαμῶς ἀλλαχόσε ἀπομαίνειν αὐτὸν τῆς ἑαυτοῦ συνοδίας· πρὸ τοῦ δέ τινος ὡς ἐν τάφῳ διατρίβειν ἐν τῇ μονῇ· γνωσθῆναι δὲ τῇ ὑμετέρᾳ ἁγιωσύνῃ δι' ἡμῶν ἐξήτησεν· ὅτιπερ ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος· ἐχθρὸς αὐτῷ πάλαι τυγχάνων· λοιδορίας καὶ ὕβρεως χάριν. ταύτην τὴν κατηγορίαν κατ' αὐτοῦ ἐποιήσατο· ἕτοιμον γὰρ ἑαυτὸν εἶναι ἔφασκε ταῖς ἐκθέσεσι τῶν ἁγίων πατέρων. τῶν τε ἐν Νικαίᾳ καὶ ἐν Ἐφέσῳ τὴν σύνοδον ποιησαμένων συντίθεσθαι· καὶ ὑπογράφειν ταῖς ἑρμηνείαις αὐτῶν ὁμολογῶν· εἰ δέ που τύχοι τι παρ' αὐτῶν ἔν τισι λέξεσιν· ἢ διασφαλθὲν ἢ διαπλανηθέν, τοῦτο μηδὲ δια-

βάλλειν μηδὲ δέχεσθαι· μόνας δὲ
τὰς γραφὰς ἐρευνᾶν ὡς βεβαιοτέ-
ρας οὔσας τῆς τῶν πατέρων ἐκθέσεως·
μετὰ δὲ τὴν ἐνανθρώπησιν τοῦ
θεοῦ λόγου· τουτέστι μετὰ τὴν γέννησιν
τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ· μίαν φύσιν προσ-
κυνεῖν· καὶ ταύτην θεοῦ σαρκωθέντος
καὶ ἐνανθρωπήσαντος· καὶ ὡς ἀλλό-
τι τοιοῦτον προσκομίσας ὑπαναγι-
νώσκε· προστίθει δὲ ὅτι λοιδορίας
τιμὰς ὡς ἔφημεν λεχθείσας κατ' αὐτοῦ
ὡς αὐτοῦ εἰρηκότος· ὅτι γε δὴ ὁ ἐξ οὐρανοῦ
τὴν σάρκα ὁ θεὸς λόγος κατενήνοχεν
ὡς αὐτὸς ἀνεύθυνος τυγχάνει τῆς
τοιαύτης λοιδορίας· τὸ δὲ ἐκ δύο φύ-
σεων ἑνωθεισῶν καθ' ὑπόστασιν γε-
γενῆσθαι τὸν κύριον ἡμῶν ἰησοῦν χριστὸν· μήτε με-
μαθηκέναι ἐν ταῖς ἐκθέσεσι τῶν ἁγίων
πατέρων· μήτε καταδέχεσθαι εἰ τύχοι
τι αὐτῶ τοιοῦτο παρά τινος ὑπαναγι-
νώσκεσθαι· διὰ τὸ τὰς θείας γραφὰς
ὡς ἔλεγεν ἀμείνονας εἶναι· τῆς τῶν
πατέρων διδασκαλίας· καὶ ταῦτα λέγων·
ὁμολογεῖ τέλειον θεὸν εἶναι· καὶ τέλειον
ἄνθρωπον· τὸν γεννηθέντα ἐκ τῆς παρθέ-
νου μαρίας μὴ ἔχοντα σάρκα ὁμοού-
σιον ἡμῖν· τοῦτο δὲ ἐμοὶ διαλεγομένῳ.

εἶπεν· ὁ ἁγιώτατος ἀρχιεπίσκο
πος εἶπε· ταῦτα αὐτὸς μόνος ἐ
πήκουσας, ἢ καὶ ὁ ἅμα σοὶ ἀποστα
λεὶς διάκονος Ἀνδρέας· ὁ εὐλαβέ
στατος πρεσβύτερος καὶ ἔκδικος
Ἰωάννης εἶπεν· ἐν ᾧ ταῦτά μοι
ἐνετέλλετο εἰς τὸ ἀναγαγεῖν τῇ ὑμε
τέρᾳ ὁσιότητι, παρῆν καὶ ὁ εὐλαβέ
στατος διάκονος Ἀνδρέας· ὁ ἁγιώ
τατος ἀρχιεπίσκοπος εἶπεν·
λεγέτω καὶ ὁ εὐλαβέστατος διάκονος
Ἀνδρέας, εἰ ταῦτα ἐπήκουσε παρὰ
τοῦ εὐλαβεστάτου πρεσβυτέρου
καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς λεγόμε
να· ὁ εὐλαβέστατος διάκονος Ἀνδρέ
ας εἶπε· κατὰ τὴν κέλευσιν τῆς
ὑμετέρας ἁγιωσύνης ἀπήλθομεν
πρὸς τὸν εὐλαβέστατον πρεσβύτε
ρον καὶ ἀρχιμανδρίτην Εὐτυχῆν καὶ
διαλεχθέντων αὐτῷ, ταῦτα παρ'
αὐτοῦ ἠκούσαμεν. ὃ καὶ ὁ εὐλαβέστα
τος πρεσβύτερος καὶ ἔκδικος Ἰω(άννης)
εἰπὼν ἤδη κατέθετο· ἐν αὐτῷ τῷ
καιρῷ τῆς διαλέξεως τοῦ εὐλαβεστά
του πρεσβυτέρου καὶ ἀρχιμανδρίτου
Εὐτυχοῦς· ὅτε ταῦτα ἡμῖν ἐνετέλλε
το ἀναγαγεῖν τῇ ὑμετέρᾳ ἁγιωσύνῃ.

καὶ ὁ εὐλαβέστατος διάκονος τοῦ θε-
οφιλεστάτου ἐπισκόπου βασιλείου
ἐκεῖσε παρὼν ἐτύγχανε. καὶ ἐπήκου-
σε τῶν λεγομένων· διὸ ἀξιῶ κληθέν-
τα αὐτὸν ἐρωτᾶσθαι· ὅτι γε δὴ τούτων
ἐπήκουσεν· ὁ ἁγιώτατος ἀρχιεπί-
σκοπος εἶπε· λεγέτωσαν οἱ εὐλαβέ-
στατοι νοτάριοι. εἰ ὁ διάκονος ὁ συνὼν
τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ βασιλεί-
ῳ· καὶ ὁ μνημονευθεὶς παρὰ τοῦ εὐ-
λαβεστάτου πρεσβυτέρου καὶ ἐκδίκου
ἰωάννου· πάρεστιν ἐνταῦθα· οἱ νοτά-
ριοι εἶπον· πάρεστιν ἐνταῦθα ὁ συνὼν
τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ βασιλείῳ
τῷ καὶ συνεδρεύοντι τῇ ὑμετέρᾳ
ὁσιότητι. ὁ ἁγιώτατος ἀρχιεπί-
σκοπος εἶπε· στήτω ἐν μέσῳ· καὶ με-
τὰ τὸ στῆναι. ὁ ἁγιώτατος ἀρχιεπί-
σκοπος εἶπε· τίς λέγῃ· ὁ δὲ εἶπεν·
ἀθανάσιος· ὁ ἁγιώτατος ἀρχιε-
πίσκοπος εἶπε· ποίου βαθμοῦ
τυγχάνεις ἐκκλησιαστικοῦ· ἀθανά-
σιος εἶπε· διάκονός εἰμι· ὁ ἁγιώτα-
τος ἀρχιεπίσκοπος εἶπε· ποίας
πόλεως· ἀθανάσιος εἶπε· σελευ-
κείας τῆς ὑπὸ τὸν ἁγιώτατον ἐπί-
σκοπον βασίλειον· ὁ ἁγιώτατος

ἀρχιεπίσκοπος εἶπε· λέγε τί ἀκήκο-
ας παρόντων τῶν εὐλαβεστάτων
Ἰωάννου τοῦ πρεσβυτέρου καὶ ἐκδί-
κου, καὶ Ἀνδρέου τοῦ διακόνου, παρὰ
τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ
ἀρχιμανδρίτου Εὐτυχοῦς περὶ πίστε-
ως· Ἀθανάσιος ὁ εὐλαβέστατος διά-
κονος εἶπε· ταῦτα ἤκουσα, ἅπερ καὶ
ὁ θεοφιλέστατος πρεσβύτερος καὶ ἔκ-
δικος Ἰωάννης κατέθετο· καὶ ὁ εὐλαβέ-
στατος διάκονος Ἀνδρέας· ὁ θεοφι-
λέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν·
ἐξαρκεῖ μὲν τὰ διηγορευμένα· παρὰ
τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ
ἐκδίκου Ἰωάννου· καὶ τοῦ εὐλα-
βεστάτου διακόνου Ἀνδρέου· καὶ
ἡ νῦν γενομένη κατάθεσις· παρὰ Ἀθα-
νασίου τοῦ εὐλαβεστάτου τῆς κατὰ
Σελεύκειαν ἁγίας ταύτης ἐκκλησίας δη-
λῶσαι ὅπερ ἔχει ἀσεβὲς φρόνημα.
καὶ ὑπεναντίον ταῖς ἐκθέσεσι τῶν
ἁγίων πατέρων· πλὴν δέομαι τῆς ὑμε-
τέρας ἁγιωσύνης καὶ πάλιν δεύτερον
αὐτὸν κληθῆναι· ἕτοιμος γὰρ ἔχω διε-
λέγχειν αὐτὸν διὰ πολλῶν μαρτύρων
κακῶς φρονήσαντα καὶ φρονοῦντα
καὶ διδάσκοντα· ὁ ἁγιώτατος ἀρχι-

ἐπίσκοπος εἶπε· γένοιτο αὐτὸν τὸν πα-
-ραγενόμενον καὶ ἐπιμένοντα τῷ ἑ-
-αυτοῦ πταίσματι εἰς μετάνοιαν ἐλθεῖν·
ὥσπερ ὁ κ(ύριο)ς ἡμῶν Ἰ(ησοῦ)ς Χ(ριστό)ς· χαίρει ἐπὶ
τῇ σωτηρίᾳ τῶν ἀπολλυμένων καὶ πε-
-ριμένων αὐτὸς πρῶτος ἐπιζητεῖ τὸ
πλανώμενον πρόβατον· διὸ καὶ αὖ-
-θις ἀποσταλέντες Μαμᾶς καὶ Θεόφι-
-λος οἱ εὐλαβέστατοι πρεσβύτεροι ὑπο-
-μνήσουσιν αὐτὸν ἀποδιδόντες αὐτῷ
τὸ παρ' ἡμῶν ἀποσταλὲν αὐτῷ τῆς
κλήσεως γράμμα· ἐφ' ᾧ τε καταλαβεῖν
τὴν ἁγίαν σύνοδον σκανδαλισθεῖσαν·
οὐ μόνον ἐκ τῶν ἐπιδοθέντων κατ'
αὐτοῦ κατηγορικῶν λιβέλλων παρὰ
Εὐσεβίου τοῦ θεοφιλεστάτου ἐπισκό-
-που· ἀλλὰ γὰρ καὶ ἐκ τῆς γενομένης
καταθέσεως· ὡς κακῶς φρονοῦντος
αὐτοῦ καὶ ἐμμένοντος· παρὰ Ἰωάννου
τοῦ θεοσεβεστάτου πρεσβυτέρου
καὶ ἐκδίκου· καὶ Ἀνδρέου καὶ Ἀθανα-
-σίου τῶν εὐλαβεστάτων διακόνων·
προσελθὼν καὶ ἐξεμέσαι τὴν προτέ-
-ραν αὐτοῦ δυσσέβειαν· καὶ ἐπιγνοὺς
τὴν ὀρθὴν πίστιν καὶ τὴν ἔκθεσιν τῶν
ἁγίων πατέρων ἡμῶν. συγγνώμης ἀξι-
-ωθείη· τῆς πρεπούσης παρ' ἡμῶν

διδόσθαι τοῖς εἰς μετάνοιαν ὁρῶσιν·
ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος
εἶπε· κατηξίωσεν ἡ ὑμετέρα ἁγιωσύ-
νη κελεῦσαι ἀναγνωσθῆναι πρότερον
καὶ τοὺς ἀγορευθέντας παρὰ τῆς ἁγίας
συνόδου τῆς κλήσεως γράμματα· ὥσ-
τε καὶ αὐτὸ ἐμφέρεσθαι τοῖς ὑπομνή-
μασιν· ὁ ἁγιώτατος ἀρχιεπίσκοπος
εἶπεν· ἀναγνωσθήτω καὶ ἐντατ-
τέσθω τῇ τάξει τῶν ὑπομνημάτων·
ἡ ἁγία καὶ μεγάλη σύνοδος ἡ κατὰ θεοῦ
χάριν ἐνδημοῦσα νῦν τῇ φιλοχρίστῳ
καὶ βασιλευούσῃ Κωνσταντινουπόλει
ἐρρῶσθαι· τῷ εὐλαβεστάτῳ πρεσβυτέ-
ρῳ καὶ ἀρχιμανδρίτῃ Εὐτυχεῖ· καὶ
νῦν δευτέρᾳ κλήσει ταύτῃ καλοῦμεν·
διὰ Μαμᾶ καὶ Θεοφίλου τῶν εὐλαβε-
στάτων πρεσβυτέρων ἐπὶ τὸ ἀπαν-
τῆσαι ἀνυπερθέτως ἀπολογησάμε-
νον τῇ ἁγίᾳ συνόδῳ· ἐγκαλούμενον
παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου
Εὐσεβίου ὡς ἀλλότρια τῆς πίστεως
φρονήσαντα καὶ φρονοῦντα· καὶ
προσδιαλεγόμενον πρός τινας·
ἧκε τοίνυν εἰς τὸ συνέδριον μηδὲν
ἀναβαλλόμενος· ἵνα μὴ ὡς ἀποφεύ-
γων τὸν κατὰ πρόσωπον ἔλεγχον·

ὑποπέσοι σοι τοῖς ἐκ τῶν θείων κανό-
-νων ἐπιτιμίοις· οὐ γὰρ εὐπρόσω-
-πος ἔσται ἡ ἀπολογία, λέγειν σε κεχρῖ-
-χθῆναι. μὴ προϊέναι τῶν μοναστηρίων.
τὸν περὶ τηλικούτων κατηγορούμε-
-νον, ἔτι καθεζομένης τῆς ἁγίας συ-
-νόδου· καὶ ἐκδεχομένης Μάμαν καὶ
Θεόφιλον τοῖς εὐλαβεστάτοις πρεσ-
-βυτέροις· τοῖς ἀποσταλεῖσιν τὰς καλέ-
-σαι Εὐτυχῆν τὸν εὐλαβέστατον πρεσ-
-βύτερον καὶ ἀρχιμανδρίτην· ἀναγι-
-νωσκομένων τε αὐτοῖς τῶν ἐκ θε-
-σεων περὶ τῆς πίστεως τῶν ἁγίων
πατέρων· ἐξαναγνωσθέντων ὁ θεοφι-
-λέστατος ἐπίσκοπος Εὐσέβιος ἐπι-
-τον· οὐδὲν ἀπολιμπάνων· πάντα εἰς ἐπι-
δυστευκήσαμεν τι καὶ ἄλλο ὁ τριαμακαρ-
ὀρθῆς πίστεως φρονήσαμεν τι περὶ
πεπτωκὸς πάντα ποιεῖν· ἐν ὧ ...
ὡς ὅτι Εὐτυχὴς ὁ πρεσβύτερος καὶ
ἀρχιμανδρίτης τὸν αὐτὸν ἀπέστειλεν
εἰς τὰ μοναστήρια· καὶ εἰς στάσιν δι-
εγείρει μοναχούς· καὶ ὅσα εἰ δὴ τοῦτο
αὐτὸ πρὸς ἀσφάλειαν τῆς ἐκκλησί-
-ας, καὶ τῆς ἁγίας συνόδου συμβάλλε-
-ται τὸ περιεργάζεσθαι τὸ τοιοῦτον
ζημιωθῆναι ὁποῖα ἤδη τυρεύει καὶ

κατασκευάζει ἐπὶ σύστασιν ποιού-
μενος· ἀξιοῦμεν ἐνταῦθα ὄντα τὸν πρεσ-
βύτερον τὸν ἐν τῷ μαρτυρίῳ τοῦ
ἑβδόμου εἰπεῖν· εἴτε ἀπέστειλε τό-
μον· καὶ ἐποίησεν ὑπογραφὰς
γενέσθαι· ὁ ἁγιώτατος ἀρχιεπί-
σκοπος εἶπε· στήτω ἐν μέσῳ· καὶ
στάντος αὐτοῦ· ὁ ἁγιώτατος ἀρχι-
επίσκοπος εἶπεν· ἐνταῦθα πά-
ρεστι· περὶ οὗ ταῦτα κατέθου· οἱ μο-
νάζοντες εἶπον· πάρεστιν· ὁ ἁγιώτα-
τος ἀρχιεπίσκοπος εἶπε· τίς λέ-
γων ὁ δὲ εἶπεν· ἀβραάμιος· ὁ ἁγιώ-
τατος ἀρχιεπίσκοπος εἶπεν·
ἐ[illegible] κατέθετο ὁ θεοσεβέ-
στατος ἐπίσκοπος εὐσέβιος; ἀ-
βραάμιος εἶπε· ναὶ τὸν [illegible]
[illegible]· ὁ ἁγιώτατος ἀρχιεπίσκοπ-
ος εἶπε· [illegible] ὁ πρεσβύτερος
καὶ ἀρχιμανδρίτης· ἀπέστειλέ με
πρὸς τὸν πρεσβύτερον ἀστέριον ἀ-
ναγγεῖλαι αὐτῷ ταῦτα· ὅτι ἐντυχὴς
ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης·
ἔπεμψεν αὐτῷ τόμον περὶ τῆς πί-
στεως· καὶ ἔπεισεν αὐτὸν ὑπογράψαι
εἰς αὐτόν· καὶ ταῦτα ἐδήλωσεν· ἵνα
τῇ ὑμετέρᾳ ὁσιότητι ἀπαγγείλῃ ὁ

πρεσβύτερος ἀστέριος· ὁ θεοφι εμ·
-λέστατος ἐπίσκοπος εὐσέβιος εἶπ(εν)·
ἐπειδὴ οὐκ ἄχρι τοῦ μοναστηρίου
μαμουηλίου τοῦ πρεσβυτέρου·
τοῦτο ἀπετόλμησε ποιῆσαι· ἀξιῶ
πεμφθῆναι εἰς τὰ ἄλλα μοναστή-
-ρια· καὶ μαθεῖν πρότερον εἰ κἀκεῖ
ἀπέστειλε τόμον· εἰς τὸ ὑπογράψαι
ὡς ἀθέτου μὲν ὄντος τῆς πίστεως
ἡμῶν· ὁ ἁγιώτατος ἀρχιεπίσκο-
-πος εἶπε· κατὰ τὰς αἰτήσεις τοῦ
θεοφιλεστάτου ἐπισκόπου εὐσεβίου·
διακονήσονται εἰς τὰ μοναστήρια·
εἰς μὲν τὰ ἐν τῇ πόλει· πέτρος
ὁ εὐλαβέστατος πρεσβύτερος· καὶ
πατρίκιος ὁ εὐλαβέστατος διάκο-
-νος· εἰς δὲ τὰ πέραν ἐν συκαῖς· ῥη-
-τόριος πρεσβύτερος· καὶ εὐτρόπιος
διάκονος· εἰς δὲ τὰ ἐν χαλκηδόνι·
παῦλος· ἰωάννης οἱ πρεσβύτεροι·
ἐπὶ τούτῳ γνῶναι παρ' αὐτῶν εἰ ἀπεστά-
-λη αὐτοῖς τόμος παρὰ τοῦ πρεσβυ-
-τέρου καὶ ἀρχιμανδρίτου εὐτυχοῦς·
πείθοντος αὐτοὺς ἢ ὑποτιθεμένου
καθυπογράψαι· καὶ τούτων λεγο-
-μένων παρὰ τοῦ ἁγιωτάτου ἀρχι-
επισκόπου· ἀέτιος διάκονος καὶ

νοτάριος εἶπεν· οἱ ἀποσταλέντες οἱ μὲν
πρότερον παρὰ τῆς ὑμετέρας ἁγι-
ωσύνης εὐλαβέστατοι πρεσβύ-
τεροι Μάμας καὶ Θεόφιλος, πρὸς
τὸν εὐλαβέστατον πρεσβύτερον
καὶ ἀρχιμανδρίτην Εὐτυχῆν πα-
ραγεγόνασιν· ὁ ἁγιώτατος ἀρχιε-
πίσκοπος εἶπε· λεγέτωσαν οἱ εὐ-
λαβέστατοι πρεσβύτεροι οἱ διακο-
νήσαντες τοῖς δόξασι τῇ ἁγίᾳ συ-
νόδῳ, τί ἀκηκόασι παρὰ τοῦ εὐ-
λαβεστάτου πρεσβυτέρου καὶ ἀρ-
χιμανδρίτου Εὐτυχοῦς· καὶ εἴπερ
ἑτοίμως ἔχει παραγενέσθαι εἰς
τὸ συνέδριον τῆς ἁγίας ταύτης
συνόδου· ὁ εὐλαβέστατος πρεσ-
βύτερος Μάμας εἶπε· καταλαβόν-
τες τὸ μοναστήριον τοῦ εὐλαβεστά-
του πρεσβυτέρου καὶ ἀρχιμανδρί-
του Εὐτυχοῦς, ηὕρομεν μονάζον-
τας ἑστῶτας πρὸ τοῦ πυλῶνος,
καὶ εἰσήλθομεν μετ' αὐτῶν ἔσω ἐν
τῷ μοναστηρίῳ· καὶ λέγομεν αὐτοῖς.
ὅτι μηνύσατε· συντυχεῖν γὰρ ἔχο-
μεν τῷ ἀρχιμανδρίτῃ· ἀποστα-
λέντες παρὰ τοῦ ἁγιωτάτου ἀρχι-
επισκόπου καὶ τῆς παρούσης

ἁγίας συνόδου· καὶ ἔλεγον ἡμῖν ὅτι
ὁ κύριος ὁ ἀρχιμανδρίτης ἀρρωστεῖ·
καὶ θεάσασθαι ὑμᾶς οὐ δύναται· τί
οὖν δοκεῖ ὑμῖν; ἢ ἵνα ἀπεστάλητε· εἴ-
πατε ἡμῖν· ἡμεῖς δὲ οὐκ ἠνεχόμε-
θα, εἰπόντες αὐτοῖς ὅτι ἡμεῖς πρὸς
ἐκεῖνον αὐτὸν ἀπεστάλημεν· καὶ ἔγ-
γραφον ἀποστολὴν πληροῦμεν· καὶ
ἔχομεν μετὰ χεῖρας τὸ γραφὲν πα-
ρὰ τῆς ἁγίας συνόδου πρὸς αὐτόν·
οἱ δὲ εἰσελθόντες πάλιν ἐξήγαγον καὶ
ἤγαγον μεθ' ἑαυτῶν Ἐλευσίνιον τινὰ
ὀνομαζόμενον λέγοντες· ὅτι ἐπειδὴ ὁ
ἀρχιμανδρίτης ἡμῶν ἀρρωστεῖ. αὐτὸν
ἀπέστειλεν εἰς τὸν τόπον αὐτοῦ· ἵνα
αὐτῷ τὰ δηλωθέντα εἴπητε· ἡμεῖς
δὲ οὐδ' οὕτως εἰλόμεθα εἰπεῖν αὐτῷ·
ἀλλ' ἔφημεν· ὅτι εἰ δέχεται ἡμᾶς ἀπο-
σταλέντας παρὰ τοῦ ἁγιωτάτου καὶ
ὁσιωτάτου ἀρχιεπισκόπου καὶ τῆς
ἁγίας καὶ μεγάλης συνόδου, εἴπατε
ἡμῖν· εἶτα θεασάμενοι αὐτοὺς θορυ-
βουμένους καὶ πρὸς ἀλλήλους ψιθυ-
ρίζοντας καὶ λέγοντας τινά· καὶ ὡς
οὐκ ἐλαμβάνομεν ἀπόκρισιν θορυ-
βουμένων αὐτῶν, διὰ τὸ ἔγγραφον
εἶναι τὴν ἀποστολήν· εἴπομεν αὐτοῖς.

ὅτι τί θορυβεῖσθε· οὐδὲν ἐστὶν ἐπει-
χθέντα τὰ γεγραμμένα· οὐκ ἔστι κρυπτά·
ἀλλὰ λέγομεν καὶ ἡμεῖς τὴν δύναμιν
τῶν γραφέντων, ὑπεμνήσθη αὐτὸν
ἡ ἁγία σύνοδος δεύτερον ἤδη τοῦτο·
ὥστε ἀπαντῆσαι αὐτὸν· καὶ ἐφ' οἷς
κατῃτιάθη παρὰ τοῦ θεοφιλεστάτου
Εὐσεβίου τοῦ ἐπισκόπου συστῆναι
καὶ ἀπολογήσασθαι ἐγκαλούμενον·
τότε εἰσελθόντες ἐμήνυσαν καὶ ἐ-
δίδαξαν ἡμᾶς ὁ προειρημένος εὐλα-
βέστατος πρεσβύτερος καὶ ἀρχιμαν-
δρίτης Εὐτυχής· καὶ εἰσελθόντες
ἀπεδέξαμεν τὸν ἀποσταλέντα τῷ
χάρτην· ὃν καὶ ἐποίησεν ἀναγνωσθῆ-
ναι ἐφ' ἡμῶν· μετὰ δὲ τὴν ἀνάγνω-
σιν λέγει ὅτι ἐγὼ ὅρον ἔθέμην ὥστε
στοῦ μοναστηρίου μὴ ἐξελθεῖν· ἂν μὴ ἐ-
θανατικῆς ἀνάγκης· συνορᾷ δὲ καὶ
ἡ ἁγία σύνοδος καὶ ὁ θεοφιλέστατος
ἀρχιεπίσκοπος ὅτι καὶ γέρων εἰμὶ
καὶ σαθρός· εἴπομεν ἡμεῖς ὅτι κα-
ταξιώσομεν ἐλθεῖν· καὶ εὐθέως ἠτιάθης
ἀπολογήσασθαι ἐπὶ τῆς ἁγίας συνόδου·
καὶ εἶπεν ὅτι ἐγὼ οὐκ ἐξέρχομαι τοῦ
μοναστηρίου μου τὸ κρίσιμον ταύτην ἐ-
σχηκέναι με· εἰ δὲ βούλεται ὁ θεοφιλέ-

-φατος ἀρχιεπίσκοπος καὶ ἡ ἁγία σύ-
-νοδος πρᾶξαί τι· ὃ δοκεῖ αὐτοῖς πράξου-
-σιν· ἐγὼ δὲ τῷ παρακαλῶ μὴ σκυλῆναι τι-
-μᾶς· εἰς ἄλλην φορὰν· κέκριται γάρ μοι
μὴ ἐξελθεῖν· ἵνα οὖν μὴ μέλλωσι καὶ
πάλιν πέμπειν ἐθέλουσι καὶ πρὸ τοῦ
καλέσαι με τὸ τρίτον πράξωσιν· ἐμοὶ
γὰρ ὡς κεκληκότες εἰσί· παρεκάλεσε
δὲ ἡμᾶς εἰπεῖν τῇ ἁγίᾳ συνόδῳ· τοῦ κυρίου
ταῦτα· ἠνάγκαζε δὲ ἡμᾶς καὶ χάρτην
τινὰ γεγραμμένον ἐπικομίσασθαι
καὶ οὐκ εἰλόμεθα καταδέξασθαι· εἰπόν-
-τος· ὅτι εἰ ἐπιβούλει παραγενόμενος
διδάξον· εἶτα ἡμῶν ταῦτα πρὸς αὐ-
-τὸν λεγόντων· ἠνέχθη ὁ χάρτης οὗτος καὶ
ἠθέλησε ποιῆσαι ἡμῖν ὑπαναγνωσθῆ-
-ναι· καὶ οὐδὲ οὕτως κατεδεξάμεθα
ἀκοῦσαι· ἀλλὰ λαμβάνειν ὑπέγραψεν αὐτῷ·
καὶ ἡμεῖς συνταξάμενοι ἐξήλθομεν·
εἰπόντος αὐτοῦ· ὅτι πάντως ὀφείλω τῇ
ἁγίᾳ συνόδῳ τὸν χάρτην τοῦτον μετ-
καὶ τῆς ἐμῆς ὑπογραφῆς·· ὁ ἁγιώτα-
-τος ἀρχιεπίσκοπος εἶπε· λεγέτω καὶ
ὁ εὐλαβέστατος πρεσβύτερος θεόφι-
-λος τίνα ἐπήκουσε παραγενόμενος
πρὸς τὸν εὐλαβέστατον πρεσβύτερον
καὶ ἀρχιμανδρίτην εὐτυχῆν· ἅμα τῷ

εὐλαβεστάτου πρεσβυτέρου Μάμα·
ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφι-
λος εἶπε· παραγενόμενος ἅμα τῷ
εὐλαβεστάτῳ πρεσβυτέρῳ Μάμᾳ ἐν-
ταῦθα εἰς τὸ μοναστήριον Εὐτυχίου
τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρί-
του· ταῦτα ἐπήκουσα λέγοντος
αὐτοῦ· ὅτι μὴ πειωμεθάνατος ἐκμάλη
ἐκ τοῦ μοναστηρίου· ἐπεὶ κέχρηταί μοι
καὶ ἀδυνατοῦμεν ἐξελθεῖν· καὶ τὰ ἄλ-
λα δὲ πάντα ὅσα ἐλέχθη παρὰ τοῦ
εὐλαβεστάτου πρεσβυτέρου Εὐτυχίου
κατέθετο ὁ εὐλαβέστατος πρεσβύ-
τερος Μάμας, ἅπερ καὶ αὐτὸς ἐπήκουσα.
ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος
εἶπε· σκέψις ἐστὶ μάλιστα καὶ πρόφασις
τῶν ὑπευθύνων, ὥστε τὰς ὑπερ-
θέσεις ἐμποιεῖν· οὐδὲ γὰρ ἐν τοῖς
ἐναγομένοις ἐστὶ τὸ παραιτεῖσθαι
ἢ ὅπως ἑαυτοῖς περιγράφειν· ἀλλὰ
παρακαλῶ· ἡ δυναστεία τῶν ἁγίων
κανόνων καὶ νόμων ἐπαγρυπνήσει· ἐ-
πὶ τοῦ καταπαῦσαι τι αὐθεντῆ καὶ κελεῦσαι
τε αὐτὸν καὶ ἄκοντα ἐνταῦθα ἐλθεῖν·
ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε·
ἐπακούσασα ἡ ἁγία σύνοδος τῶν
δηλωθέντων παρὰ τοῦ εὐλαβε-

-φάτου πρεσβυτέρου καὶ ἀρχιμαν-
-δρίτου Εὐτυχοῦς· διὰ τοὺς ἀποσταλ-
-μένους εὐλαβεστάτους πρεσβυτέ-
-ρους· τὸ παρηγγελμένον ἀποφήνα-
-σθαι· ἡ ἁγία σύνοδος εἶπεν· εὔλο-
-γον ἐστὶ καὶ τρίτον ὑπομνησθῆναι
παρὰ τῆς ἁγίας ταύτης καὶ μεγάλης
συνόδου τὸν εὐλαβέστατον πρεσβύ-
-τερον καὶ ἀρχιμανδρίτην Εὐτυχῆν·
ὥστε ἀπαντῆσαι τῇ συνόδῳ τῇ ἁγίᾳ ταύτῃ
συνόδῳ· ὡς εἴγε τοῦτο μὴ ποιήσῃ μέμ-
-ψηται ἑαυτῷ· ὁ ἁγιώτατος ἀρχιεπί-
-σκοπος εἶπεν· οἱ εὐλαβέστατοι πρεσ-
-βύτεροι· Μέμνων ὁ σκευοφύλαξ· καὶ
Ἐπιφάνιος· καὶ Γερμανὸς ὁ διάκονος·
παραγενόμενοι πρὸς τὸν εὐλαβέ-
-στατον πρεσβύτερον καὶ ἀρχιμαν-
-δρίτην Εὐτυχῆν· τὸ τρίτον τῆς κλή-
-σεως γράμμα τὸ διαπεμφθὲν παρὰ
τῆς ἁγίας συνόδου διακομίσωσι πρὸς
αὐτόν· ὥστε αὐτὸν παραγενέσθαι
καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομέ-
-νοις· καὶ εἶχε τὸ παραναγνωστικὸν
τὸ ἀποσταλὲν δι' αὐτῶν οὕτως· Ἡ
ἁγία καὶ μεγάλη σύνοδος ἡ κατὰ θεοῦ
χάριν ἐνδημοῦσα ἐν τῇ φιλοχρίστῳ
βασιλευούσῃ Κωνσταντινουπόλει

ἐρρῶσθαι· τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ
καὶ ἀρχιμανδρίτῃ Εὐτυχεῖ· οὐχ ἅπαξ οὐδὲ
δὶς τοῖς θείοις κανόσι διηγορευμέ-
ναι κατὰ τῶν ἀπειθούντων καὶ μὴ ἀ-
πεχομένων μᾶλλον αὐτῆς εἰς ἀπολο-
γίαν· ὅταν καὶ τρίτη κλῆσις πρὸς αὐτοὺς
γένηται· ἵνα τοίνυν μὴ σαυτὸν περιπεί-
ρῃς τοῖς ὑπ' αὐτῶν εὐσεβῶς διηγο-
ρευμένοις· γίνωσκε τὸ τρίτον παρ'
ἡμῶν καλούμενος διὰ τῶν εὐλαβε-
στάτων πρεσβυτέρων Μέμνονος τοῦ
σκευοφύλακος καὶ Ἐπιφανίου· καὶ τοῦ
εὐλαβεστάτου διακόνου Γερμανοῦ· θέ-
λησον παραγενέσθαι εἰς τὴν ἐπιοῦ-
σαν ἑβδομάδα· τουτέστι τῇ τετάρτῃ ἡμέ-
ρᾳ τῇ ἑπτακαιδεκάτῃ τοῦ νοεμβρίου
μηνός· καὶ τῇ ὀγδόῃ ἡμέρᾳ ἥτις ἐστὶν
ὀκτωκαιδεκάτη τοῦ νοεμβρίου μηνός·
ἡμέρᾳ τρίτῃ· πρὸ καθεζομένου τοῦ
ἁγιωτάτου ἀρχιεπισκόπου καὶ τῆς
ἁγίας συνόδου· καὶ ἀπολογησόμενος πε-
ρὶ θείων δογμάτων· τοῦ αὐτοῦ ἁγιωτά-
του ἀρχιεπισκόπου· Ἀσκληπιάδης
διάκονος καὶ νοτάριος ἐμήνυσε λέγων·
ὡς μονάζοντές τινες ἀπὸ τῶν τοῦ πρεσ-
βυτέρου καὶ ἀρχιμανδρίτου Εὐτυχοῦς·
ζ Ἀβραάμιος ὁ εὐλαβέστατος πρεσβύ-

-τερος καὶ ἀρχιμανδρίτης ὅς ὧδε ἔστι·
καὶ παρακαλοῦσιν εἰσελθεῖν· ὁ ἁγιώ-
-τατος ἀρχιεπίσκοπος εἶπεν· εἰσελθέτω-
-σαν· καὶ εἰσελθόντων [illegible] ἀβραμίου τοῦ
εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρ-
-χιμανδρίτου· καὶ ἐλευσινίου· καὶ κων-
-σταντίνου καὶ κωνσταντίνου τῶν δια-
κόνων τῆς μονῆς τοῦ εὐλαβεστάτου
πρεσβυτέρου καὶ ἀρχιμανδρίτου
εὐτυχοῦς· ὁ ἁγιώτατος ἀρχιεπίσκο-
-πος εἶπε· τί ἐσκύλη πρὸς ἡμᾶς ἡ ἀγά-
-πη ὑμῶν· ἀβραάμιος ὁ εὐλαβέ-
-στατος πρεσβύτερος καὶ ἀρχιμαν-
-δρίτης εἶπεν· ἀπεστάλημεν· ὁ ἁγιώ-
-τατος ἀρχιεπίσκοπος εἶπε· τίς
ὑμᾶς ἀπέστειλεν· ὁ εὐλαβέστατος πρε-
-σβύτερος καὶ ἀρχιμανδρίτης ἀβραά-
-μιος εἶπεν· ὁ ἀρχιμανδρίτης· ὁ ἁγιώ-
-τατος ἀρχιεπίσκοπος εἶπε· ποῖος
ἀρχιμανδρίτης· ἀβραάμιος ὁ εὐλα-
-βέστατος πρεσβύτερος καὶ ἀρχιμαν-
-δρίτης εἶπεν· εὐτυχής· ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος εἶπε· τί μάλιστα·
ἀβραάμιος ὁ εὐλαβέστατος πρεσβύ-
-τερος καὶ ἀρχιμανδρίτης εἶπεν· ἀ-
-πέστειλεν ἡμᾶς ἀρρωστῶν καὶ τὰς ἀ-
-χάς σου ὅλην τὴν νύκτα οὐκ ἔχοιμεν ἡσυχ

μισθὸν· οὔτε δὲ ἐγὼ ἔχοι μισθὸν· μισθὸν
τὸν αὐτοῦ· μετεπείλατο γάρ με ἀφεὶς
ἑτέρας διὰ τοῦτο· εἶπε δέ μοι καὶ τὴν αἰ-
ἐπιταγὴν τοῦ κυρίου· ὁ ἅγιος ἀπόστολος ἀρχιε-
πίσκοπος εἶπε· καὶ ἡμῖν δεδομένην οὐκ
ἐπιτιθέμεθα· θεοῦ γάρ ἐστι τὸ δοῦναι
ἀγάπην· ἡμῶν δὲ τὸ περιμεῖναι τὴν ἔρω-
τησιν αὐτοῦ· οὐ γὰρ εἰς τὸν ἡμῶν ὁρῶμεν·
ἀλλ' εἰς αὐτὴν ζήτησιν· οὔτε γὰρ τέρπεται ὁ θεὸς
ἐπ' αὐτοῖς πολλαῖς ἀξιωμάτων· οὔτε ἐσμὲν ἀν-
θρωπίας τέχναι. ἀλλὰ φιλανθρω-
πίας θεοῦ· εἰ γὰρ δι' ἡμᾶς ὁ πλούσιος ἐ-
πτώχευσε· καὶ ἡμεῖς ἕπεσθαι τῇ ὑ-
ψηλῇ αὐτοῦ πτωχείᾳ ὀφείλομεν· εἰς
γὰρ φιλανθρωπίας ἔργα ὑπὸ θεοῦ κατεσκευά-
σθημεν· ὁ εὐλαβέστατος πρεσβύτερος
καὶ ἀρχιμανδρίτης ἀβραάμιος εἶπε·
ἐμοὶ τῶν ποδῶν σου· καὶ ἡμῖν ἐτείλατο
ἀλλὰ τιμαί. αἳ ἐὰν ἐρωτήσω λέγω· ὁ ἅγι-
ος ἀπόστολος ἀρχιεπίσκοπος εἶπε· πῶς
δύναμαι τὸν παρακαλῶ σε· ἄλλου κατη-
γορουμένου. ἄλλον εἰπεῖν ὑπὲρ αὐτοῦ·
ἀλλὰ μᾶλλον ἡμῖν δεδομένην οὐκ ἐπιτι-
θέμεθα· καὶ ἂν ἔλθῃ ἐνταῦθα πρὸς
πρᾶσιν ἔρχεται καὶ πρὸς ἀδελφοὺς. πρὸς
οὐχ ἁρμοσθεῖσαν αὐτὸν· πρὸς ἔτι καὶ
μνῆ ἐπιμένοντας τῇ φιλίᾳ. πολλοὶ ἤ

-κουσαν καὶ ἐσκανδαλίσθησαν· ὅταν ὁ
κατήγορος αὐτοῦ ἐνίσταται καὶ ὀφείλει
ἀπολογήσασθαι· εἰ γὰρ τότε ἐν δικαστηρίῳ
ὄντα ποιμένου τῆς ἀληθείας ὑπὲρ ἀ-
-ληθείας εἰσῆλθε, πόσω μᾶλλον ὀφείλο-
μεν ὑπὲρ τῆς ἀληθείας καὶ ὑπὲρ ἑ-
-αυτοῦ εἰσελθεῖν· ἂν οἱ ἀσθενοῦντες· καὶ πολλοὶ
τῶν μεγάλων ἐσκανδαλίσθησαν καὶ
ἐσφάλησαν ὑπὸ ἀνοίας καὶ ὑπὸ ἀπει-
-ρίας νομίζοντες ὀρθῶς φρονεῖν· αἰ-
-σχύνην οὐ φέρει μεταμέλεια· ἀλλὰ τὸ
ἐπιμένειν τῇ ἁμαρτίᾳ, ὃν εἶδος· ὥσπερ
γὰρ ὁ σκώληξ ἀναλίσκει τὸ ξύλον ἐξ οὗ
γέγονεν· οὕτως καὶ ἡ ἁμαρτία μένου-
-σα ἐν τῷ ποιοῦντι αὐτήν· ἀλλ' ἐὰν ἐλθ-
ὼν τῷ θεῷ· καὶ ὁμολογοῦντος αὐτοῦ
τὸ πταῖσμα· καὶ ἀναθεματίζοντος·
δίδωσιν ἑαυτὸν ὑπὲρ τῶν προλαβόντων
συγγνώμην· καὶ ὑπὲρ τῶν μελλόντων·
ἡμᾶς ἀσφαλίζεται καὶ τὴν ἁγίαν σύνο-
-δον· ὅτι περ ὁμοίως φρονεῖ τῷ ἐκ
θέσει τῶν ἁγίων πατέρων ἡμῶν· καὶ
παρὰ ταύτας τοῦ λοιποῦ· οὔτε διδά-
-σκειν ἄλλο· οὐδὲ τινὶ διαλέγεται· οὕτω
χρὴ παρακαλῶ σε· καὶ γὰρ πρὸ τοῦ εἰ-
-δέναι σε αὐτὸν, οἶδα αὐτόν· καὶ πρὸ τοῦ
σε γνῶναι ἐκεῖνον, οἶδεν ἐμέ· ἀββᾶ ἀμμῶ

ὁ πρεσβύτερος καὶ ἀρχιμανδρίτης εἶ-
πεν· οὕτως ἔχει τῶν ποδῶν σου· καὶ
μετὰ τὸ ἀναγνωσθῆναι· ὁ ἁγιώτατος ἀρχι-
επίσκοπος εἶπεν· οἴδατε τὸν ζῆλον
τοῦ κατηγοροῦντος· ὅτι καὶ αὐτὸ τὸ πῦρ
ψυχρὸν αὐτῷ φαίνεται διὰ τὸν ζῆλον
τὸν ὑπὲρ τῆς εὐσεβείας· καὶ θεὸς οἶδε,
καὶ παρῄνεσα· καὶ παρεκάλεσα· ὅτι
μὴ παρακαλῶ σε ἐνδός· ὡς δὲ ἐπετέ-
θη· τί εἶχον ποιῆσαι· ἄρτι ἐγὼ βούλομαι
τὸν σκορπισμὸν ὑμῶν; μὴ γένοιτο·
οὐχὶ μᾶλλον καὶ συναγαγεῖν ὑμᾶς; τὸ ἐχ-
θρῶν ἐστὶ τὸ σκορπίζειν· πατέρων δὲ, συγ-
κροτεῖν· τῆς ὀγδόης ἡμέρας ἥ ἐστιν ἑπτακαι-
δεκάτη τοῦ νοεμβρίου μηνός· αὖθις
συνεδρευούσης τῆς ἁγίας συνόδου·
ἐν τῷ σεκρέτῳ τοῦ ἐπισκόπου· συνε-
λεύσεως ἄλλης· ἀέτιος διάκονος· καὶ νοτά-
ριος εἶπεν· οἱ ἀποσταλέντες τῇ χθὲς
ἡμέρᾳ ἥτις ἐστὶν ὀγδόη καὶ δεκάτη τοῦ νοε-
βρίου μηνός· οἱ εὐλαβέστατοι πρεσβύ-
τεροι μέμνων σκευοφύλαξ· καὶ ἐπιφά-
νιος· καὶ γερμανὸς διάκονος ἐπὶ τῇ τρί-
τῃ κλήσει· πρὸς τὸν εὐλαβέστατον πρεσ-
βύτερον καὶ ἀρχιμανδρίτην εὐτυχῆν,
πάρεισιν ἀπαγγεῖλαι βουλόμενοι ἅπερ
παρὰ τοῦ μνημονευθέντος ἀκηκόασι·

διακονησάμενοι τοῖς ὑμετέροις γράμ-
μασιν· ὁ ἁγιώτατος ἀρχιεπίσκοπος
εἶπε· λεγέτω ἐν πρώτῃ τάξει μέμνων
ὁ εὐλαβέστατος πρεσβύτερος ποίας
τετύχηκεν ἀποκρίσεως· παρὰ τοῦ
πρεσβυτέρου καὶ ἀρχιμανδρίτου ης
εὐτυχοῦς· ἐφ᾽ οἷς ἀπεστάλη παρὰ τ(ῆς)
ἁγίας συνόδου· ὁ εὐλαβέστατος πρεσ-
βύτερος καὶ σκευοφύλαξ μέμνων εἶ-
πε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας
ἁγιωσύνης καὶ τῆς ἁγίας ὑμῶν συνό-
δου· διαμάρτω πρὸς τὸν εὐλαβέστατον
πρεσβύτερον καὶ ἀρχιμανδρίτην
εὐτυχῆν· ἐπιδεδώκαμεν αὐτῷ τὸ πα-
ρὰ τῆς ἁγίας ὑμῶν συνόδου γράμμα.
ἀπεσταλμένον αὐτῷ· λαβὼν δὲ καὶ ἀνα-
γνοὺς· εἴρηκεν ἡμῖν· ὅτι ἀπέστειλα τὸν
εὐλαβέστατον πρεσβύτερον καὶ ἀρχι-
μανδρίτην ἀβραάμιον· πρὸς τὸν ἁγιώ-
τατον καὶ ὁσιώτατον ἀρχιεπίσκοπον
ἡμῶν. καὶ τὴν ἁγίαν σύνοδον· ὥστε συν-
θέσθαι αὐτὸν εἰς πρόσωπον ἐμὸν πᾶ-
σι τοῖς ἐκφωνηθεῖσι παρὰ τῶν ἁγίων
πατέρων τῶν ἐν νικαίᾳ καὶ τῶν ἐν ἐφέσῳ·
καὶ τοῖς κατὰ τὸν μακάριον κύριλλον
πᾶσι· καὶ ἔτι τούτου λέγοντος· ὁ θεοφι-
λέστατος ἐπίσκοπος εὐσέβιος εἶπε·

μὴν ἦλθες συνθέσθαι· ἐγὼ οὐ περὶ τῶν
μελλόντων κατηγόρησα· ἀλλὰ περὶ
τῶν φθασάντων· μὴ γὰρ ἐὰν ἐκδε-
δώκασιν αὐτῷ τὴν ἔκθεσιν. καὶ εἴπωμεν
ὅτι διὰ τὴν ἀνάγκην συντίθου ἢ ὑπόγρα-
φον. ἤδη ἡττήθημεν ἐγώ; ὁ ὁσιώτατος
ἀρχιεπίσκοπος εἶπεν· οὐδεὶς οὐδὲ
τοὶ συγχωρεῖ ἐκστῆναι τῆς κατηγορίας·
οὔτε ἐκείνῳ τὸ μὴ ἀπολογήσασθαι ὑπὲρ
τῶν παρῳχηκότων· ὁ θεοφιλέστατος
ἐπίσκοπος Εὐσέβιος εἶπεν· ἀξιῶ ταύ-
την τὴν φωνήν· ἐμοῦ μὴ προκρίνειν·
ἐγὼ γὰρ ἀξιοπίστους μάρτυρας ἔχω·
ἐφ' ὧν μετεπρεσβεύσαμεν ἐδίδασκε καὶ κα-
τεῖχε· καὶ ἀντιλογίας ἐπειράθη· οὐχ
ἅπαξ οὐδὲ δίς· ἀλλὰ καὶ πολλάκις ὑπο-
μνησθεὶς παρ' ἐμοῦ. ὥστε τὰ ὀρθὰ
φρονεῖν· οὐδὲ οὕτως ἠνέσχετο· ἐπεὶ κἂν
τοῖς ἐν τῇ φυλακῇ. ἀπὸ τῆς σήμερον
μὴ ληφεύετε· καὶ πάντως ἐπηγγέλλον-
το· ὁ ὁσιώτατος ἀρχιεπίσκοπος εἶ-
πεν· οὐδὲν πρόκριμα οἴσει τῇ σῇ θε-
οσεβείᾳ εἰς τὴν παρὰ σοῦ τεθεῖσαν
κατηγορίαν· κἂν μυριάκις ὑπόσχηται
καὶ ὑπογράφειν τοῖς ἐκτεθεῖσι πα-
ρὰ τῶν ἁγίων πατέρων· καθὼς γὰρ καὶ
ἤδη εἴρηται πολλάκις ἡμῖν. διὰ τὸν

πρότερον ἐλεγχθῆναι ἐφ' οἷς κατηγο-
ρήθη καὶ ἀπολογήσασθαι· καὶ ἐπὶ τού-
των λεγομένων· προσέθηκεν ὁ εὐλα-
βέστατος πρεσβύτερος καὶ σκευοφύ-
λαξ μέμνων· ἔλεγε δὲ ὅτι διὰ τὸ νῦν ἀρ-
ρωστίαν με ἐξετάζεσθαι τούτου ἕνεκεν·
ἀπέστειλα τὸν εὐλαβέστατον πρεσβύ-
τερον ἀβραάμιον· ὡς δὲ πολλὰ ἐγκρό-
μενον· ὅτι ὀφείλεις παραγενέσθαι καὶ
ἀπαντῆσαι πρὸς τὴν ἁγίαν σύνοδον·
καὶ ἀπολογήσασθαι τοῖς ἐπαγομέ-
νοις σοι· ἔφη τοῦτο· ὅτι περιμένω
τὸν πάπαν ἀβραάμιον· ἵνα ὡς δυσω-
πήσῃ τὸν κύριον καὶ τὴν ἁγίαν σύνο-
δον· λέγω αὐτῷ· ποῖον ἡμεῖς μέλλομεν
μένειν ἐνταῦθα· ἕως οὗ ἔρχεται·
λέγει· παρακαλῶ δυσωπηθῆναι τὸν
κύριον τὸν ἀρχιεπίσκοπον καὶ τὴν
σύνοδον· ὥστε ἐν τοῖς τῆς ἑβδομά-
δος ταύτης διορίαν μοι δοθῆναι· καὶ
τῇ δευτέρᾳ ἐὰν μὴ θελήματι θεοῦ εἰσέρχο-
μαι καὶ ἀπολογοῦμαι τῷ κυρῷ καὶ τῇ
ἁγίᾳ συνόδῳ· ὁ ἁγιώτατος ἀρχιεπί-
σκοπος εἶπε· λεγέτω καὶ ὁ εὐλαβέστα-
τος πρεσβύτερος ἐπιφάνιος· τί ἀ-
κήκοε παρὰ τοῦ εὐλαβεστάτου πρεσ-
βυτέρου καὶ ἀρχιμανδρίτου εὐτυχοῦς·

ὁ εὐλαβέστατος πρεσβύτερος Ἐπιφάνιος
εἶπε· κατὰ τὴν κέλευσιν τῆς ὑμετέρας
ἁγιωσύνης παραγενόμενος ἐγώ τε καὶ
ὁ θεοσεβέστατος πρεσβύτερος καὶ
σκευοφύλαξ Μέμνων ἅμα τῷ εὐλαβε-
στάτῳ διακόνῳ Γερμανῷ· ἀποδεδώκα-
μεν τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ καὶ
ἀρχιμανδρίτῃ Εὐτυχεῖ τὸ γραφὲν αὐτῷ
ὑπομνηστικὸν παρὰ τῆς ἁγίας ὑμῶν
συνόδου· καὶ ἀναγνοὺς τοῦτο ἐκεῖνος
εἴρηκεν ἅπερ κατέθετο ὁ θεοσεβέστατος
πρεσβύτερος Μέμνων· ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος εἶπε· λεγέτω καὶ ὁ
εὐλαβέστατος διάκονος Γερμανὸς ἃ
μζ παρακήκοεν· ὁ εὐλαβέστατος διά-
κονος Γερμανὸς εἶπε· κατὰ τὴν κέλευ-
σιν τῆς ὑμετέρας ἁγιωσύνης καὶ τῆς
ἁγίας συνόδου παρεγενόμεθα πρὸς
τὸν εὐλαβέστατον πρεσβύτερόν τε
καὶ ἀρχιμανδρίτην Εὐτυχέα· καὶ τὰ αὐτὰ
αὐτὸς εἴρηκεν ἡμῖν ἅπερ οἱ εὐλαβέστα-
τοι πρεσβύτεροι κατέθεντο· ὁ θεοφι-
λέστατος ἐπίσκοπος Εὐσέβιος εἶπεν·
ἠξίωσα καὶ πρώην τὴν ὑμετέραν ἁγι-
ωσύνην διὰ τὴν ἐπισύστασιν τὴν παρ'
αὐτοῦ μελετωμένην, ὅτι περ ταραχὴν
ἐμβάλλει καὶ τοῖς μοναστηρίοις· ὥστε

ἀποσταλῆναι εἰς τὰ ἀσκητήρια ἐ-
πὶ τῷ γνωσθῆναι· ὅτι πάντας ἀνε-
σόνησαν· ὡς ὀφείλοντας τόμῳ τινὶ
παρ᾽ αὐτοῦ ἢ συνταχθέντι· ἢ οὐκ οἶδ᾽ ὅ-
πως εἰς αὐτὸν ἐλθόντι· ὑπογράψαι·
περὶ τούτου ἡ ὑμετέρα ἁγιωσύνη
ἐκέλευσε· φανεροὺς τῶν εὐλαβεστά-
των κληρικῶν διαβῆναι εἰς τὰ ἀσκη-
τήρια· κελεύσατε καὶ τούτους πα-
ρεῖναι· καὶ καταθέσθαι ἐπὶ τῆς πί-
στεως τῶν ὑπομνημάτων· ἅπερ δὲ
παρὰ τῶν μοναχῶν ἀκηκόασιν· ὁ
ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν·
λεγέτωσαν οἱ νοτάριοι· τίνες εἰσὶν
οἱ ἀπεσταλμένοι εἰς τὰ ἐν τῇ πόλει
μοναστήρια· οἱ νοτάριοι εἶπον· οἱ
εὐλαβέστατοι πέτρος ὁ πρεσβύτερος·
καὶ πατρίκιος ὁ διάκονος καὶ πάρει-
σιν δ᾽ ἐνταῦθα· ὁ ἁγιώτατος ἀρχιεπί-
σκοπος εἶπε· λεγέτωσαν τί ἀκηκόα-
σι· παρ᾽ ἑκάστου τῶν εὐλαβεστάτων
ἀρχιμανδριτῶν· ὁ εὐλαβέστατος πρεσ-
βύτερος πέτρος εἶπε· κατὰ τὴν κέ-
λευσιν τῆς ὑμετέρας ἁγιωσύνης·
καὶ τῆς ἁγίας συνόδου φθάσαντες
ἕως τοῦ μοναστηρίου τοῦ εὐλαβεστά-
του πρεσβυτέρου καὶ ἀρχιμανδρίτου

μαρτυρίου ἐπερωτησάντων· εἰ τόμον
τινὰ πεμφθέντα παρὰ τοῦ πρεσ-
βυτέρου καὶ ἀρχιμανδρίτου εὐτυχοῦς
ἐδέξαντο καὶ ἀπεκρίναντο· ἀπεστάλη-
μεν πρὸς τῇ παρασκευῇ τῇ παρελ-
θούσῃ· ἥτις ὀκτωκαιδεκάτη τοῦ νοεμ-
βρίου μηνὸς· διὰ κωνσταντίνου δια-
κόνου τινὸς· ἀξιῶν ὑπογράψαι καὶ οὐ-
κ ἠνεσχόμην· εἰπὼν μὴ εἶναι ἐμὸν τὸ
ὑπογράφειν· ἐπισκόπων δὲ μόνων·
καὶ ἀξιῶν ἔλεγεν· ὅτι εἰ μὴ ὑμῶν συμ-
πνεύσητε μοι καὶ ταῦτα πεισμώσει με ὁ
ἐπίσκοπος· τελευταῖον καὶ ὑμῖν ἐπι-
θήσεται· ἐκεῖθεν ἐξελθόντες ἤλθο-
μεν πρὸς τὸν πρεσβύτερον καὶ ἀρ-
χιμανδρίτην φαῦστον· ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος εἶπε· τί δὲ περιεῖχεν
ὁ εὐλαβέστατος πρεσβύτερος καὶ ἀρ-
χιμανδρίτης μαρτύριος τὸν τόμον
ἔλεγεν· ἰδὼν καὶ ὑπογράψαι οὐχ εἵλατο·
ὁ εὐλαβέστατος πρεσβύτερος πέτρος·
εἶπεν· ὡς ἔλεγε τὰ ἐν ἐφέσῳ γενόμε-
να· ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν·
ἀναγνοὺς καὶ καταμαθὼν· ἢ ἀκηκοὼς
μόνον τοῦτο πρὸς ἐκεῖνον ἀπεκρίνα-
το· ὁ εὐλαβέστατος πρεσβύτερος πέ-
τρος εἶπεν· οὐκ ἀνέγνωμεν· ἔλεγε δὲ

ὅτι ταῦτα ἐστὶ τὰ τοῦ μακαρίου Κυ-
ρίλλου καὶ τῶν ἐν Ἐφέσῳ ἐπισκόπων·
ὑπεγέγραπτο δὲ καὶ ὁ τόμος· καὶ τὴν
ὑπογραφὴν ὑπέκρυπτον· ὁμοίως
δὲ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος
καὶ ἀρχιμανδρίτης Φαῦστος ἔλεγεν
ἀπεστάλθαι πρὸς αὐτὸν τὸν τόμον διὰ
Κωνσταντίνου καὶ Ἐλευθερίου· ὡς
ὀφείλειν αὐτὸν ὑπογράψαι καὶ ἀπή-
τει τὴν δύναμιν τοῦ τόμου· καὶ ἔλεγεν
ἐκεῖνος ὅτι τῶν τριακοσίων δέκα καὶ
ὀκτὼ ἐστὶν ἡ ἔκθεσις καὶ τῶν ἐν Ἐφέσῳ
συνελθόντων ἐπισκόπων· καὶ εἶπεν
αὐτοῖς λέγει· ὅτι τὰ ἴσα ἐκείνων σώ-
ζεται παρ' ἡμῖν· καὶ δὸς ἡμῖν πρὸς
ἐπίσκεψιν μή ποτε τινὰ προσθήκην
ἔχει· καὶ οὐκ ἀπεδέξαντο· ἀλλ' ἀνεχώ-
ρησαν· ἡμεῖς δὲ καὶ τέκνα τῆς ἐκκλη-
σίας ὄντες· καὶ ἕνα πρὸ πάντων μετὰ τὸν
θ(εὸ)ν τὸν ἀρχιεπίσκοπον ἔχοντες· καὶ
ὁ κύριος Ἰὼβ λέγει· τόμον μὲν οὐκ ἀπέ-
στειλε πρὸς ἡμᾶς· φασὶ δὲ ὅτι ἐν ταῖς
ἡμέραις ταύταις τόμον ἔχει σοι ἀπο-
στεῖλαι ὁ ἀρχιεπίσκοπος· ὥστε ὑπο-
γράψαι καὶ μὴ πεισθῆς αὐτῷ· ἀπήλ-
θομεν καὶ πρὸς Μανουήλιον καὶ ἔφη-
σεν μὴ ἀπεστάλθαι πρὸς αὐτόν· ὁμοίως

δὲ καὶ πρὸς Ἀβραάμιον· κἀκεῖνος ἔλεγε
μήτε πεπεῖσθαι πρὸς αὐτόν· μήτε
φάσιν· μήτε τόμον· ὁ ἁγιώτατος ἀρ-
χιεπίσκοπος εἶπε· λεγέτω καὶ Πατρί-
κιος ὁ διάκονος· τί ἀκήκοε παρὰ τῶν
εὐλαβεστάτων πρεσβυτέρων καὶ ἀρ-
χιμανδριτῶν· ὁ εὐλαβέστατος διάκο-
νος Πατρίκιος εἶπεν· ἀπεστάλην πα-
ρὰ τῆς ὑμετέρας ἁγιότητος καὶ ἁγίας
ἡμῶν συνόδου μετὰ τοῦ εὐλαβεστά-
του πρεσβυτέρου Πέτρου· κἀκεῖνα
ἤκουσα ἅπερ κατέθετο ὁ μνημονευ-
θεὶς εὐλαβέστατος πρεσβύτερος:
ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέ-
βιος εἶπεν· ὁρᾷ ἡ ὑμετέρα ἁγιωσύνη
ταῦτα πεπλημμελημένα Εὐτυχεῖ
τῷ ἀρχιμανδρίτῃ· καὶ ὅτι περ ἀλλό-
τρια τῆς πίστεως· ταῦτα γὰρ ὁ εὐλα-
βέστατος πρεσβύτερος καὶ ἔκδικος
Ἰωάννης κατέθετο· καὶ ὁ σὺν αὐτῷ,
ἀπεσταλμένος εὐλαβέστατος διάκο-
νος Ἀνδρέας· καὶ ὁ εὐλαβέστατος διά-
κονος Ἀθανάσιος· ὁ τοῦ θεοφιλεστάτου
ἐπισκόπου Βασιλείου· διὰ δὲ καὶ νῦν
οἱ εὐλαβέστατοι ἀρχιμανδρῖται διὰ τῶν
ἀποσταλέντων πρὸς αὐτοὺς εὐλαβε-
στάτων κληρικῶν ἐνεφάνισαν τῇ ὑμε-

τέρᾳ ἁγιωσύνῃ· πόσου ἐπιλείπει τῷ
ἐκείνῳ τόπος ἀπολογίας· διὸ ἀξιοῦ-
μεν τὰ δόξαντα τοῖς ἁγίοις κανόσιν ἢ
ἐντεῦθεν ἤδη καὶ ἐπ' αὐτῷ γενέσθαι·
ὅταν παρ' ἄλλας ἐμμαλῶν καὶ ἀλλότρι-
α φρονῶν τῆς πίστεως, πόσου οὖν
ὢν ἱερεὺς θεοῦ. ἢ ὢν ἀρχιμανδρίτας,
δίκαιος ὢν ἀριθμεῖσθαι· συνορᾶ-
τε δὲ ὅτι καὶ ἐπιορκῶν ἐλήλεγκται·
ὅταν εἰπὼν ὅτι κέχρηταί μοι μὴ ἐξελ-
θεῖν καὶ τάφος μοι ἐστὶ τὸ μοναστή-
ριον. οὗτος ἐπαγγέλλεται ἐλθεῖν·
πρὸς ὑπέρθεσιν ὅρων καὶ ἑτέραν τι-
μαρτυρεύων ὥσπερ φυγεῖν τὸν ἔ-
λεγχον· καὶ μὴ ὑπομεῖναι τιμωρί-
αν· ὁ ἁγιώτατος ἀρχιεπίσκοπος
εἶπεν· ἐξαρκεῖ μὲν πάντα ταῦτα κα-
τατεθέντα κατὰ Εὐτυχοῦς τοῦ πρε-
σβυτέρου καὶ ἀρχιμανδρίτου. δεῖ-
ξαι ἡμῖν. ὅτι ἑτέραν παρὰ τὴν ὀρθὴν
πίστιν φρονεῖ. καὶ τὴν ἐκκλησίαν δι-
αταράξαι ἐσπούδασεν· ὥστε αὐτὸν
ἐντεῦθεν ἤδη ὑποπεσεῖν τοῖς τῶν
κανόνων ἐπιτιμίοις καὶ ἀλλοτριῶ-
σαι καὶ τῆς περικειμένης αὐτῷ ἀξί-
ας ἱερατικῆς· καὶ τοῦ προΐστασθαι
τοῦ μοναστηρίου· ὑπὲρ δὲ πλείονος

ἀκριβείας καὶ τὴν δοθεῖσαν π(αρ') [ἀφ']
αὐτοῦ διορίαν. παρέχομεν αὐτῷ·
οὕτως γὰρ ἀπαντήσας· καὶ κατὰ
πρόσωπον ἐλεγχθήσεται· εἰ δὲ μὴ
κατὰ τὴν ἰδίαν ἐπαγγελίαν μὴ ἀ-
παντήσοι ὁ πρεσβύτερος καὶ ἀρχι-
μανδρίτης Εὐτυχής· τῇ προσιούσῃ
δευτέρᾳ. τουτέστι τῇ εἰκάδι δευτέρᾳ
τοῦ ὄντος μηνὸς νοεμβρίου. ἀ-
παλλοτριωθήσεται εἰς τὸ παντε-
λὲς καὶ τῆς ἀξίας τοῦ πρεσβυτέρου·
καὶ ξένος γενήσεται τοῦ προΐστα-
σθαι μοναστηρίου:–

Ἡμέρᾳ σαββάτῳ. ἥτις ἐστὶν εἰκὰς τοῦ
νοεμβρίου μηνός· συνεδρευούσης
τῆς ἁγίας καὶ μεγάλης συνόδου. ἐν
τῷ σεκρέτῳ τοῦ ἐπισκοπείου· ὁ θε-
οφιλέστατος ἐπίσκοπος Εὐσέβιος
εἶπεν· ἐφ' οἷς ἐγγράφως ᾐτιασάμην
Εὐτυχῆν τὸν πρεσβύτερον καὶ ἀρχι-
μανδρίτην· παρακαλῶ τὴν ὑμετέ-
ραν ἁγιωσύνην ἀναγκαίοις μοι ὄντας
εἰς τὴν κινουμένην παρ' ἐμοῦ κατ'
αὐτοῦ ὑπόθεσιν· κελεῦσαι εἰς τὴν ἁγί-
αν ὑμῶν σύνοδον παραγενέσθαι τῇ
προσιούσῃ δευτέρᾳ· εἰς ἣν κἀκεῖνος
ἐπηγγείλατο παρέσεσθαι· εἰς δὲ

οἱ ἐπεζητούμενοι παρ' ἐμοῦ. Νάρσης
ὁ πρεσβύτερος καὶ σύγκελλος αὐτοῦ·
Μάξιμος ἀρχιμανδρίτης ὁ φίλος αὐ-
τοῦ· καὶ Κωνσταντῖνος διάκονος καὶ
ἀποκρισιάριος τοῦ αὐτοῦ Εὐτυχοῦς·
Ἐλευσίνιος διάκονος τῆς αὐτῆς μο-
νῆς· ἐφ' ᾧ τε παρόντων αὐτῶν γινο-
μένης τῆς διαγνώσεως, τὸ ἀληθὲς
κατάδηλον γενέσθαι· ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος εἶπεν· οἱ ἐπιζητη-
θέντες παρὰ τοῦ εὐλαβεστάτου ἐπι-
σκόπου Εὐσεβίου, κληθήσονται εἰς
τὸ ἀπαντῆσαι τῇ ὡρισμένῃ ἡμέρᾳ·
ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος
εἶπε· περιηχήθην παρ' αὐτῶν ὡς
τῆς δευτέρας κλήσεως γενομένης
παρὰ τῆς ἁγίας ὑμῶν συνόδου· οἱ
ἀποσταλέντες παρ' ὑμῶν εὐλαβέστα-
τοι πρεσβύτεροι· Μάμας. καὶ Θεόφι-
λος· ἐπήκουσαν μὲν παρ' Εὐτυχοῦς
τοῦ πρεσβυτέρου καὶ ἀρχιμανδρίτου·
ἅπερ ἐπὶ τῆς πράξεως τῶν ὑπομνη-
μάτων οὐ κατέθεντο· καὶ ταῦτα εἰ
φανείη, ἀπόδειξις ἐστὶν ἐναργὴς τοῦ
φρονήματος αὐτοῦ· ἀξιῶ τοίνυν κλη-
θέντας Μάμαν καὶ Θεόφιλον τοὺς
πρεσβυτέρους προκειμένων τῶν

ἀξιοῦμεν ἀναγγελίσωμεν εἰπεῖν. ἅπερ ἀκη-
κόασι παρὰ Εὐτυχοῦς τοῦ πρεσβυτέ-
ρου καὶ ἀρχιμανδρίτου· ὁ ὁσιώτατος
ἀρχιεπίσκοπος εἶπε· λεγέτωσαν οἱ
μονάριοι· εἰ οἱ προρρηθέντες εὐλαβέ-
στατοι πρεσβύτεροι ἐνταῦθα εἰσίν· οἱ
μονάριοι εἶπον· ὁ μὲν εὐλαβέστατος θεό-
φιλος ὁ πρεσβύτερος πάρεστιν· ὁ δὲ εὐλα-
βέστατος πρεσβύτερος Μαμᾶς, οὐκ ἔστιν
ἐνταῦθα· ὁ ὁσιώτατος ἀρχιεπίσκοπος
εἶπεν· ἐπήκουσας τῶν λεχθέντων πα-
ρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Εὐσε-
βίου· διὸ πρὸ ὀφθαλμῶν ἔχων τὸν φό-
βον τοῦ θεοῦ· κατάθου σύμπαντα με-
τὰ ἀληθείας ἅπερ ἀκήκοας λέγοντος
τοῦ πρεσβυτέρου Εὐτυχοῦς ἡνίκα ἀπε-
στάλης πρὸς τὸ καλέσαι αὐτὸν παρά τε
ἡμῶν καὶ τῆς ἁγίας συνόδου· Θεόφι-
λος πρεσβύτερος εἶπε· κατὰ τὴν κέ-
λευσιν τῆς ὑμετέρας ἁγιωσύνης· ἐγώ
τε καὶ ὁ θεοσεβέστατος πρεσβύτερος
Μαμᾶς. κατελάβομεν τὸ μοναστήριον
τοῦ εὐλαβεστάτου πρεσβυτέρου καὶ ἀρ-
χιμανδρίτου Εὐτυχοῦς· καὶ ἐπιδεδώκα-
μεν αὐτῷ τὸ ὑπομνηστικὸν τῆς κλήσε-
ως αὐτοῦ. παρὰ τῆς ἁγίας συνόδου
ἀποσταλὲν αὐτῷ· καὶ ἤρξατο θέλειν συ-

·hic·

ζητεῖν ἡμῖν· τοῦ δὲ εὐλαβεστάτου πρε-
σβυτέρου Μαμαντος λέγοντος αὐτῷ,
ὅτι περ οὐδὲ διὰ τοῦτο ἤλθομεν συζητῆ-
σαι τῇ σῇ εὐλαβείᾳ· ἀλλὰ καλέσαι σε
ὑπαντῆσαι εἰς τὴν ἁγίαν σύνοδον·
ἤρξατο λέγειν ὁ αὐτὸς εὐλαβέστατος
πρεσβύτερος καὶ ἀρχιμανδρίτης
παρόντος τοῦ πρεσβυτέρου Ναρσοῦ·
καὶ τοῦ ἀρχιμανδρίτου Μαξίμου· καὶ
ἑτέρων τινῶν μοναχῶν· ὅτι ἐν ποίᾳ
γραφῇ κεῖται δύο φύσεις· ἔπειτα δὲ,
τίς τῶν ἁγίων πατέρων ἐξέθετο δύο φύσεις
τὸν θεὸν λόγον ἔχειν· ἡμῶν δὲ πρὸς ταῦ-
τα ἀποκρινομένων αὐτῷ· καὶ αὐτὸς
δεῖξον ἡμῖν ποῦ κεῖται τὸ ὁμοούσιον·
ἢ ποία γραφὴ λέγει τοῦτο· ἀπεκρίθη ὁ
αὐτὸς εὐλαβέστατος Εὐτυχής· οὐ κεῖται
παρὰ τῇ γραφῇ· εἰς τὴν ἔκθεσιν δὲ τῶν
πατέρων κεῖται· πρὸς τοῦτο ὁ εὐλαβέστα-
τος πρεσβύτερος Μαμας ἀποκρινό-
μενος εἶπεν· ὃν τρόπον τὸ ὁμοούσι-
ον οὐ κεῖται παρὰ τῇ γραφῇ ἀλλὰ παρὰ
τῶν πατέρων ἐξετέθη, οὕτω καὶ περὶ δύο
φύσεων οἱ αὐτοὶ ἅγιοι πατέρες ἐξέθεντο·
εἶπον κἀγὼ πρὸς ταῦτα· τέλειος ἐστὶν
ὁ θεὸς λόγος, ἢ οὔ· λέγει ὁ αὐτὸς πρεσβύτε-
ρος· τέλειος· εἶπον κἀγὼ τέλειος ἄνθρωπος

ὁ σαρκωθείς, ἢ οὔ· λέγει ὁ αὐτὸς πρεσ-
βύτερος τέλειος· λέγω εἶναι τοίνυν θεὸς τέ-
λειος καὶ ἄνθρωπος τέλειος. δύο τέλειαι ἑνωθεῖσαι
αὐτῷ τελοῦσιν υἱόν· τί κωλύει λέγειν ἡμᾶς
ἐκ δύο φύσεων ἕνα υἱόν· πρὸς ταῦτα
ἀπεκρίνατο ὁ εὐλαβέστατος πρεσβύ-
τερος καὶ ἀρχιμανδρίτης Εὐτυχής·
μὴ γένοιτό μοι τὸ ἐμὲ εἰπεῖν ἐκ δύο φύσεων
τὸν Χριστόν· ἢ φυσιολογεῖν τὸν θεόν μου· εἴτε
οὖν βούλονται καθελεῖν με. εἴτε θέλου-
σιν ποιεῖν τι κατ' ἐμοῦ κατὰ συγχώρησιν
θεοῦ, ποιείτωσαν· ἐγὼ γὰρ ἐν τῇ πίστει
ᾗ παρέλαβον ἐν αὐτῇ ἕστηκα· καὶ τελει-
ωθῆναι βούλομαι· ὥσπερ ἀκήκοα ἀπ'
αὐτοῦ ταῦτα εἴρηκεν· ὁ ἅγιος ὁ αὐτὸς ἀρχι-
επίσκοπος εἶπεν· εἶπε ἡ ὑμῶν γνῶσις
ἐν ἐκείνῳ τοιαῦτα περὶ τῆς πίστεως
ἀκηκοὼς παρὰ τοῦ εὐλαβεστάτου
Εὐτυχοῦς παραγενόμενος τῇ προτε-
ραίᾳ ταῦτα παρεσιώπησας· ὁ εὐλα-
βέστατος Θεόφιλος πρεσβύτερος
εἶπεν· οἶδε καὶ ἡ ὑμετέρα θεοφίλεια,
ὡς οὐ διὰ ταύτην ἀπεστάλημεν τὴν
αἰτίαν· ἀλλὰ μόνον τοῦ καλέσαι τὸν
πρεσβύτερον Εὐτυχῆν· διὸ μὴ ἐρωτη-
θέντες περὶ τούτων ἡγησάμεθα ταῦτα
εἰπεῖν περὶ ὧν οὐκ ἐνετάλθημεν·

οἱ νοτάριοι εἶπον· παρεγένετο καὶ Μάμας ὁ πρεσβύτερος· οὗ ἐμνημόνευσεν ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐσέβιος· ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν· ἀναγινωσκέσθω τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ Μάμαντι· τὰ κατατεθέντα παρὰ Θεοφίλου τοῦ εὐλαβεστάτου πρεσβυτέρου· καὶ μετὰ τὸ ἀναγνωσθῆναι· ὁ θεοφιλέστατος πρεσβύτερος Μάμας εἶπεν· εἰ περὶ ἀμφοῖν ἦν τὸ ζητούμενον ὅμοια κληρικοῦ ἔχων· οὐκ ἂν ἐψευσάμην· περὶ δὲ πίστεως λεγομένων· οὐκ ἂν ἀρνήσωμαι οὐδὲ ψεύσωμαι· μὴ γένοιτο· ἐπειδὴ ἀποστελλόμενοι οὐδὲν ἕτερον ἐνετάλθημεν παρὰ τῆς ἁγίας συνόδου. ἢ μόνον τὸ ὑπομνηστικὸν δοῦναι καὶ ἀπόκρισιν λαβεῖν. εἴ τε ἔρχεται. εἴ τε μή· διὰ τοῦτο. ἐν τῇ πρώτῃ καταθέσει ἅπερ ἠθέλησεν ἐκεῖνος λαλῆσαι. περί τινων ἃ ἐνόμισα εἶναι καταθέσθαι· τὰ αὐτὰ κἀγὼ κατατίθημι ἅπερ καὶ ὁ εὐλαβέστατος πρεσβύτερος Θεόφιλος κατέθετο· καὶ γὰρ ἡμῶν ἡσυχαζόντων· καὶ μὴ βουλομένων αὐτῷ περὶ μηδενὸς λαλῆσαι, αὐτὸς ἐφίλον εἶχε

λέγων περὶ τοῦ δόγματος ὡς ἐφρόνει.
καὶ ἠρέμα καὶ χαμαιτέρῳ μὲν αὐτοῦ· ἔλεγε
γὰρ ὅτι ὁ θεὸς λόγος σαρκωθεὶς τὴν ἀν-
θρωπείαν φύσιν τὴν πεσοῦσαν ἦλθεν
ἀνεγεῖραι· εὐθέως ἐπιλαβόμενος εἶ-
πον· ποίαν; πάλιν λέγει αὐτός· ὅτι τὴν
ἀνθρωπείαν φύσιν· ἐλέγομεν ἐγὼ σημει-
ωσάμενος τὴν ἀνθρωπείαν φύσιν·
καὶ παρὰ ποίας φύσεως αὕτη ἀνῃρέθη·
ἔλεγεν ὅτι ἐγὼ παρὰ τῆς γραφῆς οὐκ ἐ-
διδάχθην περὶ δύο φύσεων· εἶπον
ἐγὼ· ὅτι οὔτε περὶ τοῦ ὁμοουσίου παρὰ
τῆς γραφῆς ἐδιδάχθημεν· ἀλλὰ παρὰ
τῶν ἁγίων πατέρων τῶν τὰς γραφὰς καλῶς
νοησάντων εὐσεβῶς· καὶ ἐκθεμένων
πιστῶς· οὕτως οὖν παρελάβομεν· καὶ
περὶ τοῦ ὁμοουσίου· καὶ περὶ τοῦ ἐκ
δύο φύσεων εἶναι τὸν Χριστὸν τὸν υἱὸν τοῦ
θεοῦ· ἔφησε πρὸς ταῦτα· ὅτι ἐγὼ· θεό-
τητα οὐ φυσιολογῶ· οὔτε λέγω δύο φύ-
σεις μὴ γένοιτο· καὶ εἰ μὲν ἐνταῦθα
καὶ καθαιρεθῶ, τάφος μοι γίνεται τὸ μο-
ναστήριον· καὶ ἐὰν συγχωρήσῃ ὁ θεὸς παθεῖν
μέ τι, ἤδη [illegible] πάσχω· ἐγὼ γὰρ δύο φύσεις
οὐχ ὁμολογῶ· διὰ δὲ τὴν αἰτίαν ἣν προ-
εἶπον· ἐπειδὴ οὔτε συζητῆσαι ἀπήλ-
θομεν· ἀλλὰ μόνον ἀπόκρισιν δοῦναι

καὶ λαμεῖν· διὰ τοῦτο ταῦτα δὲ ἐν τῇ προ
τεραίᾳ οὐ κατεθέμεθα· ὁ ἁγιώτα
τος ἀρχιεπίσκοπος εἶπε· δῆλα δὲ
τὰ παρὰ ἀμφοτέρων κατατεθέν
τα· ὅθεν καὶ αὐτὰ ἀναλαμβανέσθω
τῇ τάξει τῶν ὑπομνημάτων· συνα
χθείσης αὖθις τῆς ἁγίας καὶ μεγάλης
συνόδου· προκειμένων τῶν ἁγίων
καὶ φρικτῶν εὐαγγελίων· καὶ προε
δρεύοντος τοῦ ἁγιωτάτου ἀρχιεπι
σκόπου ἡμῶν Φλαβιανοῦ· ἐν τῷ σε
κρέτῳ τοῦ ἐπισκοπείου τῆς ὁρισθεί
σης προθεσμίας ἡμέρας δευτέρας, ἥ
τις ἦν εἰκὰς δευτέρα τοῦ νοεμβρίου
μηνός· ἀστέριος πρεσβύτερος καὶ
νοτάριος εἶπεν· ἀπήντησεν ἡ κυ
ρία ἡμέρα· καὶ ὁ θεοφιλέστατος ἐπί
σκοπος εὐσέβιος πρὸ τῶν θυρῶν
ἕστηκε ζητῶν εἰσελθεῖν· ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος εἶπεν· εἰσίτω· καὶ
μετὰ τὸ εἰσελθεῖν· ὁ ἁγιώτατος ἀρ
χιεπίσκοπος εἶπεν· ἀπελθόντες
φιλάδελφος καὶ βήρυλλος οἱ διάκονοι·
ἐπιζητήσουσι τὸν εὐλαβέστατον πρεσ
βύτερον καὶ ἀρχιμανδρίτην εὐτυχῆν·
περὶ τὸ ἐπισκοπεῖον εἴ γε κατὰ τὰς
ἰδίας ὑποσχέσεις ἀπήντησε καὶ κα

λέσουσιν αὐτὸν εἰς τὸ συνέδριον· καὶ ἐν
τῷ μεταξὺ ἐπανελθόντες οἱ προειρη-
μένοι ἔφησαν· ἐζητήκαμεν αὐτὸν
ἀνὰ πᾶσαν τὴν ἐκκλησίαν· μὴ εὑρηκέναι
δὲ μήτε αὐτὸν· μήτε τινὰ τῶν αὐτοῦ·
ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· καὶ
αὖθις Χρϊστῆμος καὶ Ἰωάννης οἱ διάκο-
νοι ἀπελθόντες ζητήσουσιν αὐτὸν πε-
ρὶ τὴν ἐκκλησίαν· καὶ ὅπου ἂν εὑρε-
θῶσιν εἶναι, καὶ καλέσουσιν αὐτὸν εἰς
τὸ συνέδριον· καὶ ἐν τῷ μεταξὺ ἐπα-
νελθόντες οἱ προειρημένοι ἔφησαν·
αὐτὸν μὲν μὴ εὑρηκέναι· μεμαθηκέ-
ναι δὲ μετὰ πολλῆς βοηθείας στρατιω-
τῶν καὶ μοναχῶν καὶ ἐπαρχικῶν,
μέλλειν αὐτὸν παραγίνεσθαι· καὶ τούτων
λεγομένων καὶ ἐκδεχομένης τῆς ἁγί-
ας συνόδου, ὁ εὐλαβέστατος πρε-
σβύτερος καὶ ἔκδικος Ἰωάννης εἶπεν·
αὐτὴν τὴν ὥραν ὁ εὐλαβέστατος πρεσβύ-
τερος καὶ ἀρχιμανδρίτης Εὐτυχὴς
μετὰ πολλοῦ πλήθους στρατιωτῶν
καὶ μοναχῶν καὶ ταξεωτῶν· τοῦ με-
γαλοπρεπεστάτου καὶ ἐνδοξοτάτου
ἐπάρχου τῶν πραιτωρίων· καὶ οὐχ
ἑτέρως αὐτὸν βούλονται ἀπολῦσαι
ἵνα εἰσέλθῃ εἰς τὴν ἁγίαν ὑμῶν σύνο-

δον· εἰ μὴ ἀντιφωνήσωμεν αὐτῷ κα-
-θιστῶμεν αὐτοῦ τὸ πρόσωπον· ἔτι δὲ
καὶ μάγνος ὁ θαυμασιώτατος σιλεν-
-τιάριος καὶ αὐτὸς ἅμα αὐτῷ πρὸ τῶν
θυρῶν βουλόμενος εἰσελθεῖν ὡς ἂν
-προσταχθεὶς παρὰ τοῦ εὐσεβεστάτου
καὶ φιλοχρίστου ἡμῶν βασιλέως·
ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν·
-εἰσίτωσαν· καὶ μετὰ τὸ εἰσελθεῖν. ὁ
θαυμασιώτατος σιλεντιάριος μά-
-γνος εἶπε· τῶν ποδῶν τῆς ἁγιωσύνης
ὑμῶν· εἰ κελεύετε δέξασθαι τὴν ἀπό-
-κρισιν τοῦ δεσπότου· φανερὰ γὰρ ὑ-
-μῖν ἐγγράφως ἐδήλωσε· καὶ εἰ παρί-
-σταται ἀναγινωσκέσθω· ἡ ἁγία σύνοδος
εἶπεν· ἀναγνωσθῇ· τὰ παρὰ τοῦ εὐσε-
-βεστάτου ἡμῶν βασιλέως προσταχθέν-
-τα τέκνον· καὶ ἀνέγνω ὁ θαυμασιώ-
-τατος σιλεντιάριος μάγνος· ὅτι ἡμᾶς
τῆς εἰρήνης φροντίζομεν· καὶ τῶν
ἁγίων ἐκκλησιῶν καὶ τῆς ὀρθοδόξου
πίστεως· καὶ φυλάττεσθαι θέλομεν
τὴν ὀρθὴν καὶ θεόπνευστον ἐκφωνη-
-θεῖσαν πίστιν παρὰ τῶν πατέρων ἡμῶν
τῶν ἐν νικαίᾳ συναχθέντων τρια-
-κοσίων δέκα καὶ ὀκτώ· καὶ τῶν ἐν ἐφέσῳ·
τῶν ἐπὶ τῇ καθαιρέσει νεστορίου· τοῦτο

οὖν θέλομεν μὴ σκάνδαλον εἰς τὴν
προειρημένην ὀρθοδοξίαν γενηθῆναι·
ἐπειδὴ δὲ οἴδαμεν τὸν μεγαλοπρε-
πέστατον πατρίκιον Φλωρέντιον·
ὄντα πιστὸν καὶ μεμαρτυρημένον
ἐπὶ τῇ ὀρθότητι. θέλομεν συνεῖναι
αὐτὸν τῇ ἀκροάσει τῆς συνόδου. ἐπει-
δὴ λόγος περὶ τῆς πίστεως ἐστίν·
ἐπὶ τούτων ἀναγινωσκομένων. ἡ ἁγία
σύνοδος εἶπε· πολλὰ τὰ ἔτη τοῦ βα-
σιλέως· μεγάλη ἡ πίστις τῶν βασιλέων·
τῶν φυλάκων τῆς πίστεως. πολλὰ τὰ
ἔτη· τῶν ὀρθοδόξων βασιλέων πολλὰ
τὰ ἔτη· τῷ εὐσεβεῖ τῷ ὀρθοδόξῳ. τῷ
εὐσεβεῖ βασιλεῖ· τῷ ἀρχιερεῖ βασιλεῖ·
ἀκούετε ἅγιοι πατέρες· εὐχαριστοῦμεν τοῖς
ὀρθοδόξοις βασιλεῦσιν·· ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος εἶπε· τὸν κύριον Φλω-
ρέντιον, πιστὸν πάντες ἴσμεν· καὶ με-
μαρτυρημένον ἐπὶ ὀρθοδοξίᾳ καὶ βου-
λόμεθα αὐτὸν παρεῖναι· μανθάνομεν δὲ
καὶ παρὰ Εὐτυχίου τοῦ πρεσβυτέρου ὅτι
βούλεται αὐτὸν παρεῖναι· Εὐτυχὴς
πρεσβύτερος καὶ ἀρχιμανδρίτης·
εἶπεν· ὃ δ᾽ ἂν βούληται ὁ θεὸς καὶ ἡ ἁγιωσύ-
νη ὑμῶν ποιήσατε· ἐγὼ ἐμαυτὸν ὑμῖν
παρατίθεμαι· ὁ ἁγιώτατος ἀρχιεπί-

σκόπος εἶπεν· ἐβλήθη καὶ ὁ μεγαλοπρε
πέστατος πατρίκιος Φλωρέντιος·
καταξίωσον ὁμοίως τέκνον ὁ σιλεντιάρι
σκύλαι αὐτόν· ὁ θαυμασιώτατος
σιλεντιάριος Μάγνος εἶπε· καὶ κελεύ
σαντες ἡμᾶς μετ᾽ ἐμοῦ πεμφθῆναι κλη
ρικόν. μήπως ἀμφιβάλῃ περὶ τούτου,
ὅτι ἡ ἁγιωσύνη ὑμῶν ἀπέστειλεν·
ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν·
εἰ ἐκέλευσεν ὁ εὐσεβέστατος ἡμῶν βα
σιλεὺς ἡμᾶς πέμψαι, ἐπέμψαμεν ἄν·
ἐπειδὴ δὲ οὐκ ἐκέλευσεν, αὐτὸς μόνος
διαμηνύει πρὸς τὴν αὐτοῦ μεγαλοπρέ
πειαν· καὶ μετὰ τὸ εἰσελθεῖν τὸν με
γαλοπρεπέστατον καὶ ἐνδοξότατον.
ἀπὸ ἐπάρχων καὶ ὑπάτων καὶ πα
τρικίων Φλωρέντιον· ἡ ἁγία σύνοδος
εἶπε· ῥήτωσαν εἰς μέσον ὅ,τε κατη
γορῶν καὶ ὁ κατηγορούμενος· καὶ ἀνα
γινωσκέσθω ἀπ᾽ ἀρχῆς ἡ γενομένη
πρᾶξις ἐπὶ τῇ κατὰ τὸν θεοφιλέστα
τον ἐπίσκοπον Εὐσέβιον· καὶ τὸν εὐ
λαβέστατον πρεσβύτερον καὶ ἀρχιμαν
δρίτην Εὐτυχῆ ὑπόθεσιν· ἐφ᾽ ᾧ τε διη
γηθέντας ἡμᾶς ἐκ τῶν προτέρων.
ἑτέρας δοῦναι ἐπὶ τοῖς ἤδη κινηθεῖ
σι· τῷ τε δικαίῳ καὶ τοῖς ἁγίοις κανόσι

συμμαῖνον· καὶ παρελθὼν εἰς μέσον
ἀέτιος διάκονος καὶ νοτάριος ἀνεγί-
νωσκε τὴν γεγενημένην πρᾶξιν τῶν
ὑπομνημάτων· καὶ ἐν τῷ ἀναγινώ-
σκειν φθάσαντος αὐτοῦ εἰς τὸ μέρος
τῆς δευτέρας ἐπιστολῆς· τοῦ τῆς
θείας μνήμης κυρίλλου· τῆς γραφεί-
σης πρὸς τοὺς θεοφιλεστάτους τῆς
ἀνατολῆς ἐπισκόπους· ἐν ᾗ περιείχε-
το ῥήματα ταῦτα· ὁμολογοῦμεν τοι-
γαροῦν τὸν κν ἡμῶν ιν χν τὸν
υἱὸν τοῦ θυ τὸν μονογενῆ. θν τέλειον.
καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ
σώματος· πρὸ αἰώνων μὲν ἐκ τοῦ
πρς γεννηθέντα κατὰ τὴν θεότητα·
ἐπ' ἐσχάτου δὲ τῶν ἡμερῶν τὸν αὐτὸν
δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σριαν.
ἐκ μαρίας τῆς παρθένου κατὰ τὴν ἀν-
θρωπότητα· ὁμοούσιον τῷ πρι· κα-
τὰ τὴν θεότητα· καὶ ὁμοούσιον ἡμῖν
κατὰ τὴν ἀνθρωπότητα· δύο γὰρ φύ-
σεων ἕνωσις γέγονε· διὸ ἕνα χν· ἕνα
κν ὁμολογοῦμεν· κατὰ ταύτην τὴν τῆς
ἀσυγχύτου ἑνώσεως ἔννοιαν· ὁμολο-
γοῦμεν τὴν ἁγίαν παρθένον θεοτόκον.
διὰ τὸ τὸν θν λόγον σαρκωθῆναι καὶ
ἐνανθρωπῆσαι· καὶ ἐξ αὐτῆς τῆς

συλλήψεως· ἐν ᾧ ἑνῶσαι ἑαυτῷ τὸν ὅλον
τῆς ληφθὲν ταῦ ἄνθρωπον· ὁ θεοφιλέστα-
τος ἐπίσκοπος εὐσέβιος εἶπεν· οὔτε
τῶν ποδῶν ὑμῶν τοῦτο οὐχ ὁμολογεῖ
οὐδὲ συνέθετό ποτε τούτοις· ἀλλ' ἐναν-
τία τούτων ἐφρόνησε· καὶ ἐλάλησε
πρὸς ἕκαστον τῶν συντυχανόντων
αὐτῷ καὶ κατήχει· ὁ μεγαλοπρεπέ-
στατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρ-
χων καὶ ὑπάτων καὶ πατρικίων φλω-
ρέντιος εἶπεν· εἰ παρίσταται τῇ ὑμε-
τέρᾳ ὁσιότητι ἐρωτάσθω ὁ πάντας
εὐτυχής· εἰ συντίθεται τούτοις· ος
ὁ θεοφιλέστατος ἐπίσκοπος εὐσέβι(ος)
εἶπεν· ἐνδόντε ἀναγνωσθῆναι πᾶσαν
ἡ πρᾶξις τῶν ὑπομνημάτων· ἀρχὴ
γάρ μοι ἡ πρᾶξις εἰς ἔλεγχον· καὶ γὰρ ἐμοὶ
ἐληλεγμένος ἐστίν· οὐδὲ γὰρ ἄρτι ἐὰν συν-
θῆται λαμῶν πρὸ θεὸν ἔκθεσιν· ἐγὼ προ-
κρίμα ὀφείλω ὑπομεῖναι· ἐγὼ ἀπέδει-
ξα αὐτόν· καὶ διὰ τῶν καταθέσεων
τῶν πρὸς αὐτὸν ἀποσταλέντων πα-
ρὰ τῆς ἁγίας συνόδου· καὶ διὰ μαρτύ-
ρων ὁσιωτάτων ἐπισκόπων· δύνα-
μαι πάλιν τὰ αὐτὰ ἀποδεῖξαι εἴγε ἀρ-
νήσοιτο· ἔστι γὰρ ὁ κύριος μελίφθογγος·
καὶ ὁ κύριος ἰοβιανός· καὶ ὁ κύριος ἰου-

-λίαν ὡς εἰδότες ἀκριβῶς· ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος εἶπεν· οὐδεὶς οὔτε
σοι συγχωρεῖ ἐπίσκοπε εὐσέβιε. μὴ ἐ-
λέγξαι αὐτὸν οὔτε τὸν πρεσβύτερον
εὐτυχῆν ἐκ τοῦ παραχρῆμα καὶ δέχεται
πῶς συντιθέμενον· ἐὰν μὴ ἐλεγχθῇ
τί πρότερον ἐφρόνει· ὁ θεοφιλέστατος
ἐπίσκοπος εὐσέβιος εἶπε· δέδοικα
αὐτοῦ τὴν περιδρομήν· ἐγὼ πένης εἰ-
μι· ἀκτήμων· ἐξορίαν μοι ἀπειλεῖ· χρή-
ματα ἔχει· ἀρπάζω· γραφεῖ μοι ἤδη τὴν μό-
νησιν· ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε·
κἂν μυριάκις ταῦτα λέγῃς ἐπιμένων·
ἡμεῖς τῆς ἀληθείας οὐδὲν προτιμῶμεν·
εὐσέβιος ἐπίσκοπος εἶπεν· ἐὰν ἄλλως
ἐγὼ συκοφαντῆς. ἀφαιρεθῶ τῆς ἀξίας·
ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος
ἀπὸ ὑπάτων καὶ πατρίκιος φλωρέν-
τιος εἶπε· πεῦσις προσηνέχθη τῷ
πρεσβυτέρῳ εὐτυχεῖ. πῶς πιστεύει·
καὶ τί λέγει· καὶ πότε πάλιν ἐρωτάσθω·
διατί μὴ νῦν ταῦτα λέγων· πρότερον ἄλλως
ἐφρόνει· εὐσέβιος ἐπίσκοπος εἶπε·
καθὼς προεῖπον προκρίματός μοι
μὴ γινομένου· ἀπὸ τῆς μνήμης αὐτοῦ κα-
ταθέσθω ὡς ἐρωτάσθω· ἐγὼ γὰρ ἀπὸ
τῶν ἤδη πραχθέντων ὑπομνημάτων.

ἢ λέγειν αὐτὸν οὐκ ὀρθῶς φρονοῦντα·
ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε·
συντίθεται τούτοις τοῖς ἀναγνωσ-
θεῖσιν ἄρτι τοῖς τοῦ μακαρίου κυρίλλου·
καὶ ὁμολογεῖ δύο φύσεων ἕνωσιν γε-
γενῆσθαι ἓν μὲν πρόσωπον καὶ μίαν
ὑπόστασιν, ἢ οὔ· ὁ ἁγιώτατος ἀρχιε-
πίσκοπος εἶπεν· ἤκουσας πρεσ-
βύτερε εὐτυχῆ. τί ὁ κατήγορός σου λέγει;
λέγε τοίνυν εἰ ἐκ δύο φύσεων ἕνωσιν
ὁμολογεῖς· εὐτυχὴς πρεσβύτερος
εἶπε· ναὶ ἐκ δύο φύσεων· εὐσέβιος
ἐπίσκοπος εἶπεν· ὁμολογεῖς δύο φύ-
σεις κύριε· ὁ ἀρχιμανδρίτης μετὰ τὴν
ἐνανθρώπησιν καὶ ὁμοούσιον ἡμῖν
εἶναι τὸν χν λέγεις κατὰ σάρκα, ἢ οὔ·
ἡ ἁγία σύνοδος εἶπεν· ἆρον καῦσον εὐ-
σέβιον· οὗτος ζῶν καῇ· οὗτος εἰς δύο
γένηται· ὡς ἐμέρισε μερισθῇ· ἡ ἐπὶ
διοσκόρου: διόσκορος ἐπίσκοπος
ἀλεξανδρείας εἶπεν· ἀνεκτὸς ὑμῖν
ἐστιν οὗτος ὁ λόγος. μετὰ τὴν ἐνανθρώ-
πησιν δύο φύσεις εἰπεῖν; ἡ ἁγία σύνο-
δος εἶπεν· ἀνάθεμα τῷ λέγοντι·
διόσκορος ἐπίσκοπος ἀλεξανδρείας
εἶπεν· ἐπειδὴ καὶ τῶν φωνῶν ὑμῶν
χρείαν ἔχω· καὶ τῶν χειρῶν· εἴ τις οὐ

δύναται κινῆσαι. τὴν χεῖρα ἐκτείνας αὐτῷ.
ἡ ἁγία σύνοδος εἶπεν· εἴ τις λέγει δύο
ἀνάθεμα. καὶ ἐν τῷ ἀναγινώσκεσθαι
οἱ ἐν χαλκηδόνι· οἱ ἀνατολικοὶ καὶ
οἱ σὺν αὐτοῖς εὐλαβέστατοι ἐπίσκοποι
ἐβόησαν· ταῦτα οὐδεὶς εἶπε. ταῦτα
διόσκορος εἶπε. ταῦτα οἱ αἰγύπτιοι
εἶπον· οἱ εὐλαβέστατοι ἐπίσκοποι αἰ-
γύπτιοι εἶπον· ταῦτα καὶ τότε εἴπο-
μεν· καὶ νῦν λέγομεν. κωνσταντῖ-
νος ὁ καθωσιωμένος σηκρητάριος
τοῦ θείου κονσιστωρίου· ἀπὸ τοῦ
αὐτοῦ σχιδαρίου ἀνέγνω· ÷ ÷ ÷

[illegible]

Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἐγὼ
οὐκ ἦλθον διαλεχθῆναι· ἀλλ' ἦλθον
πεῖσαι τὴν σὴν ὁσιότητα ὃ προσ-
φέρομεν· γέγραπται γὰρ ἐν τῷ χάρτῃ,
τοῦτο τὸ ὃ προσφέρομεν. καὶ κελεύσα-
τε αὐτὸν ἀναγνωσθῆναι. ὁ ἁγιώτατος
ἀρχιεπίσκοπος εἶπεν· αὐτὸς ἀνά-
γνωθι. Εὐτυχὴς πρεσβύτερος εἶπεν·
οὐ δύναμαι. ὁ ἁγιώτατος ἀρχιεπίσκο-
πος εἶπε· διατί· σὺ οὖν ὃ ἐξέθου, ἢ ἄλ-
λου ἐστὶν ἡ ἔκθεσις· εἰ σή ἐστιν, ἀνάγνω-
θι αὐτός. Εὐτυχὴς πρεσβύτερος εἶπεν·
ἐμὴ μέν ἐστιν ἡ ὑπαγορία· ἡ δὲ ὑπαγο-
ρία ἴση ἐστὶ τῶν ἁγίων πατέρων. ὁ ἁγιώ-

-ταυτος ἀρχιεπίσκοπος εἶπε· ποίων
πατέρων· εἶπε δὲ ἑαυτοῦ· τί χρείαν ἔχεις
χάρτου· ἰωάννης ἐπίσκοπος ἡφαι-
-στου εἶπεν· ὅτε μὲν ἀπῄτην καὶ οὐκ ἠλπί-
-ζετο εἰς τὸ συνέδριον παραγενέσθαι·
πᾶσαν αὐτῷ φιλανθρωπίαν κατεπη-
-γγέλλετο τῷ δοκεῖν· ὅπως εἰ δὴ ἤδε παρα-
γένομε. πάσης ἀπανθρωπίας εἰς πεῖ-
-ραν ἄγεται· εὐτυχὴς πρεσβύτερος
εἶπεν· οὕτως πιστεύω. προσκυνῶν
τὸν πατέρα μετὰ τοῦ υἱοῦ· καὶ τὸν υἱὸν
μετὰ τοῦ πατρός· καὶ τὸ ἅγιον πνεῦμα με-
-τὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ· ὁμολογῶ δὲ
τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν γεγε-
-νῆσθαι ἐκ τῆς σαρκὸς τῆς ἁγίας παρ-
-θένου· καὶ ἐνανθρωπῆσαι αὐτὸν τε-
-λείως διὰ τὴν σωτηρίαν ἡμῶν· οὕτως ὁ-
-μολογῶ ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ
τοῦ ἁγίου πνεύματος· καὶ τῆς ὑμετέρας
ἁγιωσύνης· διόσκορος ἐπίσκοπος
ἀλεξανδρείας εἶπε· καταδεχόμεθα
ταύτην τὴν φωνήν· ἡ ἁγία σύνοδος
εἶπεν· αὕτη ἡ πίστις τῶν πατέρων·
διόσκορος ἐπίσκοπος ἀλεξανδρεί-
-ας εἶπεν· ὅπως εἰ δὴ λέγει ἡ θεοσέβεια
ὑμῶν. αὕτη ἡ πίστις τῶν πατέρων· ποί-
-α πίστις ἦν ἣν ἐξέθετο τίς· ἡ ἁγία σύ-

νοδος εἶπεν· Εὐτυχής· ὁ γὰρ Εὐσέβιος
ἀσεβής ἐστι· Διόσκορος ἐπίσκοπος
Ἀλεξανδρείας εἶπεν· ἠκούσατε τῆς
ἀποκρίσεως Εὐτυχοῦς τοῦ ἀρχιμανδρίτου·
ἰδοὺ πᾶσιν ὑμῖν· ὁ σκοπὸς αὐτοῦ ἀ-
σύστατος ἐγένετο· ὁ ἁγιώτατος ἀρ-
χιεπίσκοπος εἶπεν· ὁμολογεῖς ὁμο-
ούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα· καὶ
ὁμοούσιον τῇ μητρὶ κατὰ τὴν ἀνθρωπό-
τητα· τὸν αὐτὸν θεὸν υἱὸν τὸν κύριον ἡμῶν
Ἰησοῦν Χριστόν; Εὐτυχὴς πρεσβύτερος εἶπεν· ἐ-
γὼ ἐπειδὴ παρεθέμην ἐμαυτὸν τῇ ἁγιω-
σύνῃ ὑμῶν· εἶπον ὅπως φρονῶ περὶ
αὐτοῦ τοῦ πατρός· καὶ τοῦ υἱοῦ· καὶ τοῦ ἁγίου
πνεύματος· τί ποτε ἄλλο μηκέτι ὀξέταζε· ὁ
ἁγιώτατος ἀρχιεπίσκοπος εἶπε· νῦν
ὁμολογεῖς ἐκ δύο φύσεων; Εὐτυχὴς
πρεσβύτερος εἶπεν· ἐπειδὴ ὁμολογῶ
θεόν μου καὶ κύριόν μου οὐρανοῦ καὶ γῆς· ἕως
σήμερον φυσιολογεῖν ἐμαυτὸν οὐκ ἐπέ-
τρεπον· ὁμοούσιον δὲ ἡμῖν· ἕως νῦν
οὐκ εἶπον· πρὸ τούτου ὁμολογῶ· ὁ ἁγι-
ώτατος ἀρχιεπίσκοπος εἶπεν· οὐ
λέγεις ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θε-
ότητα· καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν
κατὰ τὴν ἀνθρωπότητα; Εὐτυχὴς
πρεσβύτερος εἶπεν· ἕως σήμερον

παύλου τοῦ εὐλαβεστάτου ἐπισκό-
που τῆς ἀνθηδονιτῶν πόλεως·
νατήρου τοῦ εὐλαβεστάτου ἐπισκό-
που τῆς γαζαίων πόλεως·
εὐφράτα τοῦ εὐλαβεστάτου ἐπισκό-
που τῆς ἐλευθεροπολιτῶν πόλεως
ἐπαρχίας κρήτης· τρύφωνος
τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς
χίου πόλεως· αὐρηλίου τοῦ εὐλα-
βεστάτου ἐπισκόπου τῆς ἀδραμυ-
τινῶν πόλεως· παρόντος μαμάν-
τος τοῦ περιβλέπτου κόμητος·
καὶ προξίμου τοῦ θείου σκρινίου
τῶν λιβέλλων· καὶ τῶν θείων κογνι-
τιόνων· μακεδόνιος ὁ περίβλεπτος
τριβοῦνος καὶ ῥεφερενδάριος εἶ-
πε· τῇ πρὸ ὀκτὼ εἰδῶν ἀπριλλίων· ἀ-
πὸ θείων μανδάτων· ἐκελεύσθη
τοῖς εὐλαβεστάτοις ἐπισκόποις·
τὴν ἐπίκρισιν τῶν πεπραγμένων
ὑπομνημάτων περὶ τῆς αἰτίας
ἥτις μεταξὺ φλαβιανοῦ τοῦ εὐλαβε-
στάτου ἐπισκόπου καὶ εὐτυχοῦς τοῦ
ἀρχιμανδρίτου κινεῖται· ἐκζητηθῆ-
ναι ὅπερ δὴ τῷ παρόντι ὡσαύτως γε-
νέσθαι ἡ βασιλικὴ ἐκέλευσεν αὐθεντία·
φλάβιος φλωρέντιος ὁ μεγαλοπρε-

πέστατος ἀπὸ ἐπάρχων πόλεως·
καὶ ἀπὸ ἐπάρχων πραιτωρίων τὸ
ἕκτον· καὶ ἀπὸ ὑπάτων πατρίκι-
ος εἶπε· τὰ πραχθέντα ἐπὶ τῇ κα-
ταθέσει τοῦ περιβλέπτου ῥεφερεν-
δαρίου· παρούσης τῆς ἁγίας συνό-
δου ἀναγινωσκέσθω· καὶ ὅποτε
προσηνέχθη τὸ σχιδάριον· ἀπὸ τοῦ
θείου σκρινίου τῶν λιβέλλων· καὶ
τῶν θείων κογνιτιόνων. παρὰ Ἰω-
τοῦ καθωσιωμένου ἐξσκέπτορος
τοῦ αὐτοῦ θείου σκρινίου ἀνεγνώσθη·
Φλαβίου πρωτογένους τοῦ λαμ-
προτάτου· καὶ τοῦ δηλωθησομένου
ὑπάτου πρὸ ς΄ εἰδῶν ἀπριλλίων
ἐν κωνσταντινουπόλει· θείᾳ κε-
λεύσει καθεζομένων ἐν τῷ ἁγίῳ
τῆς καθολικῆς ἐκκλησίας βαπτι-
στηρίῳ· θαλασσίου τοῦ εὐλαβεστά-
του ἐπισκόπου τῆς καισαρέων πό-
λεως καππαδοκίας· καὶ εὐσε-
βίου τοῦ εὐλαβεστάτου ἐπισκόπου
τῆς ἀγκυρανῶν πόλεως· κωνσταν-
τίνου τοῦ εὐλαβεστάτου ἐπισκόπου
τῆς μελιτηνῶν πόλεως· βασιλείου
τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς
σελευκέων πόλεως ἐπαρχίας ἰσαυ-

ρίας· σατορνίνου τοῦ εὐλαβεστάτου
ἐπισκόπου τῆς μαρκιανουπόλεως·
μαρινιανοῦ τοῦ εὐλαβεστάτου ἐπι-
σκόπου τῆς σμιαδηνῶν πόλεως·
πατρικίου τοῦ εὐλαβεστάτου ἐπι-
σκόπου τῆς τυανέων πόλεως·
τρύφωνος τοῦ εὐλαβεστάτου ἐπισκό
τῆς χίου πόλεως· σελεύκου τοῦ
εὐλαβεστάτου ἐπισκόπου τῆς ἀμα-
σέων πόλεως· χαλδιδιανοῦ τοῦ
εὐλαβεστάτου ἐπισκόπου τῆς ἀν-
τιοχέων πόλεως ἐπαρχίας πισι-
δίας· τιμοθέου τοῦ εὐλαβεστάτου
ἐπισκόπου τῆς σαρακηνῶν πό-
λεως· μαυτήρου τοῦ εὐλαβεστάτου
ἐπισκόπου τῆς ταζέων πόλεως·
εὐσταθίου τοῦ εὐλαβεστάτου ἐπισκό-
που τῆς παρνασηνῶν πόλεως·
παύλου τοῦ εὐλαβεστάτου ἐπισκόπ
τῆς ἀνθηδονέων πόλεως· θωμᾶ
τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς
θεοδοσιουπολιτῶν πόλεως·
εὐστοχίου τοῦ εὐλαβεστάτου ἐπισκό
τῆς δοκημηνῶν πόλεως· γεροντί
τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς
βασιλινουπολιτῶν πόλεως·
ἀκύλα τοῦ εὐλαβεστάτου ἐπισκόπ

τῆς Σαυροκλέων πόλεως· Ἰουλιανοῦ
τοῦ εὐλαβεστάτου ἐπισκόπου τῆς
Μισθίων πόλεως· Ἀκακίου τοῦ
εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀρια-
ραθηνῶν πόλεως· Ἰουλιανοῦ τοῦ
εὐλαβεστάτου ἐπισκόπου τῆς Κῴων
πόλεως· Πρόκλου τοῦ εὐλαβεστά-
του ἐπισκόπου τῆς Ἀδραμυττηνῶν
πόλεως· Εὐδοξίου τοῦ εὐλαβεστάτου
ἐπισκόπου τῆς Βοσπορηνῶν πό-
λεως· Σάββα τοῦ εὐλαβεστάτου ἐ-
πισκόπου τῆς Παλτηνῶν πόλεως·
[illegible]θεου τοῦ εὐλαβεστάτου ἐπισκό-
που τῆς Πριμουπολιτῶν πόλεως·
[illegible]λίμου τοῦ εὐλαβεστάτου ἐπισκό-
που τῆς Θεοδοσιουπολιτῶν πό-
λεως ἐπαρχίας Ἀσίας· Παύλου τοῦ
εὐλαβεστάτου ἐπισκόπου τῆς Ἀπο-
λλωνιέων πόλεως· Λογγίνου τοῦ
εὐλαβεστάτου ἐπισκόπου τῆς Μαν-
δηνῶν πόλεως· Μακεδόνιος ὁ πε-
ρίβλεπτος τριβοῦνος καὶ ῥεφερενδά-
ριος εἶπεν· Εὐτυχὴς ὁ εὐλαβέστατος
ἀρχιμανδρίτης προσεμεχθεὶς ἐκδε-
ήσεως τῇ βασιλικῇ θειότητι ἐδίδα-
ξεν ὡς [illegible] ὃν ἑαυτὸν ἐπιδεηθῆ-
ναι· καὶ τὸ ὃ ποιοῦ [illegible] τοῦ θείου,

σκρινίῳ ἐμφέρονται. ὁ μεγαλοπρε-
πέστατος πατρίκιος εἶπεν· ἡ δέη-
σις τοῦ εὐλαβεστάτου μοναχοῦ Εὐτυχοῦς
προσενεχθεῖσα ἀναγινωσκέσθω.
καὶ ὁ λαμπρότατος τριβοῦνος νοτά-
ριος καὶ ῥεφερενδάριος διδάξει εἴ τι-
νες προσεδρεύουσιν ὑπὲρ τοῦ προ-
σώπου πράττοντες τοῦ αὐτοῦ εὐ-
λαβεστάτου μοναχοῦ· καὶ περιμένει ἀνα-
γνωσθῆναι. Μακεδόνιος ὁ λαμπρό-
τατος νοτάριος καὶ ῥεφερενδάριος
εἶπε· προσεδρεύουσιν οἵτινες ὑπὲρ
τοῦ προσώπου τοῦ μοναχοῦ δύναν-
ται λέγειν. ὁ μεγαλοπρεπέστατος πα-
τρίκιος εἶπε· ἀρέσκει περὶ τούτου
τοῖς εὐλαβεστάτοις ἐπισκόποις. καὶ
Εὐσέβιος ἐπίσκοπος τῆς Δορυλα-
έων εἶπεν· εἰ δίδωσιν πόλεως λέγει· κε-
λεύσατέ με ἀναχωρῆσαι. ὁ μεγαλοπρε-
πέστατος πατρίκιος εἶπεν. ὅπερ ἐ-
κέλευσεν ἡ βασιλικὴ αὐθεντία παν-
τὶ τρόπῳ παραφυλακτέον ἐστί· διὸ
εἰ συγκατατίθενται οἱ εὐλαβέστατοι
ἐπίσκοποι, ἵνα εἰσδεχθῶσιν οὗτοι
οἵτινες ὑπὲρ τοῦ προσώπου τοῦ εὐ-
λαβεστάτου μοναχοῦ πράττειν ἕτοι-
μοί εἰσιν εἴπωσι. Μελίφθογγος ὁ εὐλα-

βέστατος ἐπίσκοπος εἶπε· τοιαύτης
κατηγορίας γινομένης· ἀκόλουθόν
ἐστι παρεῖναι τὸν κατηγορούμενον· εἰ γὰρ
τὰ μάλιστα οὐκ ἀκινδύνως γίνονται
αἱ τοιαῦται κατηγορίαι· οὐδὲ γὰρ ἁπλῶς
οὐδὲ ὡς ἔτυχεν ὑβρίζειν τῶν τυχόντων ἐστὶ
ἀποδοκιμαζόμενον· ὅσιον οἶμαι ὁ εὐσε-
βέστατος βασιλεὺς ἐκ παντὸς τρόπου
τὰς παραδόσεις συγκροτεῖν εἰωθὼς τὴν
ὀρθόδοξον πίστιν· καὶ τοὺς κανόνας
ἐνδόξως παρατηρεῖσθαι· ἀξι-
οῦ ἀναμένειν ἐλεγχθῆναι αὐτόν· καὶ εἰ κελεύ-
ει ἐγκληματικὴν δίκην ἀγωνίσασθαι
ἄλλον ὑπὲρ ἄλλου· καὶ τοῦτο προσ-
δεχόμεθα· εἰ καὶ τὰ μάλιστα οἰκουμε-
νικὴν ἐκέλευσεν ἀθροίζεσθαι σύνοδον·
καὶ πεφύλακται τὰ καιριώτερα
τῶν πραγμάτων ἐν ἐκείνῃ τῇ συνό-
δῳ· καὶ μετεστάλησαν πολλοί· καὶ δί-
καιόν ἐστι τὰ θεσπισθέντα παρὰ
τοῦ εὐσεβεστάτου βασιλέως εἰς πέ-
ρας ἀχθῆναι· ὁ μεγαλοπρεπέστατος
πατρίκιος εἶπε· τί ἑαυτῷ περὶ τού-
του ὁ λαμπρότατος τριβοῦνος νο-
τάριος· καὶ ἐξέφερεν ὀνδάριος ἐν ταλ-
θὲν ταῦτα εἶναι γινώσκει καταθῆται·
Μακεδόνιος λαμπρότατος τριβοῦνος

νοτάριος καὶ ῥεφερενδάριος εἶπε·
ὁ εὐσεβέστατος δεσπότης ἡμῶν·
γνοὺς ὡς καὶ θήρηται ὁ προλεχθεὶς
ἀνήρ· ἐκέλευσεν ὑπὸ τῶν αὐτοῦ ἐκ παν-
τὸς τρόπου· τοὺς ἀποσταλέντας
εἰσελθόντας ἐπιγνῶναι· ἀμφιγνω-
σκομένων τῶν χαρτῶν τῶν παρ' αὐτοῦ
εἰρημένων πρὸς αὐτόν· καὶ τῶν παρ'
αὐτοῦ πρὸς τὸν ἁγιώτατον ἐπίσκοπον·
ὁ μεγαλοπρεπέστατος πατρίκιος
εἶπεν· ἁπλούστερον ὅπερ αἰτεῖται
καὶ διὰ τοῦτο ἐκεῖνοι εἰσελθόντες· καὶ
ἐπὶ τῇ αὐτῶν παρουσίᾳ ἡ δέησις ἀ-
μφιγνωσκέσθω· καὶ ὁπότε εἰσῆλθον
καὶ εἰς τὸ μέσον ἔστησαν· Κωνσταντῖνος
ἐλευσίνιος· καὶ Κωνσταντῖνος οἱ εὐλαβ-
έστατοι μοναχοί· Μακεδόνιος ὁ λαμπρό-
τατος τριβοῦνος νοτάριος τὸ ἅγιον
εὐαγγέλιον προσφέρων εἶπε· χρὴ
πάντα τὰ κελευσθέντα παρὰ τῆς
αὐτῶν εὐσεβείας εἰπεῖν με· ἐκέλευσας
τοίνυν τοῖς ποτηνι καὶ ταῖς παρόντ
ἁγιωτάτοις ἐπισκόποις· μεθ' ὅρκου
εἰπεῖν εἰ ἀληθεῖς εἰσι τῶν ὑπομνημα-
των ἀμφιγνωσκομένων αἱ καταθέ-
σεις αἱ παρὰ ἑκατέρου τοῦ μέρους·

προσενεχθεῖσαι· βασίλειος ὁ εὐλα-
βέστατος ἐπίσκοπος τῆς σελευκέ-
ων ἐκκλησίας εἶπε· μέχρι μὲν ὅρκον
οὐκ ἴσμεν προσενεχθέντα ἐπι-
σκόποις· ἀλλὰ καὶ ἐντέταλται ἡμῖν
παρὰ τοῦ σωτῆρος χριστοῦ μὴ ὀμόσαι· μήτε
ἐν τῷ οὐρανῷ· ὅτι θρόνος ἐστὶ τοῦ θεοῦ·
μήτε ἐν τῇ γῇ· ὅτι ὑποπόδιόν ἐστι
τοῦ θεοῦ· μήτε εἰς τὴν κεφαλὴν τὴν
ἑαυτοῦ· ἵνα μὴ ὀμόσαι· ὅτι οὐδεὶς δύ-
ναται τρίχα μίαν ὑπὸ τοῦ θεοῦ δημι-
ουργηθεῖσαν αὐτὸς ποιῆσαι· ἕκαστος
δὲ τῷ θυσιαστηρίῳ παρεστὼς τὸν τοῦ
θεοῦ φόβον ἔχων πρὸ ὀφθαλμῶν· καὶ
τὸ ἑαυτοῦ συνειδὸς φυλάττων κα-
θαρὸν τῷ θεῷ τῶν ὅλων αὐτοῦ ἐν
μνήμῃ οὐδὲν ἔχει παραλεῖψαι:
ὁ μεγαλοπρεπέστατος πατρίκιος
φλωρέντιος εἶπεν· τῶν ἅπαξ εἰρηται·
τῶν δεήσεων ἡ ὑμετέρα ὁσιότης παρα-
κολουθήσει· καὶ διὰ τοῦ αὐτοῦ καθω-
σιωμένου ἐκ σκέπτορος· ἀμεμπτώ-
σαθη τοῖς εὐλαβεστάτοις καὶ πιστοτά-
τοις φιλοχρίστοις βασιλεῦσι· θεοδο-
σίῳ καὶ οὐαλεντινιανῷ τοῖς αἰωνί-
οις αὐγούστοις· παραὶ ἐντυχοῦσ ἀρχιμ

-δρίτου· τοσαύτην μοι μετὰ τὸν θ(εὸ)ν·
καὶ σ(ωτη)ρίας καὶ τῆς ἀληθείας φανερῶς
-σις γέγονεν· ἡ εὐσέβεια ὑμῶν· ἐν
οὐδενὶ πράγματι παραλείψασα τ(ῶν)
τε περὶ τῆς πίστεως ἕνεκα καὶ τῶν
κατ᾽ ἐμοῦ συκοφαντιῶν τὴν ἔρευναν
ποιουμένη· τὸ γὰρ ὑπόμνημα τὸ σκευ
-ωρηθὲν παρὰ τοῦ εὐλαβεστάτου ἐπι-
σκόπου Φλαβιανοῦ κατ᾽ ἐμοῦ ἀνέγνωσαν
τῇ χθὲς ἡμέρᾳ καὶ εὕρομεν ἅπαντα τ(ὰ)
πεπραγμένα κείμενα τῷ χάρτῃ·
οὔτε γὰρ ἃ πρός με εἴρηκεν ἔκειτο ἐν
αὐτῷ· οὔτε ἃ ἐγὼ ἐλάλησα ἔταξαν ἐν
τῷ αὐτῷ ὑπομνήματι· δέομαι τοί-
-νυν τῆς ὑμετέρας γαληνότητος τοῦ
συνήθως τῆς ὀρθοδόξου πίστεως
ἀντεχομένης· καὶ τῆς ὑπολήψεως
τῆς ἐμῆς βραδυτῆτος καταξιῶσαι
θεσπίσαι τοὺς θεοσεβεστάτους ἐπι-
σκόπους· τοὺς τότημι καῖται συνε
-δρεύσαντας· καὶ τοὺς νοταρίους τοῦ
τοῦ αὐτοῦ εὐλαβεστάτου ἐπισκόπ(ου)
Φλαβιανοῦ καὶ τοὺς ἀποσταλέντας
πρός με παρ᾽ αὐτοῦ τοὺς εὐλαβεστάτους
κληρικούς· καὶ καλοῦντας ἀπαντῆσαι
εἰς τὸ συνέδριον· καὶ τὸν εὐλαβέστα-
-τον διάκονον Ἀθανάσιον· τοῦ εὐλα

βεστάτου ἐπισκόπου Βασιλείου
συνελθεῖν. παρόντος τοῦ θεοφιλεστά-
του ἐπισκόπου Θαλασσίου· ὥστε
αὐτοῖς ὁρκωτηθέντας εἰπεῖν μετὰ
ἀληθείας εἰ ἐγγράφως ἀπεκρίσασι· καὶ
τούτου τυχόντων· συνήθως ὑμνῶν
εὐχαριστήσαντων δεσπότῃ καὶ θεῷ τῶν
ὅλων Χριστῷ· καὶ τὴν ὑμετέραν εὐσέβει-
αν διὰ παντός· ὁ αὐτὸς καὶ θωσιωέ-
μος ἐπίσκοπος εἶπεν· ἔστι καὶ θεία
ὑποσημείωσις ἐν τῇ ἀναγνωσθείσῃ
δεήσει· τοῦ θειοτάτου καὶ εὐλαβε-
στάτου ἡμῶν βασιλέως· ὁ μεγαλο-
πρεπέστατος πατρίκιος εἶπε μετὰ
προσκυνήσεως ἀναγινωσκέσθω·
καὶ διὰ τοῦ αὐτοῦ καὶ θωσιωμένου
ἐπίσκοπος ἀνεγνώσθη· κατα-
τιθέσθω παρὰ τοῖς εὐλαβεστάτοις
ἐπισκόποις οἵτινες πρὸ ἡμῶν συνῆλ-
θον· οὐ μὴν ἀλλὰ καὶ παρὰ τῷ εὐλα-
βεστάτῳ ἐπισκόπῳ Θαλασσίῳ· ἵνα
παρὰ τούτοις παρόντων πάντων·
περὶ ὧν ἤδη ἐκεῖνος λαλεῖ. τοῦ πράγμα-
τος ἡ ἀλήθεια ἐκζητηθείη· ὁ εὐλαβέ-
στατος ἐπίσκοπος Φλαβιανὸς εἶπεν·
οἱ εὐλαβέστατοι διάκονοι καὶ νοτάρι-
οι ἀστέριος· καὶ ἀέτιος· μόμμος. ἀσκλη

πάδης· προκόπιος· οἱ νοτάριοι τοῦ
εὐλαβεστάτου ἐπισκόπου φλαβιανοῦ·
ὁ μεγαλοπρεπέστατος πατρίκιος
εἶπε· τῶν παρόντων πάντων· τὰ ὑπο-
μνήματα κατὰ τάξιν ἀναγινωσκέσθω·
καὶ περὶ μὴ προσθεν ἐχθῶσιν· ἀέτιος
ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος
εἶπεν· οὐχ ἵσταμεν τῶν ποδῶν ὑμῶν
διαπεχλήθημεν· ὁ μεγαλοπρεπέστα-
τος πατρίκιος εἶπεν· οἱ εὐλαβέστατοι
διάκονοι καὶ νοτάριοι τοῦ εὐλαβεστάτου
τοῦ ἐπισκόπου φλαβιανοῦ· τὰ ὑπο-
μνήματα ἐν τοῖς τῶν πραγμάτων τε-
λεσθέντων προσθεν ἔγκωσιν ἀναγνω-
σθήσονται· ἀέτιος διάκονος καὶ νο-
τάριος εἶπεν· οὔτε τὴν αἰτίαν ἴσμεν·
ἐφ' ἣν παρῶμεν· οὔτε διὸ αἰτούμε-
θα ὑπομνημάτων πρᾶξιν· τούτου
μὲν ἔχειν ἂν ἀναλλόμεθα καὶ ἀξιοῦμεν
γνῶναι· ἐφ' ᾧ τε καὶ ἱστάμεθα καὶ ἀπο-
κρίνασθαι ὀφείλομεν· ὁ μεγαλοπρε-
πέστατος πατρίκιος εἶπεν· αὐτὴν αἰ-
τὴν τῇ δίκῃ εὐτυχοῦς τοῦ μονάζοντος
πραχθέντα παρηκολούθησαν ἐπι-
ζητοῦμεν δημοσιευθῆναι· ἀέτιος
διάκονος καὶ νοτάριος εἶπεν· αἰτία-
σις γάρ τις ποτὲ καθ' ἡμῶν τοιαύτη

ἀνέχωμεν· ὁ μεγαλοπρεπέστατος πα-
τρίκιος εἶπε· τὸ πρᾶγμα ἀναζητηθῆ-
ναι ἐκελεύσθη· διὰ τοῦτο τῶν ὑπομνη-
μάτων ἡ προκομιδὴ ἀναγκαία ἐστί·
διατί τοίνυν ὑπερθέσει καὶ πανουρ-
γίαι κέχρησαι· Ἀέτιος διάκονος καὶ
νοτάριος εἶπεν· ὅτι τὴν ἀρχὴν τῆς ἐξε-
τάσεως τῶι πράγματι παρέχων· καὶ
τὴν αἰτίαν δέδωκεν ἡμῖν καιρὸν τοῦ ἀπο-
λογεῖσθαι ἢ προσενέγκαι· ἢ μὴ προσε-
νέγκαι· ὁ μεγαλοπρεπέστατος πατρί-
κιος εἶπεν· ὑμεῖς τὰ ὑπομνήματα
ἐξελάβετε· παρ' ὑμῶν τοίνυν ταῦτα
προσενέγκαι δεῖ εἰσίν· Ἀέτιος διάκονος
καὶ νοτάριος εἶπε· τίς ἐστιν ὁ αἴτιος
μένος· Σέλευκος ὁ εὐλαβέστατος ἐπί-
σκοπος εἶπε· δεήσεις τοῦ ἀρχιμαν-
δρίτου Εὐτυχοῦς ἀνεγνώσθησαν ἡμῖν·
περιέχουσαι ὡς ἐντυχόντος τοῖς
ὑπομνήμασι καὶ ἐπισημηναμένου
μὴ κεῖσθαι ἐν αὐτοῖς τὰ πεπραγμέ-
να ἐν τῇ ἁγίᾳ συνόδῳ· δίκαιον οὖν ἡ-
μῖν τοῦτο καταφαίνεται προκομισ-
θῆναι ἐκεῖνα τὰ ὑπομνήματα· οἷσ-
περ ἔφησεν ἐντετυχηκέναι καὶ ἐξ
αὐτῶν τὴν ἐξέτασιν τοῦ πράγματος
γενέσθαι· ὁ μεγαλοπρεπέστατος

Πατρίκιος πρὸς Ἀέτιον εἶπε· τῶν ὑ-
πομνημάτων τῶν ἀναγνωσθέντων χά-
ριν ἐν οἷς αἱ ὑπογραφαὶ τῶν ἐπι-
σκόπων περιέχονται· διὸ ἀδελφὲ πλει-
στάκις διελάλησα· ταῦτα παρὰ τῶν
νοταρίων προχομαθοῦσιν· Ἀέτιος
διάκονος καὶ νοτάριος εἶπε· καταξιώ-
σει ἡ ἁγία καὶ μεγάλη σύνοδος καὶ ἡ ὑ-
μετέρα μεγαλοπρέπεια· καιρὸν ἡμῖν
δοῦναι· περὶ ὧν βουλόμεθα λέγειν·
οὐ γάρ ἐστιν ἡμῖν ἀκίνδυνον· ὁ μεγαλο-
πρεπέστατος πατρίκιος εἶπε· τὰ ὑ-
πομνήματα πρῶτον ἁρμόζει δη-
μοσιευθῆναι· μετὰ ταῦτα γὰρ εἴ τι δι-
δάξαι ἐπιζητεῖς· ἄδειά σοι παρασχε-
θήσεται· Ἀέτιος διάκονος καὶ νοτά-
ριος εἶπεν· οὐδὲν ἄτοπον οὐδὲ παρὰ
τὸ δίκαιον ἐπεζητοῦμεν· καὶ πρὸ πάν-
των ἐπίσταται ἡ ὑμετέρα μεγαλοπρέ-
πεια· καὶ καθὼς εἴπομεν· ἐπειδὴ οὐ
περὶ μικρῶν ἡμῖν ἐστιν ὁ κίνδυνος·
περιηχήθημεν δὲ ὡς αἰτίας γέγον-
καθ᾽ ἡμῶν παραίτημος· πρὸς τὸν εὐ-
σεβέστατον καὶ φιλόχριστον· καὶ παρὰ
τοῦ δεσπότου θεοῦ ἡμῶν φρουρούμε-
νον βασιλέα· ἀξιοῦμεν ταύτας καὶ
ἐμφανεῖς ἡμῖν γενέσθαι· καὶ τὰς

αἰτίας μαθεῖν· καὶ τὸ πρόσωπον μὴ φα-
ναι καὶ φανερὰν τὴν κατηγορίαν κα-
τὰ φανερῶν προσώπων ποιήσασθαι
καὶ οὕτως ἀπολογησόμεθα· καὶ ἐὰν αἰτ-
συρησόμεθα· θαρροῦμεν τῇ δικαι-
οσύνῃ τῇ ὑμετέρᾳ. ὁ μεγαλοπρε-
πέστατος πατρίκιος εἶπε· καθ᾽ ὑμῶν
τέως οὐδὲν ἐπετέθη· ἀλλ᾽ οἱ τὰ ὑπομνή-
ματα ζητοῦνται αἴτημα καθὼς πλει-
στάκις ἐρρέθη παρ᾽ ὑμῶν προκομισθῆ-
ναι. Ἀέτιος διάκονος καὶ νοτάριος
εἶπεν· ἡ τῶν ὑπομνημάτων πρᾶξις
ἀνῆκας εἰς μέσον· οὔτε γὰρ παρ᾽ ἀλ-
λων γεγένηται. ὁ μεγαλοπρεπέστα-
τος πατρίκιος εἶπε· μή τινι ὑπομοι-
αν πλήρεις ταῦται πρὸς σὲ ἐγκαλεῖ εὐλα-
βῆ; Ἀέτιος διάκονος καὶ νοτάριος
εἶπεν· οὐδὲν τοιοῦτον παρ᾽ ἐμοὶ εἴρη-
ται οὔτε γεγονεν. ὁ μεγαλοπρεπέ-
στατος πατρίκιος εἶπε· τὰ ὑπομνή-
ματα προσενεχθῶσι. καὶ πρὶν ἢ
προσενεχθῶσιν, ὁ εὐλαβέστατος ἐ-
πίσκοπος ταύτης τῆς ἐνδόξου πό-
λεως Φλαβιανὸς εἶπεν· οἴδατε
ὅτι ποτὲ συνηγμένης τῆς ἁγίας συ-
νόδου καὶ τὰς παρ᾽ ἑκατέρων φωνάς·
ὅτι καὶ ὀξειλήφατε ὑμεῖς· καὶ ἴστε

ἀκριβῶς τὰ γεγραμμένα παρ' ὑμῶν·
καὶ εἰ ἀληθῆ ταῦτα. εἰ πάντα μετὰ ἀκρι-
-βείας καὶ φόβου θεοῦ· εἰ δὲ παραπεποί-
-ηταί τι μὲν ὡς ἐπὶ τοῦ ὀνόματος τοῦ
χριστοῦ. μὴ ψεύσησθε καὶ τὸν παραποιή-
-σαντα μὴ παρασιωπήσητε· τού-
-των οὕτως μεταξὺ λαληθέντων πα-
-ρὰ τοῦ εὐλαβεστάτου ἐπισκόπου· ὁ
μεγαλοπρεπέστατος πατρίκιος
εἶπε· τὴν πρόθεσιν τοῦ εὐλαβεστά-
-του ἐπιγραψάμεθα ἐπισκόπου· ὅτι τῇ
ἰδίᾳ συνειδήσει θαρρῶν ἀπεφήνα-
-το τοὺς εὐλαβεστάτους νοταρίους τὰ
ὑπομνήματα προσενεγκεῖν· καὶ
~~τὴν ἐξ[illegible] δέξασθαι~~·
διὸ τὰ ὑπομνήματα ὡς πλειστά-
-κις εἴρηται πρὸς ἐχθρῶν·
Ἀέτιος διάκονος καὶ νοτάριος εἶπεν·
ἡ παραίνεσις τοῦ ὁσιωτάτου καὶ
ἁγιωτάτου ἡμῶν ἀρχιεπισκόπου·
τὴν γνώμην ἀποδέδωκε τῇ ὑμετέρᾳ·
ὥστε τὸ ἀληθὲς ἐπὶ τῇ πράξει τῶν
ὑπομνημάτων εἰπεῖν· εἰ τοίνυν ὡς λε-
-γόντων ἡμῶν πίστεως ἐσόμεθα ἀ-
-ξιοι· καὶ κατατιθέμεθα καὶ προκομί-
-σομεν· καὶ λέξομεν τὴν ἀλήθειαν·
ὁ μεγαλοπρεπέστατος πατρίκιος

εἶπε· τῶν ὑπομνημάτων ἡ ἀνάγνω-
σις γινέσθω· Αέτιος διάκονος καὶ νο-
τάριος εἶπεν· ἀξιῶ καὶ τὴν ἁγίαν σύνο-
δον· τὴν τότε παροῦσαν ἐπιτρέψαι καὶ νῦν
προκομίσαι τὴν τῶν ὑπομνημάτων
πρᾶξιν· ὁ εὐλαβέστατος ἐπίσκοπος
Σέλευκος εἶπεν· ἅπαξ τοῦ ὁσιωτά-
του ἀρχιεπισκόπου ἡμῶν κελεύσαν-
τος προκομισθῆναι τὴν πρᾶξιν τῶν
ὑπομνημάτων· οὐδεμίαν δεῖ ἀνα-
βολὴν περὶ τὴν προκομιδὴν γενέσθαι·
καὶ ὁπότε παρὰ πάντων τῶν εὐλα-
βεστάτων ἐπισκόπων ἐρρέθη πάν-
τα ταῦτα λεγόμενα· ὁ μεγαλοπρε-
πέστατος πατρίκιος εἶπεν· ἐν ὅσῳ
ἑκατέρου κεφάλαια ἀναγνώσκετε. τί ἐν
τούτοις καταλεκτέον· τὸ μέρος τοῦ
εὐλαβεστάτου μοναχοῦ δοκιμάζει· καὶ
ταῦτα ἤδη καὶ τὰ ἀντίγραφα· ἅπερ
παρ' ἑαυτοῖς ἔχει. τὸ μέρος τοῦ αὐτοῦ
εὐλαβεστάτου μοναχοῦ· προσενεχθέν-
τα τῇ ἀναγνώσει τῶν αὐθεντικῶν
ὑπομνημάτων συγκριθήτωσαν·
καὶ ὁπότε τὸ ἑκάτερον μέρος τὰ ὑπο-
μνήματα προήνεγκεν· Αέτιος διά-
κονος καὶ νοτάριος εἶπεν· εἰ κελεύει
ἡ μεγαλοπρέπεια ὑμῶν ἔχομεν τί

-νοις τῇ τοιαύτῃ πίστει, ἀλλοτρίους
ἡγούμεθα τῆς εὐσεβοῦς πίστεως
τῆς ἁγιωτάτης ἐκκλησίας. ἐν Χαλ-
-κηδόνι· καὶ ἐν τῷ ἀναγινώσκεσθαι
Διόσκορος ὁ εὐλαβέστατος ἐπίσκοπος
Ἀλεξανδρείας εἶπε· τὸ ἐκ δύο δέχομαι·
τὸ ἐν δύο οὐ δέχομαι· ἀναγκάζομαι
καὶ ἀναισχυντεῖν· περὶ ψυχῆς μοί ἐστιν
ὁ λόγος· Εὐσέβιος ὁ εὐλαβέστατος ἐ-
-πίσκοπος Δορυλαίου εἶπεν· αὐτός
μὲν ἤδη ἐφώνησας· Διόσκορος ὁ εὐ-
-λαβέστατος ἐπίσκοπος Ἀλεξανδρεί-
-ας εἶπε· ἀπολογοῦμαι τῷ θεῷ καὶ ὧ-
-δε καὶ ἐκεῖ· Εὐσέβιος ὁ εὐλαβέστατος
ἐπίσκοπος Δορυλαίου εἶπε· καὶ τοῖς
νόμοις ὡς λέγεις σοῦ· διατί προσῆλθον
πάντας. ἵνα δίκας σε ἀπαιτήσω·
μὴ γὰρ προσαγορεύσων εἰσῆλθες ὧδε;·
Πασχασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος
εἶπεν· ἐπετρέπετο Φλαβιανῷ τῷ
ἐπισκόπῳ τούτου ἀκούοντος τοιαῦ-
-τα λαλεῖν. οἷα καὶ οὗτος φθέγγεται·
οἱ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυ-
-ὴς σύγκλητος εἶπον· ἀλλὰ ἐπὶ τοῦ
παρόντος ἡ σύνοδος μετὰ δικαιοσύ-
-νης ἐπιτέλλεται· Λουκίνσιος ὁ εὐλα-
-βέστατος ἐπίσκοπος· ἐπέχων τὸν

ἀποστολικὸν θρόνον· εἶπε· δίκαια
ἐστὶν ἡ σύνοδος· ὀρθὴ τοσ τοῦ τοῦ κά
χείμονος· δικαία ἀπόφασις·
Βερονικιανὸς ὁ καθωσιωμένος
σηκρητάριος τοῦ θείου κονσιστωρίου
ἀπὸ τοῦ αὐτοῦ χαρτίου ἀνέγνω·
Ὁ θεοφιλέστατος ἐπίσκοπος Μελίφθο
γγος τῆς Ἰουλιοπολιτῶν. εἶπεν·
ἐπὶ Φλαβιανοῦ· κατὰ τὸν θεῖον ἀ
πόστολον· κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγ
γελίζηται ὑμῖν, ἕτερον τι παρὰ τὰ
ἀρτίως ἀναγνωσθέντα· τῶν τε ἁγίων
τῆς κατὰ Νίκαιαν συνόδου καὶ Ἐφέσου
πατέρων. ἀνάθεμα ἔστω· καὶ οἱ μὴ ὁ
μολογοῦντες τὰς πρὸς ἑνότητα
τὴν ἀλήθειαν συνενεχθείσας δύο
φύσεις εἰς ἓν καὶ τὸν αὐτὸν υἱὸν τοῦ
θεοῦ. θεὸν ἀληθινὸν ἐκ θεοῦ ἀληθινοῦ Χριστὸν Ἰησοῦν·
ἀνάθεμα ἔστωσαν· οἱ δὲ καινουργοῦν
τες τι παρὰ τὰς τῶν ἁγίων ἀποστόλ(ων)
καὶ πατέρων ἐκθέσεις· καὶ ταράσσοντες
τὴν τοῦ θεοῦ ἐκκλησίαν, υποφέρουσι τὸ
κρῖμα· οἵτινες ἂν ὦσιν· Ὁ θεοφιλέ
στατος ἐπίσκοπος Ἰουλιανὸς. εἶπεν·
οὐδεὶς τῶν εὖ φρονούντων ἐναντίον τι
ὡς θεὸν δύναται τῇ ἐκτεθείσῃ πίστει
παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ·

καὶ πάλιν παρὰ τῆς ἁγίας καὶ με-
γάλης συνόδου· τῆς συγκροτηθεί-
σης ἐν τῇ Ἐφεσίων μητροπόλει· εἰς
ὁμολογοῦμεν τοίνυν τὰς δύο φύσεις·
ἐν ἑνὶ προσώπῳ· δι' ὃ ἕνα υἱόν· ἕνα
κύριον Ἰησοῦν Χριστόν· καὶ εἴ τις σατανικῇ μανίᾳ
φερόμενος· καὶ τῷ ἰδίῳ λογισμῷ
ὥσπερ νομίζει ἐξακολουθῶν· ἄλλο τι
φρονεῖ παρ' ὅ· παρὰ τῶν προηγη-
σαμένων ἁγίων πρώην παρειλήφα-
μεν· ἔξω τῆς ἐκκλησίας ἀλλότριος·
καὶ ἐν τῷ ἀναγινώσκεσθαι ἐν Χαλκη-
δόνι· Διόσκορος ὁ εὐλαβέστατος
ἐπίσκοπος Ἀλεξανδρείας εἶπεν·
ἰδοὺ τούτου ἐπιλαμβάνομαι· μετὰ
γὰρ τὴν ἕνωσιν· δύο φύσεις οὐχ ἁρμόσ·
Βερονικιανὸς ὁ καθωσιωμένος
σηκρητάριος ἀπὸ τοῦ αὐτοῦ χαρτιδα-
ρίου ἀνέγνω· ἐπὶ Φλαβιανοῦ·
ὁ θεοφιλέστατος ἐπίσκοπος σαύ(ας)
πόλεως Πάλτου· εἶπεν· ἐμάθο-
μεν ἀκολουθεῖν τοῖς πατράσι· καὶ γὰρ
οἱ πατέρες ἡμῶν οἱ κατὰ Νίκαιαν· οὐκ
ἀφ' ἑαυτῶν ἐλάλησαν· ἀλλὰ τὸ πνεῦμα
τὸ ἅγιον ὑπηγόρευσεν· ὁμοίως καὶ
ὁ θεοφιλέστατος καὶ ὁσιώτατος
μακάριος Κύριλλος ἐκ πνεύματος ἁγίου

ἐλάλησε ταῦτα τῶν προσώπων καὶ ἐφθέγξατο· ἠκολούθησε δὲ αὐτῷ καὶ ὁ ἀρχηγὸς τῆς ἀνατολῆς ὁ θεοφιλέστατος ἰωάννης ὁ ἐπίσκοπος τῆς ἀντιοχεί(ας)· τούτῳ δὲ ἠκολούθησε· καὶ πρῶτος διαλαλήσας ὁ θεοφιλέστατος ἐπίσκοπος βασίλειος· τοῦτο καὶ φρονῶ καὶ ὁμολογῶ· καὶ εἴ τις ἐν πάσῃ τῇ οἰκουμένῃ, ταύτην τὴν πίστιν μὴ φρονεῖ· οὐ μόνον ἐμοὶ ἀλλότριος, ἀλλὰ καὶ πᾶσι τοῖς ὀρθῶς πιστεύουσι· παρακαλῶ δὲ τὴν ὑμετέραν ὁσιότητα. τοῦτον τὸν τόμον πεμφθῆναι καὶ εἰς τὴν ἀνατολήν· καὶ ἀπαλλάξαι ἡμᾶς βλασφημίας· καὶ εἴ τις οὐχ ὑπογράφει εἰς τὸν τόμον, γένηται ἀλλότριος ἡμῶν· ὁ θεοφιλέστατος ἐπίσκοπος θωμᾶς οὐαλεντινιανουπόλεως, εἶπε· ψυχωφελῶν ὄντων τῶν τῆς εὐσεβείας δογμάτων τῶν ἐκτεθέντων παρὰ τῆς ἁγίας συνόδου τῆς κατὰ νικαίαν συναθροισθείσης· καὶ κατὰ τὴν ἔφεσον μητρόπολιν· οὕτως καὶ πεπιστεύκαμεν· καὶ τὸν ὑφ' ἡμᾶς διδάσκομεν λαόν· καὶ τοὺς μὴ οὕτως φρονοῦντας, ἀλλοτρίους εἶναι ψηφιζόμεθα τῆς ὀρθοδόξου ἐκκλη(σίας)

-σίας· ὁ θεοφιλέστατος ἐπίσκοπος
Τρύφων πόλεως Χίου· τὴν κατὰ
τὴν ἔκθεσιν τῶν ἁγίων πατέρων τῶν ἐν
Νικαίᾳ· καὶ τοῦ μακαρίου τοῦ ἐν ἁγίοις
ἀρχιεπισκόπου Κυρίλλου· οὕτως καὶ
ἐπιστεύσαμεν· καὶ τοῖς μὴ πιστεύον-
-τας τοῖς δόγμασι τῶν πατέρων· ἀναθε-
-ματίζομεν· καὶ ἀλλοτρίους τῆς ἁγίας
-ταύτης ἐκκλησίας αὐτοὺς κρίνομεν·
ὁ θεοφιλέστατος ἐπίσκοπος Τιμό-
-θεος πόλεως Πριμουπόλεως, εἶπε·
τοῖς εὐσεβέσι καὶ ὀρθοδόξως θεσπισ-
-θεῖσι παρὰ τῶν ἁγίων πατέρων· τῶν
ἐν Νικαίᾳ· τούτοις καὶ ὁ τῆς μα-
-καρίας μνήμης πατὴρ ἡμῶν γενόμε-
-νος Κύριλλος ὁ ἐπίσκοπος τῆς Ἀλε-
-ξανδρέων ἐξακολουθήσας· δόγματα
θεοφιλῆ παρέδωκεν ἡμῖν· τούτοις
καὶ συντιθέμεθα καὶ συναινοῦμεν·
ὅθεν ὁ μὴ τούτοις ἐξακολουθῶν, ἔστω
ἀλλότριος τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησί-
-ας· ὁ θεοφιλέστατος ἐπίσκοπος
Εὐδόξιος Βοσπόρου· εἶπεν· ὁ τρισ-
-μακάριος πατὴρ ἡμῶν Κύριλλος· ἐξακο-
-λουθῶν τῇ ἐν Νικαίᾳ ἁγίᾳ καὶ μεγάλῃ
συνόδῳ· εὔδηλον ἡμῖν ἐποίησε πε-
-ρὶ τῆς τοῦ Χριστοῦ καὶ σωτῆρος ἡμῶν παρουσίας·

ὅτιπερ ὁ πρὸ τῶν αἰώνων θεὸς ὁ υἱὸς
τοῦ πατρὸς ἐνηνθρώπησεν ἐπ' ἐσχάτ-
ἵνα ἀχρίσῃ τὸ καθ' ἡμῶν χειρόγραφον·
καὶ ἄνθρωπον τέλειον ἀνέλαβε· διὰ τὴν
ἡμετέραν σωτηρίαν· πᾶς οὖν ὁ μὴ συμφω-
νῶν τοῖς ἐκτεθεῖσι παρὰ τῶν ἁγίων
πατέρων, ἑαυτὸν ἀλλότριοι πάσης ἱε-
ρατικῆς κοινωνίας, καὶ τῆς τοῦ χριστοῦ
παρουσίας· καὶ ἐν πᾶσαν ἁγίως σχε-
θεῖσαν ἐν Χαλκηδόνι· Εὐστάθιος ὁ εὐ-
λαβέστατος ἐπίσκοπος Βηρυτοῦ,
εἶπεν· ἄνθρωπον οὐκ ἀνέλαβεν, ἀλλ' ἄν-
θρωπος ἐγένετο· σάρκα δὲ ἀνέλαβεν·
Βερονικιανὸς ὁ καθωσιωμένος
σηκρητάριος τοῦ θείου κονσιστωρί-
ου, ἀπὸ τοῦ αὐτοῦ σχεδαρίου ἀνέγνω·
ὁ θεοφιλέστατος ἐπίσκοπος Εὐστό-
χιος πόλεως Δοκιμίου εἶπε·
τὴν γενομένην παρὰ τῆς ἁγίας
συνόδου τῆς ἐν Νικαίᾳ τῶν ἁγίων
πατέρων ἔκθεσιν· καὶ τὰς ὑπαναγνω-
σθείσας ἡμῖν ἐπιστολὰς τοῦ ὁσιωτά-
του καὶ θεοφιλεστάτου ἐπισκόπου
Κυρίλλου· καὶ τοὺς ἐκτεθέντας κα-
νόνας καὶ πίστιν παρὰ τῆς ἁγίας
καὶ μεγάλης συνόδου τῆς ἐν Ἐφέσῳ,
συμφωνοῦντα πάντα ἀλλήλοις

ἤρομεν· τοιγαροῦν οὕτως καὶ πι-
στεύω καὶ ὁμολογῶ· καὶ τὸν παρὰ
ταῦτα φρονοῦντα, ἀλλότριον κρί-
νω τῆς ἁγίας καὶ καθολικῆς ἐκκλησί-
ας, καὶ τῆς τῶν ὀρθοδόξων πίστεως·
ὁ θεοφιλέστατος ἐπίσκοπος ἰουλι-
ανὸς πόλεως σαρδικῆς εἶπε· δηλ-
ὄντων καὶ ψυχωφελῶν τῶν ἀναγ-
νωσθέντων ἡμῖν κανονικῶν γραμ-
μάτων τῶν ἐκτεθέντων παρὰ τοῦ
μακαριωτάτου καὶ ἐν ἁγίοις κυρίλλου·
καὶ τῆς ἐν νικαίᾳ καὶ ἐν ἐφέσῳ ἁγιω-
τάτων συνόδων· οὕτως κἀγὼ καὶ φρο-
νῶ καὶ πιστεύω· καὶ εἴ τις παρὰ ταῦτα
φρονεῖ, ἀλλότριος ἔστω τῆς ἁγιωτά-
της ἐκκλησίας· καὶ τῆς ὀρθῆς πίστεως·
ὁ θεοφιλέστατος ἐπίσκοπος σιμο-
πόλεως ἱεροκαισαρείας εἶπεν· ἐ-
πακούσας τῶν ἀναγνωσθεισῶν ἡ-
ἐπιστολῶν τῶν ὁσίων πρώην ἡμῶν·
καὶ τῶν πραχθέντων ἐν τῇ ἐφε-
σίων μητροπόλει· κατὰ τοὺς ἁγίους
κανόνας τοὺς ἐκτεθέντας ἐν τῇ νι-
καέων πόλει, οὕτως φρονοῦμεν καὶ
πιστεύομεν. καὶ διδάσκομεν τὸν ὑφ'
ἡμᾶς λαόν· καὶ εἴ τις ἕτερόν τι φρονεῖ.
ἀλλότριος ἔστω τῆς ἁγίας καὶ καθο-

-λικῆς ἐκκλησίας τοῦ θεοῦ :·
ὁ θεοφιλέστατος ἐπίσκοπος Ἰωάν-
νης πόλεως Οὐρκανῶν εἶπε· τοῖς
ἀρτίως ἀναγνωσθεῖσι· καὶ πάλαι
παρὰ τῶν ἐν Νικαίᾳ ἁγίων πατέρων
ἐκτεθεῖσι· καὶ ὑπὸ τῶν ὁσίων ἐπι-
σκόπων κηρυχθεῖσιν ὀρθοδόξοις·
συντίθεμαι καὶ στοιχῶ· τὸν δὲ ἕτε-
ρως φρονοῦντα· ὡς παραφρονοῦν-
τα καὶ ἀποστρέφομαι καὶ ἀλλότρι-
ον κρίνω τῆς ὀρθοδόξου πίστεως·
χάριτι Χριστοῦ μετὰ πάντων τῶν ἁγίων
πατέρων ἐρηρεισμένος :· ὁ θεοφι-
λέστατος ἐπίσκοπος Εὐσέβιος εἶ-
πεν· ἐπειδὴ τινὲς τῶν θεοφιλε-
στάτων ἐπισκόπων τῶν ἐνδημούν-
των ταύτῃ τῇ βασιλευούσῃ πόλει·
ἢ διὰ ἀσθένειαν· ἢ ἀγνοήσαντες τὴν
+ συνόδου κλῆσιν τῆς ἁγίας συνόδου ἦλθον· ἀξιῶ
τοὺς ἀπολειφθέντας· διὰ τοῦ εὐλα-
βεστάτου πρεσβυτέρου καὶ νοταρίου
Ἀστερίου· καὶ διὰ τῶν εὐλαβεστάτων
διακόνων καὶ νοταρίων ὑπομνη-
σθῆναι· ὥστε καὶ αὐτοὺς γνόντας
τὰ πραχθέντα τὴν ἑαυτῶν γνώ-
μην φανερὰν ποιῆσαι :·
ὁ ἁγιώτατος ἀρχιεπίσκοπος εἶπεν·

καὶ συνενδεσμευμένοις πρὸς ἐμέ·
διὰ τὴν κατὰ σάρκα συγγένειαν:-
τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς βίβλου:· σζ
Καὶ ποίαν γέγονε προσθήκη τιμῆς·
τῷ ἐν μορφῇ μὲν ὑπάρχοντι θεοῦ·
ἐνδυσαμένῳ δὲ τὴν τοῦ δούλου
μορφήν· πῶς δὲ μᾶλλον οὐχ εὐκό-
λως· οὐκ ἠλαττῶσθαι δόξειαν, ὅτι
μεῖζον ἀφεὶς· καὶ τὸ ἔλαττον ἀνα-
λαμβάνων:- τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς βίβλου:· ση
Εἰ ἐν ἀρχῇ ἦν ὁ λόγος· καὶ θεὸς ἦν ὁ λόγος·
καὶ ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν· ὕστερον
δὲ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐταπεί-
νωσεν ἑαυτόν· διατί τε τοῦ ὑψοῦσθαι
λέγεται· πῶς οὐχ ἕτερον παντὶ τῷ
σαφῶς· ὅτι περ οὐ περὶ τὴν τοῦ λό-
γου φύσιν τοῦτο γίνεσθαι συμβαί-
νει· ἀλλ' εἰς τὸ τῆς ἀνθρωπότητος
μυστήριον· ᾧ γὰρ ἁρμόσει τὸ ταπει-
νόν, τούτῳ καὶ τὸ ὑψοῦσθαι πρέ-
πει ἀκολουθεῖν· ταπεινὸν δὲ χρῆμα
ἡ ἀνθρωπότης· περὶ αὐτὴν ἄρα
καὶ τὸ ὑψοῦσθαι νοηθήσεται:- σθ
καὶ μεθ' ἕτερα πάλιν:
Εἰ τοίνυν περὶ τὴν πρόσληψιν τῆς
σαρκὸς ἡ ταπείνωσις γεγενῆσθαι
λέγεται διὰ αὐτήν· ὕψαι καὶ περὶ αὐτὴν

ΣΙ, ἡ ὕψωσις· καὶ μεθ' ἕτερα πάλιν·
Εἰ πάντα δι' υἱοῦ ὁ πατὴρ ἐργάζεται·
χωρίς τε αὐτοῦ γέγονεν οὐδὲ ἕν·
ἀναγκαῖον εἰπεῖν· ὅτι περ αὐτὸς
ἦν ἑαυτῷ· καὶ τὸ ὑψοῦσθαι διδοὺς·
καὶ τὴν παρὰ πατρὸς χάριν διακομι-
ζόμενος· ἐδέχετο μὲν γὰρ θεοποιου-
μένου τοῦ ἀναληφθέντος ναοῦ·
καὶ ἦν φύσει θεὸς λόγος· ὢν τοῦ πατρός·
ὑψοῦται δὲ πάλιν καθὸ καὶ ἄνθρωπος:~
ΣΙΑ, τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς βίβλου:
Εἰ καὶ τοίνυν περὶ τὴν ἀνθρωπότη-
τα· ἡ χάρις καὶ ἡ ὕψωσις· ἑαυτὸν
οἰκειουμένου τοῦ θεοῦ λόγου· τὰ
περὶ τὸν οἰκεῖον αὐτοῦ ναὸν συμ-
βαίνονται· οὐ γὰρ ἑτέρου τινὸς·
ἀλλ' αὐτοῦ τὸ σῶμα· διὸ καὶ ὡς αὐτοῦ
λελάληται· εἷς γὰρ ὁ Χριστὸς ἐκ τε ἀνθρω-
πότητος καὶ θεοῦ λόγου· οἷον εἰ κεκε-
ρασμένος· οὐκ ἐκ τοῦ τετράφθαι·
πρὸς ὅπερ οὐκ ἦν· ἀλλ' ἐκ τοῦ προσ-
λαβεῖν τὸν ἐκ παρθένου ναόν:—
ΣΙΒ, τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς βίβλου::
Εἰ αὐτὸς ὢν τοῦ πνεύματος χορηγὸς κατὰ
τὸ παρ' αὐτοῦ λεγόμενον· λάβετε
πνεῦμα ἅγιον· τὸ πνεῦμα λαμβάνειν λέ-
γεται περὶ τὴν ἀνθρωπότητα καὶ

ἡ δόσις· καὶ τὸ λαμβάνειν ὁ μονογενής:— σιγ
Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς βίβλου:·
Φησί που Χριστὸς πρὸς τὸν πατέρα διαλε-
γόμενος· ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω
ἐμαυτόν· ὁ δὲ αὐτὸν ἁγιάσαι δυνά-
μενος καὶ μὴ παρ' ἑτέρου τοῦτο
ζητῶν· Χριστὸς τοῦ ἁγιάζειν ἑτέρων· εἰ τοί-
νυν ὁ θεὸς ἑαυτὸν ἁγιάζει· πῶς ἐν χρεί-
ᾳ τοῦ ἁγιάζοντος ἑτέρων· εἰ δὲ οὐκ ἔστιν
ἐν χρείᾳ περὶ τὸ χρῄζειν· ὁ ἁγιασμὸν
ἀποτελεῖται· ἁγιάζεται δὲ ἡ ἀνθρώπου
φύσις· καὶ τοῦτο ἄρα δι' ἡμᾶς
πληρούμενον ἵνα ἡμεῖς ἁγιασθῶ-
μεν ἐν αὐτῷ:— σιδ
Τοῦ αὐτοῦ Κυρίλλου· ἐκ τῆς αὐτῆς
πραγματείας· τῆς περὶ τριάδος·
τῆς καὶ θησαυροῦ καλουμένης
βιβλίου δευτέρου:— [illegible]
Ὥσπερ γὰρ πρὸ τῶν ἀα[illegible]
γεμμηθημένων ἀρχιερεὺς [illegible] πολλοῖς
δὲ ὕστερον χρόνοις τοῦτο γέγονε·
τὸν ποδήρη περιβαλλόμενος·
καὶ τὴν ἐπωμίδα καὶ τὰ ἄλλα τῆς
ἱερατικῆς ἐσθῆτος σχήματα· οὕ-
περ ἦν ἐργασία γυναικῶν· τὸν αὐτὸν
δὴ τρόπον καὶ ἐπὶ Χριστοῦ· ἦν μὲν γὰρ
ὁ λόγος ἐν ἀρχῇ· πολλῷ δὲ ὕστερον

χρ(ιστὸ)ν ὡς γεγονότα μὲν ὑπὸ θ(εο)ῦ ἤ... ἀρχιε-
ϛο ρέα· ὥσπερ παρ' αὐτῶν ποθ' εἴρητον
ἐκ μαρίας ἀνθρωπον ἢ τὸν ναὸν ἀναλαβὼν
σιε τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς μήτρας:
Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος
ἰσρ(α)ήλ· ὅτι καὶ κ(ύριο)ν αὐτὸν καὶ χριστὸν ἐ-
ποίησεν ὁ θ(εὸ)ς, τοῦτον τὸν ἰ(ησοῦ)ν ὃν ὑ-
μεῖς ἐσταυρώσατε· χρὴ πάλιν δὲ
θαδε τὸ ἐποίησεν μὴ εἰς τὴν οὐσίαν
ἀναφέρειν τοῦ λόγου· μηδὲ τῆς ὑπάρ-
ξεως τοῦ υἱοῦ διὰ τὴν λέξιν καταθαρ-
σεῖσθαι· ἀλλὰ τὸ ἐποίησεν· εἰ μὲν
φυσικῶς ἐθέλοις ἐκληφθῆναι καλῶς ἐπὶ
τοῦ ἐκ μαρίας ποιηθέντος σώματος·
εἰ δὲ πραγματικῶς πάλιν· οὐδὲν
πρὸς τὸν λόγον· οἷον φέρε εἰπεῖν·
πένης τις τυγχάνων· χρημάτων
γέγο[...] ἢ προφήτης οὐκ ὢν· ὅς
ἀ[...] προφήτην προεχειρίσ-
θη [...]θ[...] ἀλλ' ἐν τοῖς τοιούτοις τὸ ἐ-
γένετο· οὐ τὴν ἀρχὴν τοῦ εἶναι σημαί-
νει· ἀλλ' εἰς ποῖον τι πρᾶγμα καὶ
ἀ[...]ποτίμος ἑτέρου μετέφη πρὸς ἡμᾶς
μόν· πῶς οὖν χ(ριστὸ)ν τὸν ἰ(ησοῦ)ν ἐποίησεν
% ὁ θ(εὸ)ς αὐτὸς · χ(ριστὸ)ν· ἀναγκαῖον ἐκπεῖν
εὐσεβῶς· ἐπειδὴ γὰρ θ(εὸ)ς ὁμόλογος·
χαὶ γὰρ ... τὸν ... ἀρχὸν δὲ ... τῆς·

ἐνανθρωπήσας· γέγονε τῇ τοῦ δού-
λου μορφῇ· χρίεται μὲν· ἢ κεχρῖσ-
θαι λέγεται· διὰ τὸ τῶν ἀνθρώπων πρέπον·
ἀναμαίνει δὲ εἰς τὴν τῆς κυριότη-
τος ἐξουσίαν· πάλιν ὡς ἄνθρωπος καὶ
τοι Χριστὸς ὢν ὡς θεός· ἐπεδήμησε γὰρ
ὁ τοῦ θεοῦ λόγος· οὐχ ἵνα τὴν ἐλευθέ-
ραν τοῦ θεοῦ φύσιν, τῇ τοῦ δούλου
καταισχύνῃ μορφῇ· οὐδ' ἵνα τοῖς οἰ-
κείοις ἀφεὶς τοῖς τῆς ἀνθρωπότη-
τος ἰδιώμασι κρατηθῇ· ἀλλ' ἵνα τὸν
δοῦλον εἰς τὴν τῆς κυριότητος ἀνα-
γάγῃ τιμήν· καὶ εἰς τὴν οἰκείαν εὐγέ-
νειαν μετασκευάσῃ τὸν ἠτιμωμέ-
νον· ἐπεὶ πῶς ἀδελφοὶ καλοῦμε-
θα Χριστοῦ· πῶς δὲ υἱοὶ θεοῦ χρηματίζομεν:

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς βίβλου: σιϛ

Καὶ αὐτὸς ὢν ποιητὴς αἰώνων καὶ
χρόνων καὶ καιρῶν· ὢν [illegible] ὡς
πῶς, ὡς μίαν ἡμέραν καὶ ὥραν ἀ-
γνοήσας παρ' ὑμῶν κρίνηται· πῶς
δὲ ἅπερ αὐτὸς ἐποίησε μὴ εἰδέναι
δύναται· ὅσα τοίνυν ὡς ἐξετάσαι
εἰρημένα παρ' αὐτοῦ πρὸς τοὺς
μαθητάς· καὶ σαφῶς ἐν πνεύματι θεὸν
ἰδεῖν· ὅτι περ οἶδε· τὴν ἡμέραν καὶ
τὴν ὥραν ὡς θεός· κἂν ἀποδεικνύωσ

ἐν αὐτῷ τὸ ἀνθρώπινον· οὐ μὴν εἰ-
δέναι λέγοι· εἰ γὰρ τὰ ἐσόμενα πάν-
τα πρὸ τῆς ἡμέρας καὶ τῆς ὥρας
ἐκείνης διηγεῖται σαφῶς· καί φη-
σιν· ἔσται μέν. τόδε· συμβήσεται
δέ. ἐκεῖνο· εἶτα τὸ τέλος. δηλονότι
ὅτι τὰ πρὸ αὐτῆς εἰδώς· καὶ αὐτὴν
ἐπίσταται· μετὰ γὰρ τὰ εἰρημένα
παρ' αὐτοῦ. τίθησιν· ὅτι τὸ τέλος
ἐστί· τέλος δὲ τί ἂν ἕτερον εἴη. ἢ πάν-
τως. ἡ ἐσχάτη ἡμέρα. ἣν ἀγνοεῖν
ἔφησεν οἰκονομικῶς· ἀποσώζων
πάλιν τῇ ἀνθρωπότητι τὴν αὐτῇ
πρέπουσαν τάξιν· ἀνθρωπότη-
τος γὰρ ἴδιον. τὸ μὴ εἰδέναι τὰ μέλ-
CιΖ, λοντα:· τοῦ αὐτοῦ ἐκ τῆς αὐτ(ῆς) ὁμιλ(ίας):
Τὰ τῆς σαρκὸς ταπεινὰ ῥήματ(α)
τῇ θ[illegible]ητι τοῦ λόγου προσάπτειν
ἐγχει[illegible]σι τινες. ὅταν ἴδωσι θαυ-
ματουργοῦντα Χριστὸν διὰ τῆς σαρκὸς
τί ἐροῦσιν· ἆρα πτύσας μὲν γὰρ καὶ
ποιήσας πηλὸν ἐθεράπευσε τὸν τυ-
φλόν; ἐκτείνας δὲ τὴν χεῖρα καὶ ἅ-
ψάμενος τῆς σοροῦ· τὸν μονογενῆ
τῆς χήρας ἀνέστησεν υἱόν; φωνὴν
δὲ ἀφεὶς διὰ τοῦ στόματος· ἔξω τοῦ
μνήματος ἐκάλει τὸν Λάζαρον; τῷ

-ται μὲν ἐτελεῖτο διὰ τῆς σαρκός·
ἀλλ' οὐκ ἦν ἔργα σαρκός· ὥσπερ οὖν
εἰς τὴν φύσιν τοῦ πράγματος
βλέποντες, τῇ δυνάμει τῆς θεό-
-τητος, τὴν τῶν ἀποτελεσμάτων
ἔκβασιν λογιζόμεθα· οὕτως ὅταν
διὰ τὴν σάρκα λέγηταί τι καὶ ἀνθρώπι-
-νον, μὴ τοῦ θεοῦ λόγου τοῦτο προσά-
-πτωμεν· ἀλλὰ τῆς θεότητος ἀλλό-
-τριον ὁρῶντες αὐτὸ φέρωμεν ἐπὶ
τὴν σάρκα· οὕτω γὰρ ἕκαστον τῶν
γινομένων ἤτοι λεγομένων παρ'
αὐτοῦ ὥσπερ ἐν τῷ ἰδίῳ τιθέντες
τόπῳ, ἀπλανῆ τὴν περὶ τοῦ σωτῆρος
γνῶσιν ἔχοντες εὑρισκόμεθα:—

καὶ μεθ' ἕτερα πάλιν: · Cιη

Ἔστιν οὖν ἰδεῖν κατ' αὐτὸν ἀμφότερα
ὄντα αὐτόν· ἐπυνθάνετο μὲν ποῦ
κεῖται Λάζαρος ἀνθρωποπρεπῶς.
ἤγειρε δὲ αὐτὸν ὡς θεός· καὶ τῇ μὲν μητρὶ
λεγούσῃ οἶνον οὐκ ἔχουσιν ἐ [illegible] γεν
ὡς ἄνθρωπος· τὸ δὲ ὕδωρ εὐθὺς εἰς οἶνον
μετεποίει· θεὸς γὰρ ἦν ἀληθινὸς ἐν
σαρκί· καὶ σὰρξ ἀληθὴς ἐν θεῷ:—

καὶ μεθ' ἕτερα πάλιν:· Cιθ

Ταῦτα ποιεῖ καὶ λέγει οἰκονομῶν τῷ
μυστηρίῳ τὴν ἀλήθειαν· ἀποδιδό-

-σθω τοῖς μὲν θεῷ· τὰ τοῦ θεοῦ χρεω-
-στούμενα· καὶ τῇ ἀνθρωπότητι
τὰ αὐτῇ πρέποντα καὶ ὀφειλόμε-
-να· καὶ οὕτως ὁ ζῶν πάντως σκαν-
-δάλου καὶ πλάνης ὁ εἰς αὐτὸν πιστεύ-
σκ ων ὀνήσεται:– Καὶ μεθ' ἕτερα πάλιν:
Οὐκοῦν τὰ θεοπρεπῶς εἰρημένα
τε καὶ πεπραγμένα· δεικνύει τὸν
σαρκωθέντα θεόν· καὶ πάλιν τὰ ἀνθρωπίνως
εἰρημένα τε καὶ γεγονότα· δεικνύουσι
κατὰ ἀλήθειαν ἄνθρωπον· αὕτη γὰρ ἔφην
ἡ τοῦ μυστηρίου δύναμις:–
Καὶ μεθ' ἕτερα πάλιν:· σκα
Οὐκοῦν ὀρθοδόξως ἀμειψόμεθα τὰ
εἰρημένα· τῇ μὲν θεότητι νέμον-
-τες· τὰ θεοπρεπῆ· ἀνατιθέντες
δὲ τῇ σαρκί· τὰ δι' αὐτήν· καὶ ὡς δι'
αὐτὴν εἰρημένα διὰ τῶν ἐν ἡμῖν
φυσικῶν κινημάτων:–
Καὶ μεθ' ἕτερα πάλιν:· σκβ
Ὅταν οὖν φαίνηται τὸν θάνατον δε-
λιῶν καὶ λέγων· εἰ δυνατὸν παρελ-
-θέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο·
εὖ νόει πάλιν ὅτι δειλιῶσα τὸν θά-
-νατον ἡ σάρξ· ἐδιδάσκετο φορουμέ-
-νη παρὰ τοῦ λόγου τοῦτο μηκέτι
πάσχειν· ἔλεγε γὰρ πρὸς τὸν πα-

οὐχ ὡς ἐγὼ θέλω· ἀλλ' ὡς σύ· οὐκ ἐφο-
βεῖτο μὲν γὰρ καὶ ὁ λόγος θεὸς ὢν καὶ
θεὸς τὸν θάνατον αὐτός· ἀλλ' εἰς τέλ
διεζάγειν τὴν οἰκονομίαν ἠπείγε-
το· τοῦτο γὰρ ἦν τὸ θέλημα τοῦ π̅ρ̅ς̅
δὲ καὶ τὸ μὴ θέλειν ἀποθανεῖν
διὰ τὸ παραιτεῖσθαι τὴν σάρκα
τὸν θάνατον φυσικῶς· διδάσκων
τοίνυν τὴν ἀνθρωπότητα μηκέ-
τι τὰ αὐτῇ προσοῦντα φρονεῖν·
ἀλλὰ τὸ τοῦ θ̅ῦ̅ θέλημα ζητεῖν· ὡς
ἄν̅ο̅ς̅ λέγει· οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς
σύ· διὰ τοῦτο γὰρ φαίνεται καὶ προ-
σθείς· τὸ πν̅α̅ πρόθυμον· ἡ δὲ σὰρξ
ἀσθενής:- καὶ μεθ' ἕτερα πάλιν:· CXΓ
Ὡς οἰκεῖον θάνατον τὸν θάνατον κα-
τήργησεν ὁ σ̅ῆ̅ρ̅· ὡς ἄν̅ο̅ς̅ οὐκ ἂν
ὁ θάνατος κατηργήθη μὴ αὐτοῦ θανόν-
τος αὐτοῦ· οὕτως ἐφ' ἑκάστου τῶν
τῆς σαρκὸς παθῶν· εἰ μὴ γὰρ ἐδει-
λίασεν οὐκ ἂν ἐλευθέρα τοῦ δειλιᾶν
ἡ φύσις ἐγένετο· εἰ μὴ ἐλυπήθη· οὐ-
κ ἂν ἀπηλλάγη τοῦ λυπεῖσθαι ποτέ·
εἰ μὴ ἐταράχθη καὶ ἐπτοήθη, οὐκ ἂν
ἔξω ποτὲ τούτων· ἐγένετο γὰρ ἐφ' ἑ-
κάστου τῶν ἀνθρωπίνων γεγονότων·
τὸν αὐτὸν ἐφαρμόζων λόγον· εὑρή-

-σεις ὄντος χριστοῦ· πάντα τῆς σαρκὸς πάθη
κεκινημένα· οὐχ ὡς κρατήσαντα ὥσπερ
καὶ ἐν ἡμῖν· ἀλλ' ὡς κινηθέντα κα-
-ταργηθῇ τῇ δυνάμει τοῦ ὄντος οἰκή-
-σαντος τῇ σαρκὶ λόγου· πρὸς τὸ
ἄμεινον μεταποιουμένης τῆς
σχλδ φύσεως·— καὶ μεθ' ἕτερα πάλιν:
Πῶς οὐκ ἀπὸ τρόπου σκανδαλίζεσθαι
τοῖς ἀκροωμένοις ἀνθρωπινώ-
-τερον· ἔσθ' ὅτε λαλοῦντος αὐτοῦ·
λαλεῖ γὰρ ὡς ἄνθρωπος· λαλεῖ καὶ ὡς θεός·
ἔχων δὲ ἐν ἀμφοτέροις ἐξουσίαν·
ἀνθρωπίνως μὲν γὰρ ἔλεγε· νῦν ἡ
ψυχή μου τετάρακται· θεϊκῶς δὲ
πάλιν· ἐξουσίαν ἔχω θεῖναι αὐτήν·
καὶ πάλιν ἐξουσίαν λαβεῖν αὐτήν·
τὸ γὰρ συνταράττεσθαι τῆς σαρ-
-κὸς ἴδιον πάθος· τὸ δὲ ἐξουσίαν ἔ-
-χειν θεῖναί τε καὶ πάλιν ἀναλαμβάνειν
τὴν ψυχήν· τῆς τοῦ θεοῦ λόγου δυνά-
-μεως ἔργον ἐστί· τὸ ἐν τινὶ προκόπτον·
ἕτερόν ἐστι παρ' ἐκεῖνο ὃ ἐν ᾧ προκό-
-πτειν λέγεται· εἰ τοίνυν ὁ ὢν σοφία,
προκόπτειν εἴρηται· οὐχ ἡ σοφία
προκόπτει· ἀλλ' ἐν αὐτῇ τὸ ἀνθρώπινον·
ἀποκαλυπτομένης γὰρ καὶ φανε-
-ρουμένης ὁσημέραι τῆς θεότητος,

ἐν αὐτῷ ἀεὶ θαυμαστότερος πα-
ρὰ τοῖς ὁρῶσιν ἐγίνετο· καὶ τοῦτο
ἐστὶ τὸ προέκοπτεν ἐν σοφίᾳ:—
Καὶ μεθ' ἕτερα πάλιν:— σκε
Ἐν σοφίᾳ προέκοπτε τὸ ἀνθρώπι-
νον· κατὰ τόνδε τὸν τρόπον ἢ
τὴν ἀνθρώπου φύσιν ἐνδυσαμένην ἡ
σοφία· τουτέστιν ὁ τοῦ θεοῦ λόγος
κατὰ βραχύ· διὰ        καὶ τῶν
παραδόξων ἀποτελεσμάτων
θεοποιοῦσα· παρὰ τοῖς ὁρῶσι
τὸν ἀναληφθέντα ναόν· προκό-
πτειν αὐτὸν ἐποίει· κατὰ τοῦτο
οὕτως ἐν σοφίᾳ προέκοπτεν·
ἢ ἀνθρωπότης θεοποιουμένη δι'
αὐτῆς:— Καὶ μεθ' ἕτερα πάλιν:· σκϛ
Καὶ αὐτὸς ὁμολογεῖς ὦ χριστομάχε,
τὸν τοῦ θεοῦ λόγον γεγενῆσθαι σάρ-
κα· ὅπερ οὐδὲν ἕτερόν ἐστι λέγειν·
ἢ ὅτι σάρκα περιεβάλετο· ὥσπερ
οὖν ὅταν ἀκούσῃς μέγα τι περὶ τοῦ
λόγου καὶ ὅπερ αὐτῷ πρέπει γυμνῷ·
καὶ οὕτως τὴν σάρκα περιβεβλημέ-
νου· ὡς ὅταν λέγηται φῶς· καὶ ἀπαύ-
γασμα ἡ σοφία τοῦ πατρός· οὐ τὴν
σάρκα νοεῖς· ἀλλὰ τὸν ἐν τῇ σαρκὶ
κατοικήσαντα λόγον· ὥσπερ ὅταν

λέγηταί τι παρὰ ταῖς θείαις γραφ(αῖς) αϛ
ὃ μόνη πρέπει τῇ σαρκί· ἢ καὶ τοῦ
ἀν(θρώπ)ου σχήματι μὴ ἐπὶ τὸν λόγον ἀνά-
γῃς. ἀλλὰ δίδου τῇ φύσει τῆς σαρκ(ὸς)
τὰ ἑαυτῇ χρεωστούμενα· οὐχοῦν
ὅταν προκόπτειν λέγηται· οὐχ ἡ σο-
φία καθ' ἑαυτὴν προέκοπτεν ἀλλ' ἐν
τῇ σοφίᾳ τὸ ἀνθρώπινον· κατ' ἀναρ-
χὰς διαλάμπον καὶ φαινόμενον δι'
αὐτῆς· ὅτιπερ καὶ ὄργανον εἴη τῆς
ἐν αὐτῇ θεότητος κατ' ἀναρχὰς πρὸ(ς)
τὴν ἔκφανσιν αὐτῆς διὰ τῶν ὑπερ-
γῶν ὑπηρετοῦν· ἐπιτήρει δέ, ὅτι
οὐκ εἶπεν ὁ λόγος δὲ προέκοπτεν.
cx2 ἀλλ' ὁ Ἰ(ησοῦ)ς· καὶ μεθ' ἕτερα πάλιν·
Εἷς γὰρ θ(εὸ)ς· εἷς καὶ μεσίτης θ(εο)ῦ καὶ ἀν-
θρώπων· ἄν(θρωπ)ος Χ(ριστὸ)ς Ἰ(ησοῦ)ς· ὁ δοὺς ἑαυτὸν
ἀντίλυτρον ὑπὲρ πάντων· οὐ
φύσει καὶ οὐσιωδῶς θ(εὸ)ς ὤν τε καὶ ἀν-
θρώποις συναναστρεφόμενος·
διαλλάττων δὲ μόνον· καὶ φιλίαν
συνάπτων ταῖς τῆς πρὸς ἀλλήλας
κοινωνίας ἀποστήσαντα· τουτέ-
στιν ἀνθρωπότητα καὶ θ(εὸ)ν· πῶς
ἐμφανὴς ἦν, ὁ Παῦλος αὐτόν· ἐπεὶ κ(αὶ) αἱ
ἕτεροι τῶν ἁγίων πολλοί. τῆς τοι-
αύτης ἠξίωνται λειτουργίας· καὶ

αὐτὸς δὲ προφήτης ἂν αἰωνίων· δε-
-όμεθα ὑπὲρ Χριστοῦ καταλλάγητε τῷ
Θεῷ· γενόμενος μεσίτης. καὶ ὁ μακάριος
Μωσῆς ὁ διακονήσας τοῖς υἱοῖς Ἰσραὴλ
τὸν παρὰ Θεοῦ νόμον· μεσίτης ὑπῆρ-
-χε. καὶ ὁ πάνσοφος Ἱερεμίας. λέγων
πρὸς τὸν Θεόν· ὡς ὑπὲρ τῶν ἐκ γένους
Ἰσραὴλ μνήσθητι ἑστηκότος μου κατὰ
πρόσωπόν σου. τοῦ λαλῆσαι ὑπὲρ
αὐτῶν ἀγαθά· ἀλλὰ καὶ ἕκαστος τῶν
ἁγίων προφητῶν πεποιηκὸς τοῦ-
-το εὑρίσκεται· πάντως ἦν μεσίτης
εἷς ὁ Χριστὸς· εἰ μὴ τιζόμενον ἐπ' αὐτοῦ· %
ἀλλ' ἔφην ἴσως ὁ Παῦλος ἀληθεύων
φησί· γένος ἄρα καὶ οὐχ ὅμοιος τοῖς
ἄλλοις· καὶ πῶς ἐστὶν ἀναγκαῖον·
οὐκοῦν ἐπειδήπερ τὸ δύο τιμῶν·
κατὰ μέσου κείμενον· ἀμφοτέρων
δηλαδὴ τοῖς ἰδίοις ἄκροις ἐφάπτε-
-ται συνέχον εἰς ἑνότητα τὰ διῃ-
-ρημένα· μεσίτης δὲ Θεοῦ καὶ ἀνθρώπων ἐ-
-στιν ὁ Χριστός· πρόδηλον ὅτι Θεοῦ μὲν ὡς
θεός· ἀνθρώπων δὲ ὡς ἄνθρωπος. ἅπτεταί τε
φυσικῶς· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡ-
-μῶν· διὰ τῆς πρὸς ἡμᾶς ὁμοιώσε-
-ως εἰς ἑνότητα καὶ κοινωνίαν τῆς
θείας τὴν ἀνθρώπου φύσιν ἀναδεξάμενος:—

καὶ μεθ' ἕτερα πάλιν· σκη
Ἐγώ εἰμι· μὴ φοβεῖσθε· μάλιστα μὲν
τὸν φόβον ὃ δὴ ἐπέτυχον· εἰσδέχον-
ται δὲ αὐτὸν εἰς τὸ σκάφος· καὶ
παραχρῆμα, φησίν, ἐκόπασεν
ὁ ἄνεμος· οἱ δὲ ἐν τῷ πλοίῳ προ-
σεκύνησαν αὐτῷ λέγοντες· ἀλη-
θῶς υἱὸς θεοῦ εἶ· ποῦ εἰσι πάλιν ἐροῦσιν
οἱ τῇ ἀληθείᾳ μαχόμενοι καὶ μό-
νοις τοῖς ἰδίοις ἀκολουθοῦντες
θελήμασιν, ὅταν ἴδωσιν ὅλον ὁμοῦ
τὸν τῶν ἁγίων ἀποστόλων χορὸν
ὡς θεῷ προσκυνοῦντα τῷ υἱῷ, καὶ
μεθ' ὅρκου λέγοντας ὅτιπερ ἀληθῶς
υἱὸς εἶ θεοῦ· εἰ γὰρ ἐστὶ τῶν κτισμάτων
ἓν κατὰ τὴν αὐτῶν ἀμαθίαν,
πῶς ἀληθῶς υἱός ἐστι τοῦ θεοῦ· ἀμή-
χανον γὰρ τὸν μὴ ἔκ τινος κατὰ φύ-
σιν προεληλυθότα καὶ τὸ ἴδιον τῆς
τοῦ γεννήσαντος οὐσίας ἐπαγό-
μενον ἀληθῶς εἶναι υἱόν· πῶς δὲ
εἴπερ ἐφ' ἄλλον τὸ τοιοῦτο λέγοντες
οἱ μαθηταί· σέσωσται τῇ κτίσει ὁ σωτήρ·
καὶ μεθ' ἕτερα πάλιν· σκθ
Πῶς δὲ ὅλως ἡ τῆς θεότητος ἀρ-
ρητος φύσις ἐκ φύλου τι καὶ ἀλ-
λογενῶν πρὸς ἑαυτὴν ἀποτέξεται·

οὐδὲ τῆς γενομένης τῆς οὐσίας ἀμε-
χομένης τοῦτο παθεῖν· ἀμνὸς
γὰρ ὁ ἐξ ἀμνοῦ γεννᾶται· καὶ μόσχος
ἐκ βοός· καὶ πρόβατον ἐκ προ-
βάτου· οὐχ ὁμοίως ἀνάγκη θεὸν ἐκ θεοῦ
πεφηνέναι· τὸν υἱὸν ὁμολογεῖν·
ἵνα μὴ φαίνηται τῶν ἑαυτοῦ κτισ-
μάτων ἐλάττων ὁ πατήρ :— σλ
Καὶ μεθ' ἕτερα πάλιν· περὶ Κυρίλλου
φωνὰς ἃς ὡς ἀσεβεῖς ὅτι τὴν [illegible]
σιν θεῖς περιέχουσιν· ἐπειδὲ οὐ καί
τινα πλάσας, προσέθηκε· πολ-
λάκις δὲ, καὶ ὑφεῖλεν· ἵν' ἢ μεῖς
πανταχοῦ τῆς ἀληθείας φρον-
τίσαντες· ἐκ τῶν τοῦ σοφωτά-
του Κυρίλλου ῥημάτων· τὸν αὐτοῦ
μόνον παραφήσωμεν· πανταχοῦ
μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκω-
μένην· πρεσβεύοντες τὴν ἀληθῆ
τῶν αὐτοῦ τοῦ ἁγίου Κυρίλλου δογμά-
των· παρίστησι δόξαν :— + + +

τῶν μητροπολίτας τῶν προει-
ρημένων διοικήσεων. παρὰ τοῦ
κωνσταντινουπόλεως ἀρχιεπισκό-
που· ψηφισμάτων συμφώνων κα-
τὰ τὸ ἔθος γινομένων καὶ ἐπ' αὐτῷ
ἀναφερομένων:—

Ἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότα-
τοι ἄρχοντες εἶπον· περὶ τῶν ἐπι-
σκόπων τῶν χειροτονηθέντων μὲν
παρὰ Φωτίου τοῦ εὐλαβεστάτου
ἐπισκόπου· ἀποκινηθέντων δὲ
παρὰ εὐσταθίου τοῦ εὐλαβεστάτου
ἐπισκόπου· καὶ μετὰ τὴν ἐπισκο-
πὴν πρεσβυτέρων εἶναι κελευσθέν-
των· τί παρίσταται τῇ ἁγίᾳ συνόδῳ:—

[illegible] quorundam episcoporum qui ordinati [illegible] episcopo [illegible] depositi ab Eustathio qui in [illegible]

Πασχασῖνος καὶ Λουκίνσιος οἱ εὐλαβέ-
στατοι ἐπίσκοποι καὶ Βονιφάτιος
πρεσβύτερος. τοποτηρηταὶ τῆς
ἐκκλησίας ῥώμης εἶπον:—

Ἐπίσκοπον εἰς πρεσβυτέρου βαθμὸν
φέρειν, ἱεροσυλία ἐστίν· εἰ δὲ αἰτία
τὶς δικαία ἐκείνους ἀπὸ τῆς πρά-
ξεως τῆς ἐπισκοπῆς ἀποκινεῖ· οὐ

δὲ πρεσβυτέρου τόπον ὀφείλουσιν ἔχειν· εἰ δὲ ἐκτὸς τινὸς ἐγκλήματος ἀπεκινήθησαν τοῦ ἀξιώματος, πρὸς τὴν τῆς ἐπισκοπῆς ἀξίαν ἐπαναστρέψουσιν:—

Ἀνατόλιος ὁ εὐλαβέστατος ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως εἶπεν· οὗτοι οἱ λεγόμενοι ἀπὸ τῆς ἐπισκοπῆς ἀξίας εἰς τὴν τοῦ πρεσβυτέρου τάξιν κατεληλυθέναι, εἰ μὲν ἀπὸ εὐλόγων αἰτιῶν καταδικάζονται, εἰκότως οὐδὲ τῆς πρεσβυτέρου ἐντὸς ἄξιοι τυγχάνουσιν εἶναι τιμῆς· εἰ δὲ δίχα τινὸς αἰτίας εὐλόγου εἰς τὸν ἥττονα κατεβιβάσθησαν βαθμόν, δίκαιοι τυγχάνουσιν εἴπερ ἀνεύθυνοι εἶεν, τὴν τῆς ἐπισκοπῆς ἐπαναλαβεῖν ἀξίαν τε καὶ ἱερωσύνην:—

Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· δικαία ἡ κρίσις τῶν πατέρων· πάντες ταὐτὰ λέγομεν· οἱ πατέρες δικαίως ἐψηφίσαντο· ἡ κρίσις τῶν ἀρχιεπισκόπων κρατείτω:—

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες εἶπον· τὰ ἀρέσαντα τῇ ἁγίᾳ συνόδῳ εἰς τὸν ἅπαντα χρόνον μένειν καὶ φυλαττέσθω:—

Ἡ μεγαλοπρεπέστατοι καὶ ἔνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· ἐπειδὴ οἱ εὐλαβέστατοι ἐπίσκοποι τῆς Αἰγυπτίων οὐχ ὡς μαχόμενοι τῇ καθολικῇ πίστει ὑπογράψαι τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Λέοντος ἐπὶ τοῦ παρόντος ἀμελλοῦντο· ἀλλὰ φάσκοντες ἔθος εἶναι ἐν τῇ Αἰγυπτιακῇ διοικήσει παρὰ γνώμην καὶ διατύπωσιν τοῦ ἀρχιεπισκόπου μηδὲν τοιοῦτον ποιεῖν· ἀξιοῦσι δὲ ἐνδοθῆναι αὐτοῖς ἄχρι τῆς χειροτονίας τοῦ ἐσομένου τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἐπισκόπου· εὔλογον ἡμῖν ἐφάνη καὶ φιλάνθρωπον ὥστε αὐτοῖς μένουσιν ἐπὶ τοῦ οἰκείου σχήματος ἐν τῇ βασιλευούσῃ πόλει ἔνδοσιν παρασχεθῆναι· ἄχρις ἂν χειροτονηθῇ ἀρχιεπίσκοπος τῆς Ἀλεξανδρέων μεγαλοπόλεως:—

Πασχασῖνος ὁ εὐλαβέστατος ἐπίσκοπος τοποτηρητὴς τοῦ ἀποστολικ-

A. [illegible] egypti [illegible] noluerunt subscribere [illegible]

θρόνου ῥώμης, εἶπεν· εἰ προστάττει ἡ ὑμετέρα ἐξουσία καὶ κελεύεται τί ποτε αὐτοῖς παρασχεθῆναι φιλανθρωπίας ἐχόμενον. ἐγγύας δότωσαν ὅτι οὐκ ἐξέρχονται ταύτης τῆς πόλεως ἕως οὗ ἡ ἀλεξανδρέων ἐπίσκοπον δέξηται:–

Οἱ μεγαλοπρεπέστατοι καὶ ἐνδοξότατοι ἄρχοντες καὶ ἡ ὑπερφυὴς σύγκλητος εἶπεν· ἡ τοῦ ὁσιωτάτου ἐπισκόπου πασχασίνου ψῆφος, βεβαία ἔστω· ὅθεν μένοντες ἐπὶ τοῦ οἰκείου σχήματος οἱ εὐλαβέστατοι ἐπίσκοποι τῶν αἰγυπτίων· ἢ ἐγγύας παρέξουσιν εἰ τοῦτο αὐτοῖς δυνατόν· ἢ ἐξομοσίᾳ καταπιστευθήσονται ἀναμένοντες τὴν χειροτονίαν τοῦ ἐσομένου ἐπισκόπου τῆς ἀλεξανδρέων μεγαλοπόλεως:–

Ἡ ἁγία σύνοδος ἡ ἐν σαρδικῇ συγκροτηθεῖσα ἐκ διαφόρων ἐπαρχιῶν, ὥρισε τὰ ὑποτεταγμένα·

Ὅσιος ἐπίσκοπος κορδούβης εἶπεν· οὐ τοσοῦτον ἡ φαύλη συνήθεια, ὅσον ἡ λυμεωτάτη τῶν πραγμάτων

διαφορὰν. ἐξ αὐτῶν τῶν θεμελίων
ἐστὶν ἐκριζωτέα· ἵνα μηδενὶ τῶν ἐ-
πισκόπων ἐξῇ ἀπὸ πόλεως μικρᾶς
εἰς ἑτέραν πόλιν μεθίστασθαι· ἡ γὰρ
τῆς αἰτίας ταύτης πρόφασις φανε-
ρὰ. δι᾽ ἣν τὰ τοιαῦτα ἐπιχειρῆται·
οὐδεὶς γὰρ πώποτε εὑρεθῆναι ἐπί-
σκοπος δεδύνηται· ὃς ἀπὸ μείζονος
πόλεως εἰς ἐλαχιστοτέραν πόλιν ἐ-
σπούδασε μετασταθῆναι· ὅθεν συνέ-
στηκε διαπύρῳ πλεονεξίας τρόπῳ
ὑπεκκαίεσθαι τοὺς τοιούτους· καὶ
μᾶλλον τῇ ἀλαζονείᾳ δουλεύειν· ὅ-
πως ἐξουσίαν δοκοῖεν μείζονα κε-
κτῆσθαι· εἰ πᾶσι τοίνυν τοῦτο ἀρέ-
σκει· ὥστε τὴν τοιαύτην σκαιότητα
αὐτῶν αὐστηρῶς ἐκδικηθῆναι· ἡγοῦ-
μαι γὰρ μηδὲ λαϊκὸν ἔχειν τοὺς τοιού-
τους χρῆναι κοινωνίαν:-
Ἅπαντες οἱ ἐπίσκοποι εἶπον· τοῦτο B
ἀρέσκει πᾶσιν: Ὅσιος ἐπίσκοπος
εἶπεν· εἰ δέ τις τοιοῦτος εὑρίσκοιτο
μανιώδης ἢ τολμηρός· ὥστε περὶ
τῶν τοιούτων δόξαι τὴν ἀναφέρειν πα-
ραίτησιν· διαβεβαιούμενον ἀπὸ
τοῦ πλήθους ἑαυτὸν κεκομίσθαι
γράμματα· δῆλον ἐστὶν ὀλίγους τινὰς

δεδιῶχθαι μισθῷ καὶ τιμήματι
διαφθαρέντας ἐν τῇ ἐκκλησίᾳ στα-
σιάζειν· ὡς δῆθεν ἀξιοῦσθαι τὸν
αὐτὸν ἔχειν ἐπίσκοπον· καθάπαξ
οὖν τὰς ῥᾳδιουργίας τὰς τοιαύτας
καὶ τέχνας, κολαστέας εἶναι νομίζω·
ὥστε μηδ' ὅλως τοιοῦτον· μηδὲ ἐν
τῷ τέλει λαϊκῆς τοῦ ἀξιοῦσθαι κοι-
νωνίας· εἰ τοίνυν ἀρέσκει ἡ γνώμη
αὕτη, ἀποκρίνασθε· ἀπεκρίναν-
το· τὰ λεχθέντα ἤρεσεν:

γ Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο
προστεθῆναι ἀναγκαῖον· ἵνα μη-
δεὶς ἐπισκόπων ἀπὸ τῆς αὐτοῦ
ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν ἐν
ᾗ τυγχάνουσιν ἐπίσκοποι διαβαί-
νῃ· εἰ μή τι παρὰ τῶν ἀδελφῶν
τῶν ἑαυτοῦ κληθείη· διὰ τὸ μὴ δο-
κεῖν ἡμᾶς τὰς τῆς ἀγάπης ἀποκλεί-
ειν πύλας· καὶ τοῦτο δὲ ὡσαύτως
προνοητέον· ὥστε ἐὰν ἔν τινι ἐπαρ-
χίᾳ ἐπισκόπων τις ἀντικρὺς ἀδελ-
φοῦ ἑαυτοῦ καὶ συνεπισκόπου πρᾶ-
γμα σχοίη· μηδέναν ἕτερον ἐκ τούτων
ἀπὸ ἑτέρας ἐπαρχίας ἐπισκόπους
ἐπιγνώμονας ἐπικαλεῖσθαι· εἰ δὲ
ἄρα τις ἐπισκόπων ἔν τινι πράγ-

-νας τι δόξῃ κατακρίνεσθαι· καὶ ὑπο-
λαμβάνει ἑαυτὸν μὴ σαθρόν· ἀλλὰ
καλὸν ἔχειν τὸ πρᾶγμα· ἵνα καὶ αὖ-
θις ἡ κρίσις ἀνανεωθῇ· εἰ δοκεῖ ὑμῶν
τῇ ἀγάπῃ πέτρου τοῦ ἀποστόλου
τὴν μνήμην τιμήσωμεν· καὶ γρα-
φῆναι παρὰ τούτων τῶν κρινάν-
των· ἰουλίῳ τῷ ἐπισκόπῳ ῥώμης·
ὥστε διὰ τῶν γειτνιώντων τῇ ἐ-
παρχίᾳ ἐπισκόπων εἰ δέοι ἀνανε-
ωθῆναι τὸ δικαστήριον· καὶ ἐπιγνώ-
μονας αὐτὸς παράσχοι· εἰ δὲ μὴ συ-
στῆναι δύναται τοιοῦτον εἶναι τὸ
πρᾶγμα· ὡς παλινδικίας χρήζειν·
τὰ ἅπαξ κεκριμένα μὴ ἀναλύεσ-
θαι· τὰ δὲ ὄντα βέβαια τυγχάνειν· —
Γαυδέντιος ἐπίσκοπος εἶπε· δοκεῖ
ἀναγκαῖον προστεθῆναι ταύτῃ τῇ
ἀποφάσει· ἣν τὴν ἀγάπης εἰλικρι-
νοῦς πλήρης ὃ ἐξενήνοχεν· ὥστε ἐὰν
τις ἐπίσκοπος καθαιρεθῇ τῇ κρί-
σει τούτων τῶν ἐπισκόπων τῶν ς
ἐν γειτνίᾳ τυγχανόντων· καὶ φάσκ(ῃ)
πάλιν ἑαυτῷ ἀπολογίας πρᾶγμα
ἐπιβάλλειν· μὴ πρότερον εἰς τὴν
καθέδραν αὐτοῦ ἕτερον ὑποκατα- α
στῆναι· ἐὰν μὴ ὁ τῆς ῥωμαίων ἐπι-

σκοπος ἐπιτιμηθῇ. περὶ τούτου ὁ ρ(ω)μ(αίων)
ε ὅσιος ἐπίσκοπος εἶπεν· ἐξενέγκῃ·
ἤρεσεν ἵνα εἴ τις ἐπίσκοπος καταγ-
γελθείη· καὶ συναθροισθέντες οἱ
ἐπίσκοποι τῆς ἐνορίας τῆς αὐτῆς,
τοῦ βαθμοῦ αὐτὸν ἀποκινήσωσι·
καὶ ὥσπερ ἐκκαλεσάμενος καταφύ-
γει ἐπὶ τὸν μακαριώτατον τῆς ῥω-
μαίων ἐκκλησίας ἐπίσκοπον· καὶ
βουληθείη αὐτοῦ διακοῦσαι· δίκαι-
όν τε εἶναι νομίσει ἀνανεώσασθαι
αὐτοῦ τὴν ἐξέτασιν τοῦ πράγματος·
γράφειν τούτοις τοῖς ἐπισκόποις
καταξιώσει τοῖς ἀγχιστεύουσι τῇ ἐπαρ-
χίᾳ· ἵνα αὐτοὶ ἐπιμελῶς καὶ μετὰ
ἀκριβείας ἕκαστα διερευνήσωσι· καὶ
κατὰ τὴν τῆς ἀληθείας πίστιν. ψῆ-
φον περὶ τοῦ πράγματος ἐξενέγκω-
σιν· εἰ δέ τις ἀξιοῖ καὶ πάλιν αὐτοῦ τὸ
πρᾶγμα ἀκουσθῆναι· καὶ τῇ δεήσει
τῇ ἑαυτοῦ τὸν ῥωμαίων ἐπίσκοπον
κινεῖν δόξῃ· ἀπὸ τοῦ ἰδίου πλευροῦ
πρεσβυτέρους ἀποστείλοι· ἵνα ᾖ ἐν τῇ
ἐξουσίᾳ αὐτοῦ τοῦ ἐπισκόπου· ὅ-
περ ἂν καλῶς ἔχειν δοκιμάσῃ καὶ
ὁρίσῃ δεῖν ἀποσταλῆναι τοὺς μετὰ
τῶν ἐπισκόπων κρινοῦντας· ἔχον-

τας τε τὴν αὐθεντίαν τούτου παρ'
οὗ ἀπεφάνησαν· καὶ τοῦτο θετέον·
εἰ δὲ ὁ ἐξάρχειν νομίζοι πρὸς τὴν τοῦ
πράγματος ἐπίγνωσιν καὶ ἀπό-
φασιν τοῦ ἐπισκόπου ποιήσει ὅπερ
αὐτῇ τῇ ἐμφρονεστάτῃ αὐτοῦ βουλῇ
καλῶς ἔχειν δόξῃ. — Ἀπεκρίναν-
το οἱ ἐπίσκοποι· τὰ λεχθέντα
ἤρεσεν· Ὅσιος ἐπίσκοπος εἶπεν· ϛ
ἐὰν συμβῇ ἐν μιᾷ ἐπαρχίᾳ ἐν ᾗ
πλεῖστοι ἐπίσκοποι τυγχάνουσιν
ἕνα ἐπίσκοπον ἀπομεῖναι· κἀ-
κεῖνος κατά τινα ἀμέλειαν μὴ βου-
ληθῇ συνελθεῖν· καὶ συναινέσαι τῇ
καταστάσει τῶν ἐπισκόπων· τὰ
δὲ πλήθη συναθροισθέντα παρα-
καλοῖεν γίνεσθαι τὴν κατάστασιν
τοῦ παρ' αὐτῶν ἐπιζητουμένου ἐ-
πισκόπου· χρὴ πρότερον ἐκεῖνον
τὸν ἀπομείναντα ἐπίσκοπον
ὑπομιμνήσκεσθαι διὰ γραμμάτων
τοῦ ἐξάρχου τῆς ἐπαρχίας· λέγω δὴ
τοῦ ἐπισκόπου τῆς μητροπόλεως·
ὅτι ἀξιοῖ τὰ πλήθη ποιμένα αὐτοῖς
δοθῆναι· ἡγοῦμαι καλῶς ἔχειν καὶ τοῦ-
τον ἐκδέχεσθαι ἵνα παραγένηται·
εἰ δὲ μήτε διὰ γραμμάτων ἀξιωθεὶς

παραγένηται· μήτε μὴν ἄν τι γράφ.
τὸ ἱκανὸν τῇ βουλήσει τοῦ πλήθους
χρὴ γενέσθαι· χρὴ δὲ καὶ μετακαλεῖσ
θαι καὶ τοὺς ἀπὸ τῆς πλησιοχώρου
ἐπαρχίας ἐπισκόπους· πρὸς τὴν
κατάστασιν τοῦ τῆς μητροπόλεως
ἐπισκόπου· μὴ ἐξεῖναι δὲ ἁπλῶς
καθιστᾶν ἐπίσκοπον κώμῃ τινὶ· ἢ
βραχείᾳ πόλει· καὶ εἷς μόνος πρεσ
βύτερος ἐπαρκεῖ· οὐκ ἀναγκαῖον
γὰρ ἐκεῖσε ἐπισκόπους καθίστασθαι
ἵνα μὴ κατευτελίζηται τὸ τοῦ ἐπισκό
που ὄνομα καὶ ἡ αὐθεντία· ἀλλ' οἱ τῆς
ἐπαρχίας ὡς προεῖπον ἐπίσκοποι·
ἐν ταύταις ταῖς πόλεσι καθιστᾶν
ἐπισκόπους ὀφείλουσιν· ἔνθα καὶ
πρότερον ἐτύγχανον γεγονότες ἐ
πίσκοποι· εἰ δὲ εὑρίσκοιτο οὕτως
πληθύνουσά τις ἐν πολλῷ ἀριθμῷ
λαοῦ πόλις· ὡς ἀξίαν αὐτὴν εἶναι
ἐπίσκοπον κομίζεσθαι· λαμβανέ
τω εἰ πᾶσιν ἀρέσκει τοῦτο:-
πεκρίναντο πάντες· ἀρέσκει:-
2 σιος ἐπίσκοπος εἶπεν· ἡ ἀκαιρία
ἡμῶν· καὶ ἡ πολλὴ συνέχεια· καὶ
αἱ ἄδικοι ἀξιώσεις πεποιήκασιν
ἡμᾶς μὴ τοσαύτην ἔχειν χάριν καὶ

παρρησίαν, ὅσην ὀφείλομεν κεχρῆ-
-σθαι· πολλοὶ γὰρ τῶν ἐπισκόπων οὐ
διαλείπουσιν εἰς τὸ στρατόπεδον
παραγινόμενοι. καὶ μάλιστα οἱ Ἄφροι
οἵτινες καθὼς ἔγνωμεν παρὰ τοῦ
ἀγαπητοῦ ἀδελφοῦ ἡμῶν καὶ συνε-
-πισκόπου Γράτου. τὰς σωτηριώδεις
συμβουλὰς οὐ παραδέχονται. ἀλλὰ
καταφρονοῦσιν ὡς οὕτως ἕνα ἄν-
-θρωπον εἰς τὸ στρατόπεδον πλεί-
-στας καὶ διαφόρους καὶ μὴ δυναμέ-
-νας ὠφελῆσαι τὰς ἐκκλησίας δε-
-ήσεις διακομίζειν καὶ μὴ ὡς ὀφεί-
-λειν γίνεσθαι· καὶ ὡς προσῆκόν ἐ-
-στὶ τοῖς πένησι καὶ τοῖς λαϊκοῖς·
ἢ ταῖς χήραις συναίρεσθαι καὶ ἐπι-
κουρεῖν· ἀλλὰ κοσμικὰ καὶ ἀξιώματα
καὶ πράξεις περινοεῖν τισιν· αὕτη
τοίνυν ἡ σκαιότης τὸν θρασυσμὸν
οὐκ ἄνευ σκανδάλου τινὸς ἡμῖν καὶ
καταγνώσεως προξενεῖ· πρέπον δέ
-στορον δὲ εἶναι ἐνόμισα ἐπίσκοπον
τὴν ἑαυτοῦ βοήθειαν παρέχειν ἐ-
-κείνῳ. ὅστις ἂν ὑπό τινος βιάζηται
ἢ εἴ τις τῶν χηρῶν ἀδικοῖτο· ἢ αὖ
πάλιν ὀρφανός τις ἀποστεροῖτο

τῶν αὐτοῦ προσηκόντων· εἴπερ ἄρα
καὶ ταῦτα τὰ ὀνόματα δικαίαν ἔχει
τὴν ἀξίωσιν· εἰ τοίνυν ἀγαπητοὶ ἀ-
δελφοὶ πᾶσι τοῦτο δοκεῖ. ἐπικρίνατε·
μηδένα ἐπίσκοπον χρῆναι εἰς τὸ
στρατόπεδον παραγίνεσθαι παρεκ-
τὸς τούτων· οὓς ἂν ὁ εὐσεβέστατος
βασιλεὺς ἡμῶν τοῖς ἑαυτοῦ γράμμα-
σι μετακαλοῖτο· ἀλλ' ἐπειδὴ πολλά-
κις συμβαίνει τινὰς οἰκτροὺς δεομέ-
νους. καταφεύγειν ἐπὶ τὴν ἐκκλησίαν
διὰ τὰ ἑαυτῶν ἁμαρτήματα εἰς
περιορισμὸν ἢ νῆσον. καταδικασ-
θέντας· ἢ δ' αὖ πάλιν οἱαδήποτε
ἀποφάσει ἐκδεδομένους· τοῖς τοι-
ούτοις μὴ ἀρνητέαν εἶναι τὴν βοή-
θειαν· ἀλλὰ χωρὶς μελλησμοῦ· καὶ ἄνευ
τοῦ διστάσαι τοῖς τοιούτοις αἰτεῖσθαι
συγχώρησιν· εἰ τοίνυν καὶ τοῦτο ἀρέ-
σκει. σύμψηφοι γίνεσθε ἅπαντες:-
ἐπεκρίναμεν ἅπαντες: ὁριζέσθω
Η ὅσιος ἐπίσκοπος εἶπε· [illegible] καὶ τοῦτο:
καὶ τοῦτο ἡ ἀγχίνοια ὑμῶν κρινάτω·
ἐπειδὴ ἔδοξε διὰ τὸ μὴ ἐπιπίπτειν ὑ-
πὸ κατάγνωσιν τῶν ἐπισκόπων ἀ-
φικνουμένων εἰς τὸ στρατόπεδον

εἴ τινες αὐτῶν τοιαύτας ἔχοιεν δε-
-ήσεις· οἵων ἐστ' ἂν ὡς ἐπέμψῃ καθήκει μὲν
διὰ ἰδίου διακόνου ἀποστέλλοιεν·
τοῦτο γὰρ ὑπηρέτου τὸ πρόσωπον·
οὐκ ἐπίφθονον τυγχάνει· καὶ τὰ πα-
-ρασχεθησόμενα θᾶττον καὶ καθη-
-μαι διωκήσεται :~ Ἀπεκρίναντο
πάντες· καὶ τοῦτο ὁριζέσθω :~
Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο ἀ- Θ
κόλουθον νομίζω εἶναι· ἵν' ἐν οἵᾳ
δήποτε ἐπαρχίᾳ ἐπίσκοποι πρὸς
ἀδελφὸν καὶ συνεπίσκοπον ἑαυτῶν
ἀποστέλλοιεν δεήσεις· ὁ ἐν τῇ μείζονι
τυγχάνων πόλει, τουτέστι τῇ μητροπό-
-λει· αὐτὸς καὶ τὸν διάκονον αὐτοῦ καὶ
τὰς δεήσεις ἀποστέλλει· παρέχων
αὐτῷ καὶ συστατικὰς ἐπιστολάς· γρά-
-φων δηλονότι κατὰ τὴν ἀκολουθίαν καὶ
πρὸς τοὺς ἀδελφοὺς καὶ τοὺς συνε-
-πισκόπους ἡμῶν· οἵτινες ἐκείνῳ τῷ,
τῷ καιρῷ ἐν τοῖς τόποις ἢ ἐν ταῖς
πόλεσι διάγοντες· ἐν αἷς ὁ εὐσεβέ-
-στατος βασιλεὺς τὰ δημόσια κυβερ-
-νᾷ πράγματα· εἰ δὲ ἔχοι τις τῶν ἐπι-
σκόπων φίλους ἐν τῇ αὐλῇ τοῦ παλα-
-τίου· καὶ βούλοιτο περί τινος ὅπερ
πρέπον δέ ἐστιν ἀξιῶσαι· μὴ κωλύ-

οι τὸ διὰ τοῦ ἑαυτοῦ διακόνου· καὶ
ἀξιῶσαι καὶ ἐκπέμψασθαι τούτοις·
ὥστε τὴν αἰτηθεῖσαν βοήθειαν
ἀξιοῦντι αὐτῷ παρέχειν μὴ γοῖτο·
οἱ δὲ εἰς ῥώμην παραγινόμενοι κα
θὼς προείρηκα τῷ ἀγαπητῷ ἀδελ
φῷ ἡμῶν καὶ συνεπισκόπῳ ἰου
λίῳ τὰς δεήσεις ἃς ἔχοιεν διδόναι ὀ
φείλουσι παρέχειν· ἵνα πρότερον
αὐτὸς δοκιμάζοι· εἰ μή τινες ἐξ αὐτῶν
ἀναισχυντοῖεν· καὶ οὕτως τὴν ἑαυ
τοῦ προστασίαν καὶ φροντίδα πα
ρέχων· εἰς τὸ στρατόπεδον αὐτοὺς
ἀποστέλλει: — πάντως οἱ ἐπί
σκοποι ἀπεκρίναντο ἀρέσκειν αὐ
τοῖς· καὶ πρέπουσαν εἶναι τὴν
συμβουλὴν ταύτην· —
ι̅ Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο ἀ
ναγκαῖον εἶναι νομίζω· ἵνα μετὰ
πάσης ἀκριβείας καὶ ἐπιμελείας
ἐξετάζοιτο· ὥστε ἐάν τις πλού
σιος· ἢ σχολαστικὸς· ἀπὸ τῆς ἀγορᾶς
ἀξιοῖτο ἐπίσκοπον γίνεσθαι· μὴ
πρότερον καθίστασθαι ἐὰν μὴ καὶ
ἀναγνώστου καὶ διακόνου καὶ πρεσ
βυτέρου ὑπηρεσίαν ἐκτελέσῃ· ἵνα
καθ' ἕκαστον βαθμόν· ἐάνπερ ἄξιος

νομισθείη. εἰς τὴν ἀψῖδα τῆς ἐ-
πισκοπῆς κατὰ προκοπὴν δι-
αβῆναι δυνηθῇ· ἕξει δὲ ἑκάστου τάγ-
ματος ὁ βαθμὸς. οὐκ ἐλαχίστου
δηλονότι χρόνου διὸ οὗ ἥ τε πίστις αὐ-
τοῦ· καὶ ἡ τῶν πραγμάτων καλο-
καγαθία· καὶ ἡ στερρότης καὶ ἡ ἐπι-
είκεια· γνώριμος γενέσθαι δυνήσε-
ται· καὶ αὐτὸς ἄξιος τῆς θείας ἱερω-
σύνης νομισθεὶς, τῆς μεγίστης ἀ-
πολαύσει τιμῆς· οὔτε γὰρ προσῆ-
κον ἐστίν· οὔτε ἡ ἐπιστήμη· οὔτε ἡ ἀνα-
στροφὴ ἐπιδέχεται τολμη-
ρῶς καὶ κούφως ἐπὶ τοῦτο ἱέναι·
ὥστε ἢ ἐπίσκοπον· ἢ πρεσβύτε-
ρον· ἢ διάκονον. προχείρως καθί-
στασθαι· οὕτω γὰρ ἂν εἰκότως νεό-
φυτος νομισθείη· ἐπειδὴ μάλιστα
καὶ ὁ μακαριώτατος ἀπόστολος
ὃς καὶ τῶν ἐθνῶν γεγένηται διδάσ-
καλος· φαίνεται κωλύσας ταχείας
γίνεσθαι τὰς καταστάσεις· τοῦ γὰρ
μηκίστου χρόνου ἡ δοκιμασία· τὴν
ἀναστροφὴν καὶ τὸν ἑκάστου τρόπον
οὐκ ἀπεικότως ἐκτυποῦν δυνήσεται:
Ἅπαντες εἶπον ἀρέσκειν αὐτοῖς καὶ
καθάπαξ μηδὲν ἀνατρέπειν ταῦτα:—

ια Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο δὲ
ὁρίσαι ὀφείλομεν· ἵνα ἐπίσκοπος
ὅταν ἐξ ἑτέρας πόλεως παραγένη-
ται εἰς ἑτέραν πόλιν ἢ ἀπὸ ἑτέρας
ἐπαρχίας εἰς ἑτέραν ἐπαρχίαν·
κόμπου χάριν· ἐγκωμίοις οἰκείοις
ὑπηρετούμενος ἢ θρησκείας καθο-
σιώσει· καὶ πλείονα χρόνον βούλοι-
το διάγειν· καὶ μὴ ὁ τῆς πόλεως ἐκεί-
νης ἐπίσκοπος ἔμπειρος εἴη διδασ-
καλίας καὶ μὴ καταφρονῇ ἐκείνου
καὶ συνεχῶς ὁμιλεῖ τῷ καταισ-
χύνειν καὶ κατευτελίζειν τὸ πρόσω-
πον τοῦ αὐτόθι ἐπισκόπου· αὕτη γὰρ
ἡ πρόφασις εἴωθε ταραχὰς παρέ-
χειν· καὶ ἐκ τῆς τοιαύτης πανουργί-
ας ἀλλοτρίαν καθέδραν· ἑαυτῷ προ-
μνηστεύεσθαι καὶ παρασπᾶσθαι σπου-
δάζει· μὴ διστάζων τὴν αὐτῷ παρα-
δοθεῖσαν ἐκκλησίαν καταλιμπάνειν
καὶ εἰς ἑτέραν μεθίστασθαι· ὁριστέον
τοίνυν ἐπὶ τούτῳ χρόνον· ἐπειδὴ
καὶ τὸ μὴ ὑποδέχεσθαι ἐπίσκοπον,
τῶν ἀπανθρώπων καὶ σκαιῶν εἶναι νε-
νόμισται· μέμνησθαι δὲ ἐν τῷ προά-
γοντι χρόνῳ τοῖς πρώην ἡμῶν κεχρι-
κέναι· ἵνα εἴ τις λαϊκὸς ἐν πόλει δια-

τῶν τρεῖς κυριακὰς ἡμέρας ἐν τρι-
σὶν ἑβδομάσι μὴ συνέρχοιτο, ἀπο-
κινοῖτο τῆς κοινωνίας· εἰ τοίνυν
περὶ τῶν λαϊκῶν τοῦτο τεθέσπι-
σται· οὐ χρὴ οὐδὲ πρέπει. ἀλλ' οὐδὲ
συμφέρει ἐπίσκοπον· εἰ μηδεμίαν
βαρυτέραν ἀνάγκην ἔχοι· ἢ πρᾶγμα
δυσχερὲς ἐπὶ πλεῖστον ἀπολείπε-
σθαι τῆς ἑαυτοῦ ἐκκλησίας καὶ λυ-
πεῖν τὸν ἐμπεπιστευμένον αὐτῷ
λαόν. Πάντες οἱ ἐπίσκοποι
εἰρήκασι· καὶ ταύτην τὴν γνώμην,
σφόδρα εἶναι πρέπουσαν ταύτην, ὁ-
ριζόμεθα. ιβ
[Ὅ]σιος ἐπίσκοπος εἶπεν· ἐπειδὴ
οὐδὲν ἐν ἐμοὶ παραλειπτέον. καὶ τοῦτο
ὁρισθήτω· τινὲς τῶν ἀδελφῶν καὶ
συνεπισκόπων ἐν ταῖς πόλεσιν
ἐν αἷς ἐπίσκοποι καθίστανται·
δοκοῦσι κεκτῆσθαι σφόδρα ὀλίγα
ὑπάρχοντα ἴδια· ἐν ἑτέροις δὲ τό-
ποις κτήσεις μεγάλας· ὅθεν καὶ ἐπι-
κουρεῖν δυνατοί εἰσι τοῖς πένησιν·
οὕτως αὐτοῖς συγχωρητέον εἶναι χρεί-
αν· ἵνα εἰ μέλλοιεν εἰς τὰς ἑαυτῶν
παραγίνεσθαι κτήσεις· καὶ τὴν συγ-
κομιδὴν τῶν καρπῶν ποιεῖσθαι

τρεῖς κυριακὰς ἡμέρας· τουτέστι τρεῖς
ἑβδομάδας· ἐν τοῖς ἑαυτοῦ κτήμα-
σιν αὐτοὺς διάγειν· καὶ ἐν τῇ ἀγχιστε-
υούσῃ ἐκκλησίᾳ ἐν ᾗ πρεσβύτερος
συνάγοι ὑπὲρ τοῦ μὴ χωρὶς συνε-
λεύσεως αὐτὸν δοκεῖν εἶναι· συνέρ-
χεσθαι καὶ λειτουργεῖν· καὶ μὴ συνε-
χέστερον εἰς τὴν πόλιν ἐν ᾗ ἐστιν ἐπί-
σκοπος παραγίνοιτο· τοῦτον γὰρ
τὸν τρόπον· καὶ τὰ οἰκεῖα αὐτοῦ
πράγματα παρὰ τὴν αὐτοῦ ἀπου-
σίαν· οὐδεμίαν ὑπομένει ζημίαν·
καὶ τὸ τῆς ἀλαζονείας καὶ τοῦ τύφου
δόξει ἐκκλίνειν ἔγκλημα:-
Ἅπαντες οἱ ἐπίσκοποι εἶπον· Ἀ-
ρέσκει καὶ αὕτη ἡ διατύπωσις:-
ιγ Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο
πᾶσιν ἀρεσάτω· ἵνα εἴτε διάκονος
ἢ πρεσβύτερος· ἢ καί τις τῶν κλη-
ρικῶν ἀκοινώνητος γένηται· καὶ
πρὸς ἕτερον ἐπίσκοπον τὸν εἰδό-
τα αὐτὸν καταφύγοι· γινώσκον-
τα ἀποκεκινεῖσθαι αὐτὸν τῆς κοι-
νωνίας παρὰ τοῦ ἰδίου ἐπισκόπου·
μὴ χρῆναι τῷ ἐπισκόπῳ καὶ ἀδελ-
φῷ αὐτοῦ ὕβριν ποιοῦντα παρέ-
χειν αὐτῷ κοινωνίαν· εἰ δὲ τολμήσοι

τοῦτο ποιῆσαι· γινωσκέτωσαν ἐλ-
θόντων ἐπισκόπων ἀπολογίας ἑ-
αυτὸν ὑπεύθυνον καθεστάναι:–
πάντες οἱ ἐπίσκοποι εἶπον· αὕτη
ἡ κρίσις. καὶ τὴν εἰρήνην πάντοτε
διαφυλάξει καὶ διατηρήσει τὴν πάν-
των ὁμόνοιαν:– ιδ
Ὅσιος ἐπίσκοπος εἶπε· τὸ δὲ πάντο-
τέ με κινοῦν, ἀποσιωπῆσαι οὐκ ὀ-
φείλω. εἴ τις ἐπίσκοπος ὀξύχολος
εὑρίσκοιτο· ὅπερ οὐκ ὀφείλει ὁ τοι-
οῦτος ἀνὴρ πολιτεύεσθαι. καὶ ταχέ-
ως ἄν τι κρίνας πρεσβυτέρου ἢ διακόνου
κινηθεὶς ἐκβαλεῖν τῆς ἐκκλησίας
τινὰ ἐθέλοι· προνοητέον ἐστὶ μὴ ἀ-
θρόον τὸν τοιοῦτον κατακρίνεσθαι
πάντες εἰρήκασιν· ὁ ἐκβαλλόμενος
ἐχέτω ἐξουσίαν ἐπὶ τὸν ἐπίσκοπον
τῆς μητροπόλεως τῆς αὐτῆς ἐπαρχί-
ας καταφυγεῖν· εἰ δὲ ὁ τῆς μητροπόλε-
ως ἄπεστιν, ἐπὶ τὸν πλησιόχωρον
κατατρέχειν καὶ ἀξιοῦν· ἵνα μετὰ
ἀκριβείας αὐτοῦ ἐξετάζηται τὸ πρᾶγ-
μα· οὐ χρὴ γὰρ μὴ ὑπέχειν τὰς ἀκο-
ὰς τοῖς ἀξιοῦσι· κἀκεῖνος δὲ ὁ ἐπίσ-
κοπος ὁ δικαίως ἢ ἀδίκως ἐκβαλὼν
τὸν τοιοῦτον, γενναίως φέρειν ὀφεί-
λει·

ἵνα ἡ ἐξέτασις τοῦ πράγματος γέ-
νηται· καὶ ἡ κύρωσις ἢ αὐτοῦ ἢ ἀπόφα-
σις, ἢ διόρθωσις τύχοι· πρὶν δὲ
ἐπιμελῶς καὶ μετὰ πίστεως ἐξετα-
σθῇ· ὁ μὴ ἔχων τὴν κοινωνίαν
πρὸ τῆς διαγνώσεως τοῦ πράγμα-
τος ἑαυτοῦ· οὐκ ὀφείλει ἐκδικεῖν τὴν
κοινωνίαν· ἐὰν δὲ συνεληλυθότων
τῶν κληρικῶν τινῶν κατίδωσι τὴν
ὑπεροψίαν καὶ τὴν ἀλαζονείαν αὐτοῦ·
ὡσεὶ δὴ οὐ προσῆκον ἐστὶν· ὕβριν. ἢ
μέμψιν ἄδικον ὑπομένειν· πικροτέ-
ροις καὶ μακροτέροις ἐγκλήμασιν ἐπιστρέ-
φειν τοῦτον ὀφείλουσιν· ἵνα τοῖς τὰ
πρέποντα κελεύουσιν ὑπηρετῶνται
καὶ ὑπακούωσιν· ὥσπερ γὰρ ὁ ἐπίσ-
κοπος τοῖς ὑπηρέταις εἰλικρινῆ ὀφεί-
λει τὴν ἀγάπην καὶ τὴν διάθεσιν παρέ-
χειν, τὸν αὐτὸν τρόπον οἱ ἐπιτεταγ-
μένοι ἄδολα τοῖς ἐπισκόποις, τὰς
ὑπηρεσίας ἐκτελεῖν ὀφείλουσιν· —
ιε Ὅσιος ἐπίσκοπος εἶπε· καὶ τοῦτο δὲ
ὁρίσωμεν· ἵνα εἴ τις ἐπίσκοπος
ἐξ ἑτέρας παροικίας βουληθῇ ἀλλό-
τριον ὑπηρέτην· χωρὶς τῆς συγκα-
ταθέσεως τοῦ ἰδίου ἐπισκόπου·
εἴς τινα βαθμὸν καταστῆσαι, ἄκυρον

καὶ ἀκέραιος ἢ καὶ ἀγαθὸς ὁ τοιαῦτος
νομίζοιτο· εἰ τιμῶν δὲ ἐὰν τοῦτο ἔσω
τοῖς ἐπιτρέψωσι παρ' αὐτῶν ἀδελφοῖς
καὶ συνεπισκόπων ἡμῶν καὶ ὑπο-
μιμνήσκεσθαι καὶ διορθοῦσθαι ὀ-
φείλουσιν :— Πάντες εἰρήκασι·
καὶ οὗτος ὁ ὅρος στήτω ἀσάλευτος :—
ιϛ Ἀέτιος ἐπίσκοπος εἶπεν· οὐκ ἀγνο-
εῖτε ὁποία καὶ πηλίκη τυγχάνει ἡ τῶν
Θεσσαλονικαίων μητρόπολις· πολλά-
κις τοιγαροῦν εἰς αὐτὴν ἀπὸ ἑτέρων
ἐπαρχιῶν πρεσβύτεροι καὶ διάκο-
νοι παραγίνονται· καὶ οὐκ ἀρκούμε-
νοι βραχείᾳ διατριβῇ χρόνου ἐναπο-
μένουσι· καὶ ἅπαντα τὸν χρόνον
αὐτόθι ποιοῦντες διατελοῦσιν· ἢ μό-
λις μετὰ πλεῖστον χρόνον εἰς τὰς ἑ-
αυτῶν ἐπανιέναι ἐκκλησίας ἀναγ-
κάζονται· περὶ τούτων οὖν ὁριστέον :—
ιζ Ὅσιος ἐπίσκοπος εἶπεν· οὗτοι οἱ ὅροι
οἱ καὶ ἐπὶ τῶν ἐπισκόπων ὡρισμένοι,
φυλαττέσθωσαν καὶ ἐπὶ τούτων τῶν
προσώπων :— ιη
Ὅσιος ἐπίσκοπος εἶπεν· ὑποβάλλον-
τος καὶ τοῦ ἀδελφοῦ ἡμῶν Ὀλυμπίου·
καὶ τοῦτο ἤρεσεν· ἵνα εἴ τις ἐπίσκοπος
βίαν ὑπομείνας ἀδίκως ἐκβληθείη·

ἢ διὰ τὴν ἐπιφάνειαν· ἢ διὰ τὴν ὁμο-
λογίαν τῆς καθολικῆς ἐκκλησίας· ἢ
διὰ τὴν τῆς ἀληθείας ἐκδικίαν· καὶ
φεύγων τὸν κίνδυνον ἀθῶος καὶ κα-
θοσιωμένος ὢν ἔλθοι εἰς ἑτέραν πό-
λιν· μὴ κωλυέσθω ἐκεῖ ἐπὶ τοσοῦτον
διάγειν ἕως ἂν ἔλθοι καὶ τῆς ὕβρεως
τῆς γεγενημένης αὐτῷ ἀπαλλαγὴν
εὑρέσθαι δυνηθῇ· σκληρὸν γὰρ καὶ βα-
ρύτατον ἐλασίαν ἄδικον ὑπομεμε-
νηκότα μὴ ὑποδέχεσθαι ὑφ' ἡμῶν·
πλείστῃ γὰρ καλοκαγαθίᾳ καὶ φρονή-
σει ὀφείλει παραδέχεσθαι ὁ τοιοῦτος:~
πάντες εἰρήκασιν· ἤρεσε καὶ τοῦτο:-
18 Γαυδέντιος ἐπίσκοπος εἶπεν· οἴδατε
ἀδελφὲ ἀγαπητέ· ὡς ὅτε τηνικαῦτα ποτὲ
καθαιρεθέντος συνεπισκόπου, ἢ
εἰρήνη λοιπὸν ἐμβραβεύσῃ· ἵνα μηκέτι
μαι λείψανα διχονοίας περὶ τῶν ἐκκλη-
σιαστικῶν κανόνων ὀνομαζόμενοι· ἔ-
δοξε καὶ τοὺς παρὰ Μουσαίου κατα-
σταθέντας· καὶ τοὺς παρὰ Εὐτυχιανοῦ·
ὧν εἰ δὴ αὐτῶν οὐδεμία αἰτία εὑρίσ-
κοιτο πάντας ὑποδεχθῆναι:~
x Ὅσιος ἐπίσκοπος εἶπε· τῆς ἐμῆς με-
τριότητος ἡ ἀπόφασις, ἐστὶν αὕτη·
ἐπειδὴ ἤσυχοι καὶ ὑπομονητικοὶ ὀφεί-

-λουθεῖν εἶναι· καὶ δι' ἀρχῆς τὸν πρὸς
πάντας ἔχειν οἶκτον. ἅπαξ τού
-τοις τοῖς εἰς κλῆρον ἐκκλησιαστικὸν
προαχθεῖσιν ὑπό τινων ἀδελ
-φῶν ἡμῶν· ἐὰν μὴ βούλοιντο ἐπα
-νέρχεσθαι εἰς ἃς κατωνομάσθη
-σαν ἐκκλησίας· τοῦ λοιποῦ μὴ ὑ
-ποδέχεσθαι· εὐτυχιανὸν δὲ μήτε
ἐπίσκοπον ἑαυτὸν διεκδικεῖν ὀνο
-μαι· ἀλλ' οὐδὲ μουσαῖον ὡς ἐπίσκο
-πον εἶναι ἄξιον ὀνομάζεσθαι· εἰ
δὲ λαϊκὴν κοινωνίαν αἰτοῖεν,
μὴ χρῆναι αὐτοῖς ἀρνεῖσθαι:–
πάντες εἶπον ἀρέσκει:– και
Γαυδέντιος ἐπίσκοπος εἶπε· ταῦ
-τα ὑγιῶς καὶ ἀκολούθως ὁρι
-σθέντα καὶ πρέποντα τῇ ἐπι-
εικείᾳ ὑμῶν τῶν ἱερέων. καὶ θεῷ
ἀρέσαντα καὶ ἀνθρώποις τὴν δύναμιν
καὶ τὴν ἰσχὺν ἑαυτῶν κατασχεῖν οὐ
δυνήσονται· ἐὰν μὴ καὶ φόβος
ταῖς ἐξενεχθείσαις ἀποφάσεσι
ἀκολουθήσῃ· ἴσμεν γὰρ καὶ αὐτοὶ
πλεονάκις διὰ τὴν ὀλίγων ἀναι
-σχυντίαν. τὸ θεῖον καὶ σεβασμιώ
-τατον ὄνομα τῆς ἱερωσύνης εἰς
κατάγνωσιν ἐληλυθέναι· εἰ τοίνυν

πὸς τὰ παρὰ πᾶσι δόξαν ταῦ τολ-
μήσοι σπουδάζων· τύφῳ μᾶλλον
καὶ ἀλαζονείᾳ· ἢ τῷ θεῷ ἀρέσαι ἐπε-
ρῶν τι διαπράξασθαι· ἤδη γὰρ ὡς ἐκ-
τῷ ἐγκλήματι ἀπολογίας ἑαυτὸν
ὑπεύθυνον καθίστασθαι· καὶ τὴν
τιμὴν καὶ τὸ ἀξίωμα τῆς ἐπισκο-
πῆς ἀποβάλλειν· —
Ἁπάντων τῶν ἀπεκρίναντο· πρέπει
καὶ ἀρέσκει ἡμῖν ἡ τοιαύτη γνώμη·
καὶ τοῦτο δὲ ἐκεῖθεν μάλιστα γνω-
ρισθήσεται καὶ πληρωθήσε-
ται· ἐὰν ἕκαστος ἡμῶν τῶν ὄντων ταῖς
παρόδοις ἤτοι καναλίοις καθεστώ-
των ἐπισκόπων· θεασάμενος ὁ
ἐπίσκοπον ἐπιζητοίη τὴν αἰτίαν
τῆς παρόδου· καὶ ποῦ τὴν πορεί-
αν ποιεῖται· κἂν ἐὰν μὲν εὕρῃ αὐτὸν
ἐπὶ τὸ στρατόπεδον ἀπιόντα, ἐ-
πιζητήσει τὰς αἱρέσεις τὰς ἐπά-
νω προκειμένας· κἂν κεκλημένος
ἀφίκηται ἀπιὼν παρ᾽ αὐτοῦ· μηδὲν
ἐμποδὼν γίγνοιτο· εἰ δὲ ἐπιδείξε-
ως χάριν καθὼς εἴρηται τῇ ὑμε-
τέρᾳ ἀγάπῃ· ἢ δι᾽ αἰτήσεως ἀξιώσας
σπουδάζοι ἐπὶ τὸ στρατόπεδον·
μήτε τοῖς γράμμασιν αὐτοῦ ὑπο-

137

γράφειν. μὴ τέχοιμ ὦμεν εἰν τοῦτοι
·οὕτως:— α πάντες εἰρήκασιν·
ὁριζέσθω καὶ τοῦτο:—

Μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξο-
τάτων βασιλέων· Ὁνωρίου τὸ δω-
δέκατον· καὶ Θεοδοσίου τὸ ὄγδοον
τῶν αὐγούστων· τῇ πρὸ ὀκτὼ κα-
λανδῶν ἰουνίων ἐν χαλκηδόνι· ἐσ
τὸ σέκρετον Φαύστου συνελθόντων
Αὐρηλίου τοῦ πάπα ἅμα Καλεμ-
τίνῳ τῆς πρώτης καθέδρας τῆς
Νουμιδικῆς χώρας· καὶ Φαυστί-
νου ἀπὸ Πικένου τῆς Ποτεντίνης
ἐκκλησίας τῆς Ἰταλῶν χώρας το-
ποτηρητοῦ τῆς ἐκκλησίας Ῥώμης·
σὺν διαφόροις τοποτηρηταῖς
τῶν Ἀφρικανῶν ἐπαρχιῶν καὶ
ἐκκλησιῶν· τουτέστι τῶν δύο Νου-
μηδιῶν τῆς Βυζακηνῆς Μαυρι-
τανίας· καὶ Συριανῆς καὶ Τριπό-
λεως· καὶ [illegible]κεντίου Χολοσιτανῶν·
Φουρτουνατιανοῦ Νεαπολίτου
καὶ λοιποῖς ἐπισκόποις τῆς
ἀνθυπατιανῆς χώρας· σιζ

Concilium carthaginen. [illegible] et [illegible] ab [illegible] episcopis [illegible] contra [illegible] sub Aurelio pp. et Faustino legato [illegible] romano.

οὐ μὴν ἀλλὰ καὶ Φιλίππῳ καὶ ἀσε-
λλῳ τοῖς πρεσβυτέροις τοποτη-
ρηταῖς τῆς ἐκκλησίας Ῥώμης·
ταῦτα ἅπερ καὶ αὐτοῖς ἤρεσε πα-
ρεστώτων τῶν διακόνων:—
Ῥουφήλιος ἐπίσκοπος εἶπε· μετὰ
τὴν ὁρισθεῖσαν ἡμέραν τῆς συνό-
δου ὡς μέμνησθε ἀδελφοὶ μακα-
ριώτατοι· πολλαὶ ἐζητήθησαν τοῦ
ἀναμένειν ἡμᾶς τοὺς ἀδελφοὺς
ἡμῶν τοὺς μὴ εἰς τὴν παροῦσαν
σύνοδον τοποτηρητὰς συνελ-
θόντας· ἃ τοῖς πεπραγμένοις
ἀναγκαιότατον ἐντεθῆναι· διὸ τῶν
δεόμεθα τῆς ἡμῶν περὶ τῆς συνε-
λεύσεως τοῦ τοσούτου ἀθροίσ-
ματος ὑπολείπεται χάριτας
ἀναπέμψαι· ἵνα τοῦτο μὲν τὰ
ἶσα τῆς ἐν Νικαίᾳ συνόδου· ἅ-
μιν ἔχομεν καὶ ἀπὸ τῶν πρώ-
κατεφρήσαν· τοῦτο δὲ καὶ ἅπερ
ἐνταῦθα ἀπὸ τῶν προηγησα-
μένων ἡμᾶς τὴν αὐτὴν σύνοδον
βεβαιωσάντων· καὶ τὰ κατὰ τὸ
αὐτὸν τύπον ἅπαντας τοὺς
τῶν κληρικῶν βαθμούς· ἀπὸ τοῦ
ἄκρου ἕως τοῦ ἐσχάτου· σρίωδος

τὰ χθέντα· εἰς μέσον προενεχ-
-θῶσιν· Δανιὴλ νοτάριος ἀνέγνω·
ἡ ἐν Νικαίᾳ σύνοδος ἡ ὁμολογία
τῆς πίστεως ἤτοι τὰ ὁρισθέντα,
οὕτως ἔχουσι· καὶ ἐν τῷ λέγειν Φαυ-
-στῖνος ἐπίσκοπος Πικένου εἶπεν·
ἐπετράπη ἡμῖν ἀπὸ τῆς ἀποστο-
-λικῆς καθέδρας τινὰ ἐγγράφως·
τινὰ δὲ καὶ ἀγράφως πρᾶξαι· ἴσα
ὡς αὐτῶν μεμνῆσθαι ἐκ τῶν ἀνω-
-τέρω πεπραγμένων. τουτέστι πε-
-ρὶ τῶν ἐν Νικαίᾳ κανόνων· ἵνα φυ-
-λαχθῶσι καὶ ὁ ὁρισμὸς αὐτῶν καὶ ἡ
συνήθεια· ἐπειδὴ τινὰ μὲν τὰ ἐξ
καὶ κανόνι κρατοῦνται· τινὰ δὲ συ-
-νηθείᾳ ἐτυπώθη· περὶ τούτων τοί-
-νυν ἐν πρώτοις ἐὰν ἀρέσῃ τῇ μα-
-καριότητι ὑμῶν, συζητήσωμεν·
καὶ μετὰ ταῦτα τὰ λοιπὰ πεπραγ-
-μένα καὶ ἐναρχθέντα ἐν ταυτ το-
-μεθα μεναιωθεῖσιν· ἵνα καὶ πρὸς
τὴν ἀποστολικὴν καθέδραν ἀντι-
-γράφοις ἡμετέροις ἐμφανίσαι δυ-
-νηθῆτε· καὶ τῷ αὐτῷ προσκυνητῷ
πάπᾳ δηλώσητε· ὡς ἐπιμελῶς
ἀνεμνήσαμεν ἡ καὶ ὅτι τὰ κεφάλαι-
-α τῶν πράξεων ἤδη τοῖς πεπραγ-

μένοις ἐμεμνήσθησαν· περὶ τούτων
τοίνυν ὧν προεῖπον· τί ἀρέσκει τῇ
ὑμετέρᾳ μακαριότητι πρᾶξαι ὀφεί-
λομεν· ἐλθέτω τοιγαροῦν εἰς μέσον
τὸ κομμονητώριον· ἵνα δηλωθῇ τε
γενόμενα· τί ἐν αὐτῷ περιέχεται ὅπως
προσήκουσα ἀπόκρισις δοθῇ:—

Αὐρήλιος ἐπίσκοπος εἶπε· προκο-
μισθήτω τὸ κομμονητώριον ὅπερ
οἱ ἀδελφοὶ καὶ συλλειτουργοὶ ἡμῶν
τοῖς πεπραγμένοις ἔναγχος ἐνε-
φάνισαν· καὶ τὰ λοιπὰ ἀκολούθως
τά τε πεπραγμένα καὶ τὰ πρακτέα:—

Δανιὴλ νοτάριος ἀνέγνω· κομμονη-
τώριον τῶν ἀδελφῶν Φαυστίνου καὶ
τοῖς τέκνοις Φιλίππῳ καὶ Ἀσέλλῳ
τοῖς πρεσβυτέροις· Ζώσιμος ἐπί-
σκοπος καὶ τὰ ἑξῆς:—

Τὰ καταπιστευθέντα ὑμῖν πράγ-
ματα· οὐ λανθάνουσιν ὑμᾶς οὕτως
ὡσεὶ καὶ ἡμέτερα· μᾶλλον δὲ ἡμέτε-
ρα ἐκεῖσε ἐν ὑμῶν παρουσίᾳ ὄντι· πάν-
τα ἐκτελέσατε· μάλιστα καὶ τοῦτο ἡ-
μῶν ἐχόντων τὸ ἔνταλμα· καὶ τὰ
ῥήματα τῶν κανόνων· ἅτινα πρὸ
πλείονα βεβαίωσιν τῷ παρόντι
κομμονητωρίῳ ἐνετάξαμεν· οὕτως

παρεῖπον ὧν ἀδελφοὶ οἱ τῆς ἡμῶν ἁγί-
-ας συνόδου. ὅτε περὶ τῆς τῶν ἐπι-
σκόπων ἐκκλήτου ἐψηφίζομεν τό·
ἤρεσε δὲ ὥστε ἐὰν ἐπίσκοπος κατη-
-γορηθῇ· καὶ κρίνωσιν οἱ συνελθόν-
-τες ἐπίσκοποι τῆς ἰδίας αὐτοῦ ἐ-
-παρχίας· καὶ ἐκ τοῦ βαθμοῦ αὐτοῦ
καθέλωσιν αὐτόν· καὶ δόξῃ ἐκκαλεῖ-
-σθαι καὶ καταφεύγειν πρὸς τὸν
μακαριώτατον ἐπίσκοπον Ῥώμης·
καὶ αὐτὸς θελήσῃ ἀκουσθῆναι· καὶ
τὸ τοιοῦτον δίκαιον νομίσοι· ὥστε
ἀνανεωθῆναι τὴν ἐξέτασιν γράψαι
καταξιώσῃ πρὸς τοὺς ἐν τῇ ὁμορού-
-σῃ ἐπαρχίᾳ ἐπισκόπους· ἵνα αὐτοὶ
ἐπιμελῶς ἕκαστα διερευνήσωσι καὶ
κατὰ τὸ ἀληθὲς περαιώσωσι· διὸ
ἐάν τις ἀξιοῖ τὸ πρᾶγμα αὐτοῦ πά-
-λιν ἀκουσθῆναι· καὶ οἰκείᾳ δεήσει κι-
-νήσῃ τὸν ἐπίσκοπον Ῥώμης· ἵνα
ἐκ τοῦ πλευροῦ αὐτοῦ πρεσβυτέρους
ἀποστείλῃ· ἐν τῇ ἐξουσίᾳ αὐτοῦ εἴη
ὅπερ βούλεται καὶ ὅπερ ὑπολαμβά-
-νει· καὶ ἐὰν ψηφίσηται ὀφείλειν πεμ-
-φθῆναί τινας· ὥστε παρόντας αὐ-
-τοὺς μετὰ τῶν ἐπισκόπων κρίνειν·
ἔχοντας τὴν αὐθεντίαν τοῦ ἀπο-

φείλαντος αὐτοῖς· ἐν τῇ κρίσει αὐτοῦ
εἴη· ἐὰν δὲ καὶ νομίσῃ ἀρκεῖν τοῖς ἐπι-
σκόποις ἵνα πέρας τῷ πράγματι
ἐπιθῶσι· ποιήσει τὸ τῇ συνετωτά-
τῃ αὐτοῦ βουλῇ παριστάμενον:—
αὶ ἀναγνωσθέντων, ἀλύπιος ἐπί-
σκοπος τῆς θεαγαστέων ἐκκλησίας
τοποτηρητὴς τῆς νουμιδικῆς
ἐπαρχίας, εἶπεν:—
Περὶ τούτου ἤδη καὶ τοῖς ἀμφοτέροις
γράμμασι τῆς συνόδου ἡμῶν ἀντε-
γράψαμεν· καὶ τοῦτο ὑμᾶς φυλάξειν
ὁμολογοῦμεν τὰ ὁρισθέντα ὑπὸ τῆς
ἐν νικαίᾳ συνόδου· ὅμως ἐπεὶ ἐμὲ
κινεῖ· ὅτι ἐν τῷ ἐπισκήπτειν ἡμᾶς
τοῖς γραικοῖς ἴσως ταύτης τῆς ἐν α
νικαίᾳ συνόδου· ταῦτα ἐχεῖ οὐχ οἶδα
ποίῳ λόγῳ οὐδαμῶς εὑρόμεν· ὅθεν
αἰτοῦμεν τὴν τιμιότητα τὴν σὴν
ἁγιώτατε πάπα αὐρήλιε:—
Ἐπειδὴ τὰ αὐθεντικὰ τῆς ἐν νικαίᾳ α
συνόδου ἐν κωνσταντινουπόλει λέ-
γεται εἶναι· τιμὰς μετὰ γραμμάτων
τῆς ὑμετέρας ἁγιωσύνης πέμψαι
καταξιώσατε· καὶ μὴ μόνον πρὸς
αὐτὸν τὸν ἁγιώτατον ἀδελφὸν ἡμῶν
τὸν τῆς κωνσταντινουπόλεως ἐπί-

-σκοπον· ἀλλὰ καὶ τὸν τῆς ἀλεξαν-
-δρείας καὶ ἀντιοχείας. τοῖς προσ-
-κυνητοῖς ἱερεῦσι· οἵτινες τὴν αὐτὴν
σύνοδον ἡμῖν μεθ' ὑποσημειώσεως
τῶν οἰκείων γραμμάτων ἀποστείλω-
-σιν· ὥστε πᾶσαν μετὰ ταῦτα ἀμ-
-φισβήτησιν ἀφαιρεθῆναι· ἐπειδὴ
καὶ ἡμεῖς οὕτως ὡς ὁ ἀδελφὸς φαυ-
-στῖνος ἤγαγεν· οὐδαμῶς εὕρομεν
ταῦτα· ὅμως ἡμᾶς πρὸς ὀλίγον φυ-
-λάξαντας ὡς προεῖπον ἕως οὗ τὰ
ἐντελῆ ἴσα ἔλθωσιν ὁμολογοῦμεν·
ὀφείλομεν δὲ αἰτῆσαι γράμμασιν ἡ-
-μετέροις καὶ τὸν σεβασμιώτατον
τῆς ἐκκλησίας ῥώμης ἐπίσκοπον
βονιφάτιον· ἵνα καὶ αὐτὸς ὁμοίως
καταξιώσῃ πρὸς τὰς μνημονευ- ἀπο
-θείσας ἐκκλησίας στεῖλαί τινας. ὀφει-
-λοντας τὰ αὐτὰ ἴσα κατὰ τὰ παρ'
αὐτοῦ γραφέντα ἀγαγεῖν· μηδὲ τῆς
μνημονευθείσης ἐν νικαίᾳ συνόδου.
ἅπερ ἔχομεν ἴσα τοῖς πεπραγμέ-
-νοις τούτοις συζεύξομεν:—
φαυστῖνος ἐπίσκοπος τοποτηρη-
-τὴς τοῦ ῥώμης εἶπεν· οὐδὲ ἡ ὑμε-
-τέρα ἁγιωσύνη πρόκριμα ποιεῖ(ν)
τῇ ἐκκλησίᾳ ῥώμης· εἴτε περὶ τούτ(ων)

τοῦ κεφαλαίου· εἴτε περὶ ἄλλων· ἐπει
δὴ ἠξίωσεν ὁ ἀδελφὸς καὶ συλλειτουρ
γὸς ἡμῶν ἀλύπιος ἀμφιβόλοις εἶναι
τοῖς χαμόνας· ἀλλὰ ταῦτα πρὸς τὸ
ἁγιώτατον καὶ μακαριώτατον πά
παν ἡμῶν γράψαι κατηξιώσατε·
ἵνα καὶ οὗτος ὁλοκλήροις τοῖς χαμό
νας συζητῶν μετὰ τῆς ὑμετέρας
ἁγιωσύνης· περὶ πάντων τῶν ἀρι
θέντων πρακταῖς· ἀρκεῖ γὰρ ἵνα
καθὼς ἡ ὑμετέρα ἁγιωσύνη παρ' ἑ
αυτῇ πρακτεύσει· οὕτω καὶ αὐτὸς καθ'
ἑαυτὸν συζητήσει· μήπως φιλονει
κία μεταξὺ τῶν ἐκκλησιῶν ποιῇ ἀνα-
φύῃ· ἀλλὰ μᾶλλον ἀδελφικὴ ἀγάπη· γ'
βουλεύσασθαι ἀντιγράφων τὸν ἀπ
πὸ ὀφείλει κρειττόνως φυλαχθῆναι:—
Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐκ τοῦ
ὧν προτεθεικαμεν ἐν τοῖς πεπραγ
μένοις· ἀνάγκη ἐστὶ καὶ γράμμασι τῆς
ἡμετέρας μετριότητος τῷ ἁγιωτά
τῳ ἀδελφῷ καὶ συλλειτουργῷ ἡμῶν
βονιφατίῳ πάντα ὅσα ψηλαφῶ
μεν εἰς πλήρες ἐμφανίσαι· ἐὰν τοί
νυν πᾶσιν ἀρέσκῃ ἡ ὑμετέρα ἐπακο
λούθησις. καὶ τῷ μὲν στόματι πάντες:—
Σύμπασα ἡ σύνοδος εἶπεν· ἀρέσκει:—

ουάτος ὁ ἐπίσκοπος τοποτηρητὴς
μαυριτανίας σιφένσου· εἶπε· με-
-μνήμεθα ἡμῶν τοῦτο τὸ κοινιμονητώ-
-ριον περὶ πρεσβυτέρων· ἐπὶ μὴν καὶ
διακόνων περιέχειν· πῶς ὀφείλου-
-σιν ἀπὸ τῶν ἰδίων ἐπισκόπων· ἢ
ἐκ τῶν ὁμορρούντων ἀκούεσθαι· ὅ-
περ ἐν τῇ μικαέων συνόδῳ, οὐδ' ἀμ ὡς
ἀνεγνωσμένον· διὰ τοῦτο αὐτὸ κελεύσα-
ἡ ὑμετέρα ἁγιωσύνη ἀναγνωσθῆναι· —
Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἀναγνω-
σθῆναι ἐπὶ τόπου καὶ τοῦτο τὸ ἐν τοῖς
-μνημων: Δανιὴλ νοτάριος ἀνέγνω· Π-
ερὶ ἐγκλήτων δὲ κληρικῶν· τουτέστι τοῦ
ἤτ τομος τόπου τῆς συνόδου· με-
-βαία ἐστὶν ἀπόκρισις· περὶ ἧς τί με-
-λετε πράττειν· ἡγησάμεθα ὀφείλειν
ἐνταγῆναι· ἐπειδὴ οὕτως λέλεκται· —
Ὅσιος ἐπίσκοπος εἶπε· τὸ ἐπιχινοῦ ὀψ-
με. σιωπῆσαι οὐκ ὀφείλω· ἐὰν τις
τύχῃ ἐπίσκοπος ὀργίλος· ὅπερ οὐκ
ὀφείλει ταχέως ἢ καὶ τραχέως κινη-
-θεὶς κατὰ πρεσβυτέρου ἢ διακόνου
ἰδίου· ἀφορίσαι τοῦτον τῆς ἰδίας θε-
-λήσει ἐκκλησίας· προνοητέον ἐστὶν ἵνα
μὴ ἀναιτίως καταχριθῇ ἢ ἀπολέσῃ τὴν
κοινωνίαν; ἐχέτω ἐξουσίαν ὁ ἐκκληθ

προσελθεῖν τοῖς ὁμόρροις· ὥστε
ἀκουσθῆναι τὴν αἰτίαν αὐτοῦ καὶ
ἐπιμελέστερον ψηλαφηθῆναι· κἀκεῖ-
νος δὲ ὁ ἐπίσκοπος· ὃ εἴτε δικαίως·
εἴτε ἀδίκως ἐκβαλὼν αὐτὸν· ἀνεξι-
κάκως δέξεται· ὅπως τὸ πρᾶγμα ἐπι-
σκοπηθῇ· καὶ ἢ κυρωθῇ· ἢ διορθωθῇ
ἡ ψῆφος αὐτοῦ καὶ τὰ λοιπά:—
αὶ τούτων ἀναγνωσθέντων· αὐγου-
στῖνος ἐπίσκοπος τῆς ἐκκλησίας
ἱππώνης τῆς νουμιδικῆς χώρας,
εἶπε· Καὶ τοῦτο ἡμᾶς φυλάξον-
τας ὁμολογοῦμεν· σῳζομένης
τῆς ἐπιμελεστέρας ζητήσεως τῆς
ἐν νικαίᾳ συνόδου:—
Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐὰν ἔτι
μὴν καὶ τοῦτο ἀρέσκῃ τῇ ἀποκρίσει
τῆς πάντων ὑμῶν ἀγάπης, μηνύ-
σατε:— Σύμπασα ἡ σύνοδος
εἶπε· πάντα τὰ ἐν τῇ νικαέων συ-
νόδῳ ὁρισθέντα, πᾶσιν ἡμῖν ἀρέ-
σκουσιν:— Ἰουχοῦντος ἐπίσκοπος
ἰουπφετουλης ἐκκλησίας· τοποτη-
ρητὴς τῆς βυζακηνῆς χώρας, εἶπε·
τὰ ὁρισθέντα ὑπὸ τῆς ἐν νικαίᾳ συνό-
δου, παρατραπῆναι ὑπό τινος, οὐ-
δαμῶς δύναται:—

Φαυστῖνος ἐπίσκοπος τοποτηρη-
τὴς τῆς ἐκκλησίας Ῥώμης, εἶπεν·
ἀληθῶς κατὰ τὴν ἐπαγγελίαν τῆς
ὑμετέρας ἁγιωσύνης· τοῦτο μὲν
τοῦ ἁγίου Ἀλυπίου· τοῦτο δὲ καὶ τοῦ
ἀδελφοῦ ἡμῶν Ἰουκούντου· πρῶ
ἀκυροῦσθαι πιστεύω· πρῶτον μὲν καὶ
οῦσθαι· ὅπερ οὐκ ὀφείλει ἀμφίβολον
εἶναι ἐχομένων τῶν αὐτῶν κανό-
νων· τοιγαροῦν ὡς ἀρέσκει καὶ ὑμῖν
καὶ ἡμῖν πρὸς τὸν ἁγιώτατον καὶ
σεβασμιώτατον ἐπίσκοπον τῆς
ἐκκλησίας Ῥώμης· ἀναγαγεῖν ἡ ὑ-
μετέρα ἁγιωσύνη καταξιώσει· ἵνα
καὶ αὐτὸς ὅπερ ὁ ἁγιώτατος αὐτοῦ
φῖνος ὁρίσαι κατηξίωσε· σκέψασθαι
δυνηθῇ ἑκάτερον· καὶ γὰρ τοῦτο πα-
ραχωρητέον ἐστὶ καὶ σιωπητέον·
τοῦτ' ἔστι περὶ τῶν ἐγκλημάτων τῶν κα-
τωτέρων κληρικῶν· ἐὰν ἀληθῶς εἰς
ἀμφίβολόν ἐστι· καὶ περὶ τούτου τοῦ
κεφαλαίου, δίκαιόν ἐστι τὸν ἐπίσκο-
πον τοῦ μακαρίου θρόνου ὀφείλει
τυπῶσαι· εἰ μέντοι ἀποδέχεσθε
τοῦτο, ἐν τοῖς κανόσιν εὑρεθῆναι
δύναται:- Αὐρήλιος ἐπίσκοπος
εἶπε· τὰ ἐκπάλαι τῇ ὑμετέρᾳ ἁγιωσύνῃ

παρ' ὑμῶν ἐμφανισθέντα ἶσα
τῶν ὁρισθέντων τῆς ἐν Νικαίᾳ
συνόδου, νῦν κατεδέξασθε· ἀλλὰ
καὶ τὰ ἐκ τῶν ἡμετέρων καθηγη-
τῶν· κατὰ τὴν αὐτῆς συνόδου τύ-
πον ὁρισθέντος· ἐπειδὴ καὶ τὰ νῦν
παρ' ἡμῶν ταχθέντα ἀναγνωσ-
θῆναι, καὶ τοῖς πεπραγμένοις
ἐμβληθῆναι:-

Σύμπασα ἡ σύνοδος εἶπε· τὰ ἶσα
τῆς πίστεως καὶ τοὺς ὅρους τῆς
ἐν Νικαίᾳ συνόδου· τοὺς πάλαι πρὸ
ἡμᾶς διὰ Καικιλιανοῦ τοῦ προηγη-
τοῦ τῆς ὑμετέρας ἁγιωσύνης προ-
σενεχθέντας· ἐπειδὴ καὶ ἀπὸ ἐρ-
τούτοις ἑπόμενοι τὰ μέρη ἐν τῷ
θαι κατέστησαν· καὶ νῦν δὲ κοινῇ
συζητήσει παρ' ἡμῶν ὡρίσθησαν·
τούτοις τε τοῖς ἐκκλησιαστικοῖς πε-
πραγμένοις ἐμβληθέντα· μείνωσ-
σι δῆλον ὅτι καθὼς προλέλεκται
πρὸς τοὺς εὐλαβεστάτους ἐπισκόπους
πους ἐκκλησιῶν· ἀντιοχείας· ἀλε-
ξανδρείας καὶ κωνσταντινουπόλε-
ως· γράψαι καταξιώσῃς τῆς ὑμε-
τέρας μακαριότητος· ἵνα τὰ ἀλη-
θέστατα ἶσα τῆς ἐν Νικαίᾳ συνόδου.

μεθ' ὑποσημειώσεως οἰκείων γραμ-
μάτων ἀποστείλωσιν· ὅπως ἂν φα-
νερωθείσης τῆς ἀληθείας. τὰ κεφά-
λαια ταῦτα ἀναγνωσθέντων τῶν κομμονη-
τωρίων ὁ ἀδελφὸς καὶ συνεπίσκοπος
ἡμῶν Φαυστῖνος καὶ οἱ συμπρεσβύ-
τεροι· Φίλιππος· καὶ Ἀσέλλος μεθ' ἑ-
αυτῶν ἤγαγον· ἢ ἐκεῖνα εὑρίσκομεν
ἀφ' ἡμῶν κυρωθῶσιν· ἢ ἐὰν μὴ εὑρε-
θῶσι· συνηγμένης ἔτι τῆς συνόδου·
περὶ τούτων ὁ ζῆς συζητήσωμεν:—
ἀνιὴλ νοτάριος τῆς ἐν Νικαίᾳ συνό-
δου τὴν ὁμολογίαν τῆς πίστεως καὶ
τοὺς ὅρους αὐτῆς ἀνέγνω· ἐν τῇ τῶν
Ἄφρων συνόδῳ:—

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντοκρά-
τορα· ὁρατῶν τε καὶ ἀοράτων ποι-
ητήν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ
θεοῦ· τὸν γεννηθέντα ἐκ πατρὸς μονο-
γενῆ· τουτέστιν ἐκ τῆς οὐσίας τοῦ πατρός·
θεὸν ἐκ θεοῦ· φῶς ἐκ φωτός· θεὸν ἀληθινὸν
ἐκ θεοῦ ἀληθινοῦ· γεννηθέντα οὐ ποι-
ηθέντα· ὁμοούσιον τῷ πατρί· δι' οὗ τὰ
πάντα ἐγένετο· τά τε ἐν οὐρανῷ τά
τε ἐν γῇ· τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ
διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα

καὶ σαρκωθέντα καὶ ἐνανθρωπήσαντα· παθόντα καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀνελθόντα εἰς τοὺς οὐρανούς· καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ πατρός· καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον· τοὺς δὲ λέγοντας. ἦν ποτε οὐκ ἦν. καὶ πρὸ τοῦ γεννηθῆναι οὐκ ἦν· καὶ ὅτι ἐξ οὐκ ὄντων ἐγένετο· ἢ ἐξ ἄλλης οὐσίας λέγοντας· ἀλλοιωτὸν ἢ τρεπτὸν τὸν υἱὸν τοῦ θεοῦ, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία:—

Ὁμοίως δὲ καὶ οἱ ὅροι τῆς ἐν νικαίᾳ συνόδου, ἐν κεφαλαίοις ἀνεγνώσθησαν. ἔπειτα τὰ ἐν ταῖς συνόδοις τῆς ἀφρικῆς νομοθετηθέντα τοῖς παροῦσι πεπραγμένοις ἐντιθέμεθα γινώσκονται· ὥστε τὰ ἐν τῇ νικαέων συνόδῳ ὁρισθέντα, παντὶ τρόπῳ φυλαχθῆναι:—

Αὐρήλιος ἐπίσκοπος εἶπε· ταῦτα οὖν παρ' ἡμῖν ἔχονται ἴσα· τῶν ὁρισθέντων· ἅπερ τότε οἱ πρέσβεις ἡμῶν ἐκ τῆς ἐν νικαίᾳ συνόδου μεθ' ἑαυτῶν κατήγαγον· ἧς τὸν τύπον φυλάττοντες ταῦτα ἑπόμενα καὶ ὁρισθέντα παρ' ἡ-

-μένων, βεβαιωθέντα φυλαχθήσονται:—
ερὶ κηρυκτέας τῆς ἁγίας τριάδος·
σύμπασα ἡ σύνοδος εἶπεν:—
Θέλοντος τοῦ θεοῦ, ἐν ἴσῃ ὁμολογίᾳ· ἡ
ἐκκλησιαστικὴ πίστις ἡ δι᾽ ἡμῶν παρα-
δεδομένη, ἐν ταύτῃ τῇ ἐνδόξῳ συμβου-
-λεύσει. πρὸς τὸ τύπος ὁμολογητέαν
ἐστίν· ἔπειτα ἡ ἐκκλησιαστικὴ τάξις
μετὰ συναινέσεως ἑκάστου. καὶ ὁμοῦ
πάντων φυλακτέα ἐστί· προσβεβαι-
-ωτέας δὲ τὰς τῶν ἀδελφῶν καὶ συνε-
-πισκόπων ἡμῶν τῶν ἐν ἀντιοχείᾳ χει-
-ροτονηθέντων διανοίας· ταύτας δὲ
προσθεῖναι ἀναγκαῖον παρὰ τῶν πατέρων βε-
-βαίαν διατυπώσει παρελάβομεν·
ὥστε τῆς τριάδος. τουτέστι πατρὸς καὶ
τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος τὴν ἑνότη-
-τα· τὴν μηδεμίαν ἔχειν διαφορὰν
γινώσκομεν ἡμῖν· ἣν ταῖς ἡμετέραις
διανοίαις ἐγκαθιερωθεῖσαν κατέχο-
-μεν· καὶ καθὼς ἐμάθομεν, οὕτως
τοὺς λαοὺς τοῦ θεοῦ διδάσκομεν:—
μοίως αὐτὸ πάντων τῶν ἐπισκό-
-πων τῶν ἐν ἀντιοχείᾳ προαχθέντων
ἐλέχθη φανερῶς:—
ὕτως δεχόμεθα· οὕτως κατέχομεν·
οὕτως διδάσκομεν· τῇ πίστει τῇ εὐαγ-

B

-γελικῇ· ἅμα τῇ ὑμετέρᾳ διδασκαλί-
-ᾳ ἑπόμενοι :— Περὶ ἐγκρατείας:

r — Αὐρήλιος ἐπίσκοπος εἶπεν· τῆς προλαβού-
σης συνόδου· ὅτε περὶ ῥυθμοῦ ἐγκρατεί-
-ας καὶ ἁγνείας ἐζητεῖτο· ἥρμοζεν ὥσ-
τε τοὺς τρεῖς βαθμοὺς τούτους· τοὺς
συνδεδεμένους τινὶ τῆς ἁγνείας· διὰ τῆς
καθιερωσύνης συμπεπλεγμένους·
φημὶ δὴ ἐπισκόπους· πρεσβυτέρους·
διακόνους· ὡς πρέπει ὁσίοις ἐπισκό-
-ποις καὶ ἱερεῦσι θεοῦ καὶ λευίταις καὶ λει-
-τουργοῦσι θείοις καθιερώμασιν ἐγ-
-κρατεῖς εἶναι ἐν πᾶσιν· ὅπως δυνη-
-θῶσιν ὃ παρὰ τοῦ θεοῦ ἁπλῶς αἰτοῦ-
-σιν ἐπιτυχεῖν· ἵνα καὶ τὸ διὰ τῶν ἀ-
-ποστόλων παραδοθὲν· καὶ ἐξ αὐτῆς
τῆς ἀρχαιότητος κρατηθὲν· καὶ ἡ-
-μεῖς ὁμοίως φυλάξωμεν:—

Περὶ διαφόρων τάξεων ὀφειλουσῶν
ἀπέχεσθαι γυναικῶν:—

Φαυστῖνος ἐπίσκοπος πικένου τῆς
ποτεντίνης χώρας τοποτηρητὴς
τῆς ἐκκλησίας ῥώμης εἶπεν· ἀρέ-
-σκει ἵνα ἐπίσκοπος καὶ πρεσβύτερος
καὶ διάκονος καὶ πάντες οἱ τὰ ἱερὰ
ψηλαφῶντες καὶ τῆς σωφροσύνης
φύλακες· γυναικῶν ἀπέχονται:—

ὑπὸ πάντων τῶν ἐπισκόπων ἐ-
λέχθη· ἀρέσκει πᾶσι τε πάντας σω-
φροσύνην τηρεῖν τοὺς τῷ θυσιαστη-
ρίῳ δουλεύοντας :– Περὶ ἀπληστίας:
Αὐρήλιος ἐπίσκοπος εἶπε· τὴν τῆς ε
ἀπληστίας ἐπιθυμίαν ἣν πάντων
τῶν κακῶν μητέρα εἶναι οὐδεὶς ἀμφι-
βάλλει· δεόμεθα ἐπέχειν· ἵνα μή τις τοῖς
ἀλλοτρίοις ὅροις καταχρήσηται·
μηδὲ εἶναι διὰ κέρδος τοὺς τῶν πα-
τέρων ὅρους τινὰ ὑπερβαίνειν· μὴ
δὲ ἐξεῖναι παντοίως κληρικῶν τινὶ ὅλον
ἐκ ὁποιουδήποτε πράγματος
τόκον λαμβάνειν· καὶ τὰ μὲν νεωστὶ ἀνα-
μεχθέντα ἀμαυροῦνται καὶ καθό-
λου λανθάνοντα σκοπούμενα παρ᾽
ἡμῶν τυπωθήσονται· περὶ ὧν δὲ
φανερώτατα ἡ θεία γραφὴ ἐθέσπι-
σεν, οὐ δεῖ ψηφίζεσθαι· ἀλλὰ μᾶλλον
ἕπεσθαι· ἀκολούθως γὰρ τὸ ἐν λαϊ-
κοῖς ἐπίληψιμον· πολλῷ μᾶλλον ἐν
κληρικοῖς ὀφείλει καταδικάζεσθαι :–
Σύμπασα ἡ σύνοδος εἶπεν· οὐδεὶς
κατὰ τῶν προφητῶν· οὐδεὶς κα-
τὰ τῶν εὐαγγελίων χωρὶς κινδύνου
ἐποίησεν :– Ὥστε χρίσμα ἀπὸ
πρεσβυτέρων μὴ γίνεσθαι :–

ϙ Φουρτουνάτος ἐπίσκοπος εἶπεν·
ἐν ταῖς προλαλούσαις συνόδοις
μεμνήμεθα ταῦτα ὁρισθέντα·
ὥστε χρίσμα· ἢ καταλλαγὴν μετα-
νοούντων, ἢ τόπων καθιέρωσιν,
ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι·
ἐὰν δέ τις ἀναφύῃ τοῦτο πράττων·
τί δεῖ περὶ τούτου ὁρίσαι:—
Αὐρήλιος ἐπίσκοπος εἶπε· τὸ ὑμέ-
τερον ἀξίωμα, ἤκουσε τὸ ἀνενεχθὲν
παρὰ τοῦ ἀδελφοῦ καὶ συλλειτουρ-
γοῦ ἡμῶν Φουρτουνάτου· τί πρὸς
ταῦτα λέγετε:— Ἀπὸ πάντων
τῶν ἐπισκόπων ἐλέχθη· χρίσμα-
τος ποίησις· καὶ τόπων καθιέρω-
σις· ἀπὸ πρεσβυτέρων μὴ γίνεσθαι·
μήτε δὲ καταλλάξαι τινὰ εἰς δημοσί-
αν λειτουργίαν πρεσβυτέρῳ ἐξεῖναι·
τοῦτο πᾶσιν ἀρέσκει:— ζ
Περὶ τῆς τῶν ἐν κινδύνῳ καθεστώτων
καταλλαγῆς:· Αὐρήλιος ἐπίσκο-
πος εἶπεν:— Ἐάν τις ἐν κινδύ-
νῳ καθεστὼς αἰτήσῃ ἑαυτὸν καταλ-
λαγῆναι τοῖς ἱεροῖς θυσιαστηρίοις·
τοῦ ἐπισκόπου ἀπόντος· ὀφείλει
εἰκότως ἐρωτῆσαι ὁ πρεσβύτερος
τὸν ἐπίσκοπον· καὶ οὕτως τὸν ἐν

κινδύνως καταλλάξαι κατὰ τὴν ἐκεί-
μου παραγγελίαν· τοῦτο δὲ τὸ προοίμιον
μαι. ὀφείλομεν στρατόδει μουλῆ χυζῶν(?):
πὸ πάντων τῶν ἐπισκόπων ἐλέ-
χθη· ἀρκεῖ ὅπερ ἡ ὑμετέρα ἁγιωσύνη
ἀναγκαίως ἡμᾶς ὠφελῆσαι κατηξί-
ωσεν:~ Περὶ τῶν τοὺς πρεσβυτέρους αἰ- Η
τιωμένων· καὶ ὅτε μηδὲ μὴ ἰδίᾳ με-
μνημένως ὄζειν αἱ ἐπισκόπων κατηγορ(ίαι):
Νουμίδιος ἐπίσκοπος Μαξουλιτανὸς
εἶπεν· εἰ πολλοὶ οὐκ ἀναθήσαν ἀνα-
στροφῆς· οἵτινες νομίζουσι τοὺς
πρεσβυτέρους καὶ ἐπισκόπους ὡς ἔτυχεν
ὀφείλειν ἐνάγεσθαι· τοὺς τοιούτους
προσδέχεσθαι ἢ μή:~
Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἀρέσκει
τοίνυν τῇ ἀγάπῃ ὑμῶν. τοὺς εἰς τὴν
μίσην ἐμπεπλεγμένους· κατὰ τῶν προει-
ρημένων κατηγορίας ἀποτίθεσθαι:~
Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη·
ἐὰν διαμένῃ ὁ τοιοῦτος, μὴ προσ-
δεχθῇ:~ Περὶ τῶν κατ' ἀξίαν τῶν
οἰκείων ἁμαρτημάτων· ἐκ τοῦ ἐκκλη-
σιαστικοῦ συλλόγου ἐκβαλλομένων:~
Αὐγουστῖνος ἐπίσκοπος τοποτηρη- Θ
τὴς τῆς Νουμιδικῆς χώρας εἶπε·
τοῦτο ὁρίσαι καταξιώσατε· ὅτε

τοὺς ἀξίους τῶν οἰκείων ἐγκλημάτων
ἀπὸ τῆς ἐκκλησίας ἐκδιωχθέντας·
ἐάν τις ἐπίσκοπος· ἢ πρεσβύτερος·
δόξῃ τινὶ εἰς κοινωνίαν· καὶ αὐτὸς ἐ-
πὶ μὴν τοῖς ἐγκλήμασιν ὑπεύθυνος
φανῇ καὶ γένηται· ἅμα τοῖς ἐκ τοῦ
οἰκείου ἐπισκόπου τὴν κανονικὴν
ψῆφον ἐκφυγοῦσιν· —
Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη·
πᾶσιν ἀρέσκει· — ι
Περὶ πρεσβυτέρων τῶν ἀπὸ τῶν
οἰκείων κατεγνωσμένων ἐπι-
σκόπων· — Ἀλύπιος ἐπίσκοπος
τοποτηρητὴς τῆς Νουμηδικῆς
χώρας εἶπεν· οὐδὲ ἐκεῖνο δεῖ πα-
ρεάσαι· ἵνα ἐάν τις τυχὸν πρεσβύ-
τερος· ἀπὸ τοῦ ἰδίου ἐπισκόπου κα-
ταγνωσθῆς· φυσιότητι τινὶ καὶ ὑπ-
ερηφανίᾳ ἐπαρθείς. ἡγήσεται ὀφείλειν
κεχωρισμένως θυσίας τῷ θεῷ προσφέ-
ρειν· ἢ ἄλλο ἀντορθοῦν θυσιαστήριον
οἰηθείη κατὰ τῆς ἐκκλησιαστικῆς
πίστεως· ὁ τοιοῦτος ἀτιμώρητος
μὴ ἐξέλθῃ· — Βαλεντῖνος ἐπίσκο-
πος τῆς πρώτης καθέδρας τῆς
Νουμηδικῆς χώρας εἶπεν· ἀναγκαί-
ως τῇ ἐκκλησιαστικῇ καταφάσει καί

τάξει· σύμφωνα δέ ἐστι τὰ παρὰ τοῦ
ἀδελφοῦ ἡμῶν Ἀλυπίου προσενε-
χθέντα· λοιπὸν τί δοκεῖ τῇ ὑμετέ-
ρᾳ ἀγάπῃ· εἴπατε :~ ια
Ἐάν τις πρεσβύτερος κατὰ τοῦ ἰδίου
ἐπισκόπου φυσιωθῇ· σχίσμα ποι-
ήσῃ, ἀνάθεμα ἔστω :~
Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐ-
λέχθη· ἐάν τις πρεσβύτερος ἐν
τῇ διαγωγῇ αὐτοῦ καταγνωσθῇ·
ὀφείλει ὁ τοιοῦτος τοῖς γειτνιῶσιν
ἐπισκόποις προσαγγεῖλαι· ἵνα αὐ-
τοὶ τοῦ πράγματος ἀκροάσωνται·
καὶ δι᾽ αὐτῶν τῷ ἰδίῳ ἐπισκόπῳ
καταλλαγῇ· τοῦτο δὲ ἐὰν μὴ ποιήσῃ·
ἀλλ᾽ ὅπερ ἀπείη ὑπεροψίᾳ φυσιού-
μενος ἐκ τῆς τοῦ ἰδίου ἐπισκόπου
κοινωνίας ἑαυτὸν χωρίσῃ· καὶ παρ᾽
μίαν μετά τινων σχίσμα ποιῶν·
θυσίασμα τῷ θεῷ προσενέγκει· ὁ τοιοῦ-
τος ἀνάθεμα λογισθήτω· καὶ τὸν
ἴδιον τόπον ἀπολεσάτω· σκοπου-
μένου μήποτε κατὰ τοῦ ἐπισκόπου
μέμψιν ἔχῃ δικαίαν :~ ιβ
Περὶ τοῦ ἐάν τις ἐπίσκοπος χωρὶς
καιροῦ συνόδου ἐγκλήματι περιλη-
θῇ· ὁ τοιοῦτος ἀκουσθῆναι ὀφείλει

ἀπὸ δώδεκα ἐπισκόπων:—

Φίλης ἐπίσκοπος εἶπεν· ἀναφερέ
σθω καὶ τὰ ὁρισθέντα ἐκ τῶν πα
λαιῶν συνόδων· ἵνα ἐάν τις ἐπί
σκοπος ὅπερ ἀπείη ἔν τινι ἐγκλή
ματι περιπέσῃ· καὶ γένηται πολλὴ
ἀνάγκη τοῦ μὴ δύνασθαι πολλοὺς
συνελθεῖν· διὰ τὸ μὴ ἀπομεῖναι αὐ
τὸν ἐν τῷ ἐγκλήματι. ἀπὸ δώδεκα
ἐπισκόπων ἀκουσθῇ· καὶ ὁ πρεσ
βύτερος ἀπὸ ς΄ ἐπισκόπων. καὶ
τοῦ ἰδίου· καὶ ὁ διάκονος. ἀπὸ τριῶν:—

ιγ΄ Περὶ τοῦ μὴ ἐξεῖναι ἐπίσκοπον εἰ μὴ
ἀπὸ πολλῶν χειροτονεῖσθαι· εἰ δὲ
ἀνάγκη γένηται, κἂν ἀπὸ τριῶν ὁ
ἐπίσκοπος χειροτονηθείη:—

Αὐρήλιος ἐπίσκοπος εἶπε· τί πρὸς
ταῦτα λέγει ἡ ὑμῶν ἁγιωσύνη· ὀφεί
λει παρ' ἡμῶν τὰ ὁρισθέντα ἐκ τῶν
πρὸ ἡμῶν φυλαχθῆναι· ὧν τινων
ὡς ἔτυχεν ἀβούλως οἱ πρωτεύον
τος τῆς οἱασδήποτε ἐπαρχίας
οὐ καταπολμῶσι· πολλοὶ οἱ συνεπίσκο
ποι συναχθέντες ἐπίσκοπον χει
ροτονήσουσιν· εἰ δὲ ἀνάγκη γένηται,
τρεῖς ἐπίσκοποι ἐν οἱῳδήποτε τό
πῳ ἂν ὦσι· τῷ τοῦ πρωτεύοντος

παραγγέλματι χειροτονήσουσι
τὸν ἐπίσκοπον· καὶ ἐάν τις ἐν τινι
ἐναντιωθῆ τῆ ἰδίᾳ ὁμολογίᾳ· ἢ τῆ
ὑπογραφῆ· αὐτὸς ἑαυτὸν ἀποφέρει
τῆς τιμῆς:— Ὥστε ἀπὸ τριπό-
λεως, ἕνα ἐπίσκοπον εἰς τὸ ποτη- ιδ
ρησίαν ἐλθεῖν· καὶ ὥστε τὸν πρεσβύ-
τερον ἐκεῖσε, ἀπὸ πέντε ἀκούεσθαι
ἐπισκόπων:— Ὁμοίως ἤρεσεν
ἀπὸ τριπόλεως διὰ τὴν τῆς χώρας
ἔνδειαν, ἕνα ἐπίσκοπον εἰς τὸ πο-
τηρησίαν ἐλθεῖν· καὶ ἵνα ὁ πρεσβύ-
τερος ἐκεῖσε ἀπὸ πέντε ἀκούεται
ἐπισκόπων· καὶ ὁ διάκονος ἀπὸ τρι-
ῶν· ὡς ἀνωτέρω εἴρηται τοῦ ἰδίου
αὐτοῦ δηλονότι ἐπισκόπου προκα-
θημένου:— Περὶ διαφόρων τά- ιε
ξεων τῇ ἐκκλησίᾳ δουλευουσῶν· ὥσ-
τε ἐάν τις ἐγκληματικὸν πρᾶγμα
περιπέσῃ· καὶ παραιτήσηται τὸ ἐκ-
κλησιαστικὸν δικαστήριον, ὀφείλειν
τὸν τοιοῦτον κινδυνεύειν· καὶ ὥσ-
τε τὰ τέκνα τῶν ἱερέων κοσμικοῖς
θεωρείοις, μὴ προσάγεσθαι:—
Ὁμοίως ἤρεσεν· ἵνα ὅστις δή ποτε
τῶν ἐπισκόπων· ἢ πρεσβυτέρων·
ἢ διακόνων· ἢ κληρικῶν· πράγματος

αὐτῶν ἐγκληματικοῦ· ἢ πολιτικοῦ·
ὄντων τῇ ἐκκλησίᾳ κινουμένου· ἐὰν πα-
ραιτούμενος τὸ ἐκκλησιαστικὸν δι-
καστήριον δημοσίοις θελήσῃ καθαρ-
θῆναι δικαστηρίοις· κἂν ὑπὲρ αὐτοῦ
ἡ ψῆφος ἐκφωνηθῇ· ὅμως τὸν ἴδιον
τόπον ἀπολέσει· καὶ τοῦτο μὲν ἐπὶ
τοῦ ἐγκληματικοῦ· ἐπὶ δὲ τοῦ πολιτι-
κοῦ ἀπολέσει τὸ εἰς ὃ ἐνίκησεν· ἐὰν τὸν
ἴδιον τόπον θελήσῃ κατέχειν· καὶ τοῦ
ποιεῖν μὴν ἠρέθεν· ὥστε ἐὰν ἀπὸ τῶν
δήποτε δικαστῶν ἐκκλησιαστικῶν ἐπὶ
ἄλλους δικαστὰς ἐκκλησιαστικοὺς ἔχον-
τας μείζονα τὴν αὐθεντίαν· ἐκκλητο-
εύωνται μηδὲν βλάπτειν τούτους·
ὧν ἡ ψῆφος λύεται· ἐὰν ἐλεγχθῆναι μὴ
δυνηθῶσιν ἢ κατ' ἔχθραν ἢ κατὰ προ-
σπάθειαν δεδικακέναι ἢ τιμὴ χάριτι
ὑποφθαρῆναι· ἐὰν δὲ κατὰ τὴν συναίνε-
σιν τῶν μερῶν ἐπιλεγέντες τῶν ὡς δικα-
σταί· εἰ καὶ ὀλιγώτεροι ὦσιν ταῖς τῶν ὁρι-
σθέντων· μηδ' ἐξεῖναι ἐκκαλεῖσθαι· καὶ
ὥσπερ τὰ τέχναι τῶν ἱερέων, θεωρεῖα
κοσμικὰ μὴ ἐκτελεῖν· μηδὲ θεωρεῖν·
τοῦτο δὲ καὶ πᾶσι τοῖς χριστιανοῖς ἀπο-
κεκήρυκται· ὥστε ὅπου βλασφημία
ἐστὶ, μὴ προσιέναι :~

[Ὥ]στε μηδένα ἐπίσκοπον· ἢ πρεσβύ- ιε
τερον· ἢ διάκονον ἐκλήψιν τιμαι λαμ-
βάνειν· καὶ ὥστε τοὺς ἁμαρτήσαντας
λαμβάνειν· καὶ ἵνα οἱ κληρικοὶ τόκους
μὴ λαμβάνωσιν· ἀλλὰ μόνον ἅπερ
δεδώκασι χρήσει εἴτε χρήματα εἴτε
εἴδη· καὶ ποίῳ δὴ καιρῷ χειροτονεῖ-
σθαι διάκονον :—
[Ὁ]μοίως ἢ ρεσβυ ἵνα ἐπίσκοποι καὶ
πρεσβύτεροι καὶ διάκονοι ἐκλήπτο-
ρες μὴ γίνωνται ἢ προκουράτορες.
μηδὲ ἐκ τινος αἰσχροῦ ἢ ἀτίμου πράγ-
ματος τροφὴν πορίζονται· ὀφείλου-
σι γὰρ ἀποπλέψαι εἰς τὸ γεγραμμένον·
οὐδεὶς στρατευόμενος τῷ θεῷ ἐμ-
πλέκει ἑαυτὸν πράγμασι κοσμικοῖς :—
[Π]ρεσβύτερος ὥστε τοὺς ἁμαρτήσαντας εἰς τὸν
καιρὸν τῆς ἡμης δ' ἐρχομένους. ἀναγ-
κάζεσθαι ἢ συμμίους ἀγαγέσθαι· ἢ ἐγ-
κράτειαν ὁμολογεῖν :—
[Ὁ]μοίως ἢ πρεσβύτ· ἵνα κληρικὸς ἐὰν χρή-
ματα δῶσιν χρήσει, τὰ χρήματα λά-
βῃ· ἐὰν δὲ εἴδος. ὅσον δέδωκε λάβῃ· καὶ
ἵνα πρὸ τῶν εἴκοσι πέντε ἐτῶν μή-
τε διάκονοι χειροτονῶνται :— ιϛ
[Ὥ]στε ἑκάστην ἐπαρχίαν διὰ τὸ μακρο-
δαπέδω προστεύονται ἔχειν ἴδιον :—

Ἤρεσεν ἵνα ἡ Μαυριτανία Σιτιφέν-
σης ὡς ᾐτήσε τὸν πρωτεύοντα
τῆς Νουμηδικῆς χώρας, ἧς τινος
ἐκ τῆς συνόδου κεχώρισται, ἴδιον ἔχῃ
πρωτεύοντα· συναινέσει πάντων
τῶν πρωτευόντων τῶν Ἀφρικανῶν
ἐπαρχιῶν καὶ πάντων ἐπισκόπων.
διὰ τὸ μακρὸν διάστημα ἔχειν, ἐπετράπη:

ιη Πᾶν τις κληρικὸς χειροτονῆται, ὀφεί-
λει ὑπομιμνήσκεσθαι τοὺς ὅρους φυ-
λάττειν· καὶ ἵνα τοῖς σώμασι τῶν
ἀποθανόντων, εὐχαριστία μὴ δίδο-
ται· μηδὲ βάπτισμα· καὶ ἵνα καθ'
ἕκαστον ἐνιαυτὸν εἰς πάσας τὰς ἐ-
παρχίας πρὸς σύνοδον οἱ μητρο-
πολῖται ἔρχονται:—

Ὁμοίως ἤρεσεν ὥστε χειροτονουμέ-
νων ἐπισκόπων ἢ κληρικῶν πρότε-
ρον ἀπὸ τῶν χειροτονούντων αὐτοὺς
δεδογμένα ταῖς συνόδοις εἰς τὰς
ἀκοὰς αὐτῶν ἐντίθεσθαι· ἵνα μὴ ποι-
οῦντες κατὰ τῶν ὅρων τῆς συνόδου
μεταμεληθῶσιν: ὁ κανὼν περιέχει:

Ὁμοίως ἤρεσεν ἵνα τοῖς σώμασι τῶν
τελευτώντων, εὐχαριστία μὴ δοθῇ·
γέγραπται γάρ· λάβετε φάγετε· τὰ δὲ
τῶν νεκρῶν σώματα, οὐδὲ λαβεῖν

δύνανται· οὐδὲ φανεῖν·

Καὶ ἵνα μὴ τοῖς ἤδη τελευτῶν τὰς
βαπτισθῆναι ποιήσῃ· ἢ τῶν πρεσ-
βυτέρων ἄγνοια·

Διὸ βεβαιοῦντες ὅρον ἐν αὐτῇ τῇ ἁγίᾳ
συνόδῳ· ὥσπερ κατὰ τοὺς ἐν Νικαίᾳ
ὅρους διὰ τὰς ἐκκλησιαστικὰς αἰτίας·
αἵτινες πολλάκις πρὸς ὄλεθρον τοῦ
λαοῦ παλαιοῦνται· καθ' ἕκαστον ἐνι-
αυτὸν σύνοδον συγκαλεῖσθαι· πρὸς
ἣν πάντες οἱ τῶν ἀρχιερέων τὰς πρώ-
τας καθέδρας ἐπέχοντες ἐκ τῶν
οἰκείων συνόδων· δύο· ἢ καὶ ὅσους
ἐπιλέξονται ἐπισκόπους· τοποτη-
ρητὰς ἀποστείλωσιν· ἵνα ἐν τῇ συ-
ναχθείσῃ συνελεύσει πλήρης εἶναι
δυνηθείη αὐθεντίας· ιθ

Ὥστε ἐπισκόπους κατηγορουμένους·
πρὸς τὸν προστεύοντα τῆς αὐτοῦ
ἐπαρχίας τὸ πρᾶγμα ἀναμενεχθῆναι·

Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἐάν τις
τῶν ἐπισκόπων κατηγορῆται πα-
ρὰ τοῖς τῆς ἑαυτοῦ χώρας προστε-
ύουσιν· ὁ κατήγορος ἀναγάγῃ τὸ πρᾶγ-
μα· καὶ μηδὲ ἀπὸ τῆς κοινωνίας
κωλυθῇ ὁ κατηγορούμενος· εἰ μὴ
δι' αὐτὸς πρὸς ἀπολογίαν ἐν τῷ δικα-

φηρίων τῶν ἐπιλεγομένων δικάζειν·
γράμμασι προσκληθεὶς τῇ ὁρισμένῃ
ἡμέρᾳ οὐδαμῶς ἀπαντήσῃ· τουτέ
στιν ἐντὸς προθεσμίας μηνός. ἀφ'
ἧς ἡμέρας φανείη τὰ γράμματα
δεξάμενος· ἐὰν δὲ ἀληθεῖς καὶ ἀναγ
καίας αἰτίας ἀποδείξῃ τὰς αὐτῷ
κωλυσάσας. ἀπαντῆσαι πρὸς ἀ
πολογίαν τῶν κατ' αὐτοῦ προτε
θέντων· ἐντὸς ἑτέρου μηνὸς ἀκε
ραίαν ἐχέτω εὐκαιρίαν· μετὰ δὲ τὸν
δεύτερον μῆνα, μὴ κοινωνήσῃ· ἕως
οὗ καθαρῶς ἀποδειχθῇ· εἰ δὲ πρὸς
σύμπασαν τὴν ἐτησίαν σύνοδον
ἀπαντῆσαι μὴ βουληθείη· ἵνα κἂν
ἐκεῖ τὸ πρᾶγμα αὐτοῦ περαιωθῇ·
αὐτὸς καθ' ἑαυτοῦ τῆς καταδίκης
τὴν ψῆφον ἐκπεφωνηκέναι κριθή
σεται· ἐν δὲ τῷ καιρῷ ᾧ οὐ κοινωνεῖ
μηδὲ ἐν τῇ ἰδίᾳ ἐκκλησίᾳ. μηδὲ ἐν
παροικίᾳ κοινωνήσῃ· ὁ δὲ τούτου
κατήγορος ἐὰν μηδαμοῦ ἀπολειφθῇ
ἡμέραις αἷς ἡμέραις ἐξετάζεται τὰ τοῦ
πράγματος, μηδαμῶς κωλυθείη
ἀπὸ τῆς κοινωνίας· ἐὰν δέ ποτε
ἐλλείψῃ ἑαυτὸν ὑποσύρας ἀποκαθι
σταμένου τῇ κοινωνίᾳ τοῦ ἐπισκό

πῳ·

αὐτὸς ἀπὸ τῆς κοινωνίας ἐκβληθῇ
ὁ κατήγορος· οὕτως μέντοι ὡς μὴ καὶ
καὶ τὴν εὐχέρειαν αὐτῷ ἀφαιρεῖσθαι
τῆς κατηγορίας τοῦ πράγματος·
ἐὰν δυνηθείη ἀποδεῖξαι κατὰ τὴν
προθεσμίαν. οὐχὶ μὴ τεθεληκέναι·
ἀλλὰ μὴ δεδυνῆσθαι ἀπαντῆσαι·
ἐκείνου δηλουμένου τοῦ σὺν τῷ κινεῖσθαι
τὰ τοῦ πράγματος ἐν τῷ τῶν ἐπι-
σκόπων δικαστηρίῳ· ἐὰν δι' ἀμεληταί
τὸ πρόσωπον τοῦ κατηγορουμένου·
μὴ προσδεχθῇ εἰς κατηγορίαν· εἰ μὴ
δ' ἂν ὑπὲρ ἰδίου πράγματος· μὴ μέν-
τοι περὶ ἐκκλησιαστικοῦ θελήσῃ ἐπι-
μαχέσθαι:- ερὶ πρεσβυτέρων
καὶ κληρικῶν κατηγορουμένων:-
ὰν δὲ πρεσβύτεροι ἢ διάκονοι κατη-
γορηθῶσι προσζευγνυμένου τοῦ νομί-
μου ἀριθμοῦ τῶν ἐκ τῆς πλησιαζού-
σης τοποθεσίας αἱρετικῶν ἐπισκόπων
οὓς οἱ κατηγορούμενοι αἰτήσονται·
τουτέστιν ἐν τῷ ὀνόματι τοῦ πρεσβυτέ-
ρου ἓξ καὶ τοῦ διακόνου τριῶν· σὺν
τούτοις αὐτοῖς ὁ ἴδιος τῶν κατηγο-
ρουμένων ἐπίσκοπος· τὰς αἰτίας
αὐτῶν ἐξετάσει τοῦ αὐτοῦ τῶν ἡμε-
ρῶν καὶ ὑπερθέσεων καὶ ἐξετάσεως·

καὶ προσώπων. μεταξὺ τῶν κα
τηγορούντων καὶ κατηγορουμένων
τύπου φυλαττομένου· τῶν δὲ λοι
πῶν κληρικῶν τὰς αἰτίας. καὶ μόνος
ὁ ἐν τόπῳ ἐπίσκοπος διαγνῶ καὶ
περατώσει:- Ὥστε τὰ τέκνα
τῶν κληρικῶν ἐν συνοικεσίῳ μὴ
συνάπτεσθαι αἱρετικοῖς:- κα
μοίως ἢ ρέσβυν ὥστε τὰ τέκνα τῶν
κληρικῶν. ἐθνικοῖς ἢ αἱρετικοῖς. γα
μικῶς μὴ συνάπτεσθαι:- κβ
Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κλη
ρικοὺς. μηδὲν αὖ συνάγειν τοῖς μὴ ὀρ
θοδόξοις χριστιανοῖς καὶ συγγενεῖς
κγ ἐπὶ μήκεσιν:- Ὥστε τοὺς ἐπισκό
πους πέραν θαλάσσης μὴ ἀποδημεῖν:-
μοίως ἐπίσκοποι πέραν θαλάσσης.
μὴ ἀποδημείτωσαν. εἰ μὴ μετὰ ψη
φίσματος τῆς πρώτης καθέδρας
τοῦ ἰδίου ἑκάστης χώρας ἐπισκόπου·
τουτέστιν. εἰ μὴ ἀπ' αὐτοῦ τοῦ πρωτε
ύοντος κατ' ἐξαίρετον λάβοι. τὴν ἥτις
λέγεται ἀπολυτικὴν τετυπωμένην.
ἤτοι παράθεσιν:- κδ
Ὥστε ἐκτὸς τῶν καθολικῶν γραφῶν
μηδὲν ἐν τῇ ἐκκλησίᾳ ἀναγινώσκεσθαι
μοίως ἢ ρέσβυν ἵνα ἐκτὸς τῶν κανο

νικῶν γραφῶν μηδὲν ἐν τῇ ἐκκλησίᾳ
ἀναγινώσκηται. ἐπ᾽ ὀνόματι θείων
γραφῶν· εἰσὶ δὲ αἱ κανονικαὶ γραφαί·
τουτέστι· γένεσις· ἔξοδος· λευιτικόν·
ἀριθμοί· δευτερονόμιον· ἰησοῦς ὁ τοῦ
ναυῆ· κριταί· ῥούθ· τῶν βασιλειῶν
βίβλοι τέσσαρες· τῶν παραλειπο-
μένων βίβλοι δύο· ἰώβ· ψαλτήριον·
σολομῶντος βίβλοι πέντε· τῶν
προφητῶν βίβλοι δώδεκα· ἡσαΐας·
ἱερεμίας· ἰεζεκιήλ· δανιήλ· τωβίας·
ἰουδήθ· ἐσθήρ· ἔσδρα βίβλοι δύο·
τῆς νέας διαθήκης εὐαγγέλια τέσ-
σαρα· πράξεων τῶν ἀποστόλων βί-
βλος μία· ἐπιστολαὶ παύλου δεκα-
τέσσαρες· πέτρου ἀποστόλου ἐπι-
στολαὶ δύο· ἰωάννου ἀποστόλου τρεῖς·
ἰακώβου ἀποστόλου μία· ἰούδα ἀ-
ποστόλου μία· ἀποκάλυψις ἰωάννου
ἀποστόλου βίβλος μία· τοῦτο δὲ
τοῖς ἀδελφοῖς καὶ συλλειτουργοῖς ἡμῶν
βονιφατίῳ. καὶ τοῖς ἄλλοις τῶν αὐ-
τῶν μερῶν ἐπισκόποις πρὸς ἐπικύρω-
σιν τοῦ προκειμένου κανόνος γνω-
ρισθῇ· ἐπειδὴ παρὰ τῶν πατέρων ταῦ-
τα ἐν τῇ ἐκκλησίᾳ ἀναγνωστέα πα-
ρελάβομεν:—

Statuta sive decreta cap. 3º
in alio antigrapho

κε Περὶ ἐπισκόπων καὶ τῶν ἑπομένων
τάξεων τῶν τὰ ἅγια μυστήρια ψηλα-
φούντων· ἤρεσεν ἀπὸ γυναικῶν ἐγκρα-
τεύεσθαι. — Αὐρήλιος ἐπίσκοπος εἶπε·
Προστίθημι, ἀδελφοὶ τιμιώτατοι, πρὸς
ἐπὶ τούτοις, ἐδόθη τὸ ἀναφέρεσθαι ἐν ἔ-
χειν ἐγκρατείας τῆς περὶ τὰς ἰδίας
γυναῖκας τινῶν κληρικῶν· ἐξαιρέτως
ἀναγνωστῶν· τὸ καὶ ἐν διαφόροις συ-
νόδοις βεβαιωθέν· ὥστε τοὺς ὑπο-
διακόνους τοὺς τὰ ἱερὰ μυστήρια
ψηλαφῶντας· καὶ τοὺς διακόνους
καὶ πρεσβυτέρους· ἀλλὰ καὶ τοὺς ἐπι-
σκόπους κατὰ τοὺς ἰδίους ὅρους καὶ
ἐκ τῶν συμβίων ἐγκρατεύεσθαι· ἵν'
ὡς μὴ ἔχοντες ὦσιν· ὅπερ εἰ μὴ ποιή-
σωσι, τοῦ ἐκκλησιαστικοῦ ἀποκινηθῶ-
σι καθήκοντος· τοὺς δὲ λοιποὺς κληρι-
κοὺς πρὸς τοῦτο μὴ ἀναγκάζεσθαι εἰ
μὴ ἐν προβεβηκυίᾳ χήρᾳ. —
Ἀπὸ πάσης ἐλέχθη τῆς συνόδου·
Πᾶν ὃ ἡ ὑμετέρα ἁγιωσύνη δικαίως ἐ-
ρρύθμισεν ἱεροπρεπῆ ὄντα καὶ θεαρέ-
στα, βεβαιοῦμεν. Ὥστε μὴ ὑπό τινος
κϛ διασπᾶσθαι τὰ τῆς ἐκκλησίας πράγματα.
Ὁμοίως ἤρεσεν ἵνα πρᾶγμα ἐκκλησια-
στικὸν μηδεὶς πιπράσκῃ· ὅπερ πράγματα

-μα ἐὰν πρόσοδον μὴ ἔχῃ· καὶ πολλή
ς ἐπείγει ἀνάγκη τοῦτο ἐμφανίζε
-σθαι τῷ πρωτεύοντι τῆς αὐτῆς ἐ
παρχίας καὶ μετὰ τοῦ ὡρισμένου
ἀριθμοῦ τῶν ἐπισκόπων βουλε
-ύεσθαι τί δεῖ πρᾶξαι· εἰ δὲ τοσαύτη ἐ
πείγει ἀνάγκη τῆς ἐκκλησίας· ὡς
μὴ δύνασθαι πρὸ τοῦ πωλεῖν βου
-λεύεσθαι· καὶ τοὺς γείτονας εἰς
μαρτυρίαν καλέσει ὁ ἐπίσκοπος· φρον
-τίδα ποιούμενος τοῦ ἀποδεῖξαι
τῇ συνόδῳ πάσας τὰς συμβάσας
τῇ ἐκκλησίᾳ αὐτοῦ περιστάσεις· ὅπερ
εἰ μὴ ποιήσῃ, ὑπεύθυνος τῷ θεῷ καὶ
τῇ συνόδῳ φανῇ, καὶ ἀλλότριος τῆς
οἰκείας τιμῆς:— Πρεσβύτεροι καὶ κϛ
διάκονοι· ἐπὶ βαρυτέρῳ ἁμαρτήμα
-τι ἐλεγχθέντες· χειροθεσίαν ὡς λα
-ϊκοὶ μηδαμῶς ὑποδέξονται:— Ὁ
-μοίως ἐσημειώθη· ὡς ἐάν ποτε πρε
-σβύτεροι ἢ διάκονοι ἐπί τινι βαρυτέ
-ρᾳ ἁμαρτίᾳ ἐλεγχθῶσι· τὴν ἀναγκαί
-ως αὐτοὺς τῆς λειτουργίας ἀποκινοῦ
-σι· μὴ ἐπιτίθεσθαι αὐτοῖς χεῖρας οἷς
ὡς μετανοοῦσιν· ἢ ὡς πιστοῖς λαϊκ.
μὴ δὲ ἐπιτρέπεσθαι αὐτοῖς ὥστε ἀνα
-βαπτιζομένους πρὸς τὸν τοῦ κλήρου

Statuta ex concilio aphri[illegible]
cano, [illegible]

βαθμὸν προκόπτειν:— κη

Πρεσβύτεροι καὶ διάκονοι καὶ κληρικ(οὶ)
οἱ ἐν τῷ ἰδίῳ πράγματι ἔγκλητον πα
ρέχοντες· ἐπὶ τὰ πέραν τῆς θαλάσ
σης εἰς κοινωνίαν μηδαμῶς δεχθῶσι:—
Ὁμοίως ἤρεσεν ἵνα οἱ πρεσβύτεροι
καὶ οἱ διάκονοι καὶ οἱ λοιποὶ κατώτε
ροι κληρικοὶ ἐν αἷς ἔχουσιν αἰτίαις·
ἐὰν τὰ δικαστήρια μέμφωνται τῶν
οἰκείων ἐπισκόπων· οἱ γείτονες ἐπί
σκοποι ἀκροάσονται αὐτῶν· καὶ με
τὰ συναινέσεως τοῦ ἰδίου ἐπισκό
που. τὰ μεταξὺ αὐτῶν διαιτήσωσιν
οἱ προσκαλούμενοι παρ' αὐτῶν ἐπί
σκοποι· διὸ εἰ καὶ περὶ αὐτῶν ἔγκλητον
παρέχειν νομίσωσι· μὴ ἐκκαλέσων
ται εἰς τὰ πέραν τῆς θαλάσσης δι
καστήρια· ἀλλὰ πρὸς τοὺς πρωτε
ύοντας τῶν ἰδίων ἐπαρχιῶν· ὡς
καὶ περὶ τῶν ἐπισκόπων πολλάκις
ὥρισται· οἱ δὲ πρὸς περαματικὰ δι
καστήρια διεκκαλούμενοι, παρ' οὐ
δενὸς ἐν τῇ ἀφρικῇ δεχθῶσιν εἰς
κοινωνίαν:— Εἴ τις ἀπὸ κοινω
κθ νίας ὢν πρὸ τοῦ ἀκουσθῆναι κοινω
νῆσαι τολμήσοι αὐτὸς καθ' ἑαυτοῦ
τὴν καταδίκην προήγαγεν:—

Ὁμοίως ἤρεσεν ἐν πάσῃ τῇ συνόδῳ·
ἵνα ὁ διὰ ῥαθυμίαν αὐτοῦ ἀποκοι-
νωνίας γενόμενος· εἴτε ἐπίσκοπος· κθ
εἴτε οἷος δή ποτε κληρικὸς· ἐὰν ἐν τῷ
καιρῷ τῆς ἀκοινωνησίας αὐτοῦ πρὸ
τοῦ ἀκουσθῆναι εἰς κοινωνίαν τολ-
μήσοι, αὐτὸς καθ᾽ ἑαυτοῦ τῆς κατα-
δίκης τὴν ψῆφον δόξει ἐνηνοχέναι κρί:
Περὶ κατηγοροῦντος καὶ κατηγορουμένου:
Ὁμοίως ἤρεσεν ἵνα ὁ κατηγορούμε- λ
νος ἢ ὁ κατηγορῶν· ἐν τῷ τόπῳ ὅθεν
ἐστὶν ὁ κατηγορούμενος· ἐὰν φοβῆται
τινα βιαίαν προπετείας πολυπληθεί-
ας· τόπον ἑαυτῷ ἐπιλέξηται ἐγγύς·
ἐν ᾧ οὐ χαλεπὸν ἔσται αὐτῷ διὰ χερεία μάρτυ-
ρας προκομίσαι· ἔνθα τὸ πρᾶγμα
περατοῦται:— Ἐάν τινες κληρι- λα
κοὶ ἐκ τῶν ἰδίων ἐπισκόπων προωθ-
ούμενοι καταφρονῶσι· μηδὲ ἐκεῖ
μένωσιν· ὅθεν ἀναχωρῆσαι οὐκ ἠ-
Ὁμοίως ἤρεσεν ἵνα οἱ οἷοι δή ~ θέλησαν:
ποτε κληρικοὶ καὶ διάκονοι· ἐὰν μὴ
πειθαρχῶσι τοῖς ἐπισκόποις αὐτῶν·
βουλόμενοι διά τινας ἀναγκαίας
αἰτίας τῶν ἐκκλησιῶν αὐτῶν· τού-
τοις πρὸς μείζονας ἂν ἀνάξειν τι-
μὰς ἐν τῇ ἐκκλησίᾳ αὐτῶν· μηδὲ ἐν

ἐκείνῳ τῷ καθιδρύματι διακονήσωσιν
ἐξ οὗ ἀναχωρῆσαι οὐκ ἠθέλησαν:—
λβ Ἐάν τις τῶν κληρικῶν πενιχρὸς προ-
κόψας εἰς τὴν ἀξίαν κτήσηταί τι πο-
τε· ὑποκεῖσθαι τῇ ἐξουσίᾳ τῆς ἐπισκοπῆς:—
Ὁμοίως ἤρεσεν ἵνα ἐπίσκοποι· πρεσ-
βύτεροι· διάκονοι· ἢ καὶ οἱοιδήποτε
κληρικοί· οἱ μηδὲν ἔχοντες· ἐὰν προ-
κόψαντες ἐν τῷ καιρῷ τῆς ἐπισκο-
πῆς· ἢ τῆς κληρώσεως αὐτῶν· ἀγροὺς
ἢ οἱαδήποτε χωρία· ἐπ' ὀνόματι ἰδί-
ῳ ἀγοράσωσιν· ἵνα ὡς κατὰ δεσπο-
τικῶν πραγμάτων ἔφοδον πεποι-
ηκότες ἐνέχωνται· εἰ μὴ ἄρα αὐτοὶ τὸν
ὑπομνησθέντες τῇ ἐκκλησίᾳ ταῦτα
εἰσκομίσωσιν· ἐὰν δὲ εἰς αὐτοὺς κυ-
ρίως φιλοτιμία τινὸς ἢ διαδοχὴ συγ-
γενείας περιέλθῃ ἐξ αὐτοῦ ποιήσω-
σιν ὃ ἔχει ἡ πρόθεσις αὐτῶν· εἰ δὲ καὶ
μετὰ τὸ προθέσθαι εἰς τοὐπίσω με-
ταστραπῶσι· τῆς ἐκκλησιαστικῆς
τιμῆς ἀνάξιοι ὡς ἀδόκιμοι κριθῶσιν:—
λγ Ὥστε πρεσβυτέρου πράγματα τῆς ἐκ-
κλησίας ἐν ᾗ καθιέρωνται μὴ πιπρά-
σκειν· καὶ ὥστε μηδενὶ ἐπισκόπῳ
ἐξεῖναι πράγματα καταχρήσασθαι
τοῦ τίτλου τῆς ἐκκλησιαστικῆς μα-
τρικος·

[Ὁ]μοίως ἤρεσεν· ὥστε τοῖς πρεσβυ-
τέροις παρὰ γνώμην τῶν ἰδίων
αὐτῶν ἐπισκόπων πράγματα μὴ
πιπράσκειν τῆς ἐκκλησίας ἐν ᾗ καθι-
έρωνται· ὃν τρόπον καὶ τοῖς ἐπι-
σκόποις· οὐκ ἔξεστι πιπράσκειν χω-
ρία τῆς ἐκκλησίας· ἀγνοούσης τῆς
συνόδου· ἢ τῶν ἰδίων πρεσβυτέρων·
μὴ οὔσης τοίνυν ἀνάγκης· μηδὲ ἐπι-
σκόπῳ ἐξεῖναι καταχρήσασθαι πρά-
γματι· ἐκ τοῦ τίτλου τῆς ἐκκλησιαστι-
κῆς ματρικος:—

[Ἀ]νεγνώσθησαν ἐπὶ μὲν ἐν ταύτῃ τῇ
συνόδῳ· διάφοροι σύνοδοι πάσης
τῆς τῶν Ἄφρων χώρας· ἐπιτελεσ-
θεῖσαι ἐν τοῖς προλαβοῦσι χρόνοις:—
[Α]ὐρηλίου ἐπισκόπου Καρχηδόνος·
ἐκ τῆς συνόδου τῆς ἐν Ἱππῶνι Ῥε-
γίῳ γενομένης· ἐπὶ τοῦ ἐνδοξοτάτου
βασιλέως Θεοδοσίου Αὐγούστου τὸ
τρίτον· καὶ ἐπὶ Ἀβουνδαντίου τοῦ λαμ-
προτάτου ὑπάτου ὀγδόῃ ἰδοῖς ὀκτω-
βρίαις ἐν Ἱππῶνι Ῥεγίῳ εἰς τὸ σέκρε-
τον τῆς ἐκκλησίας πάκης· καὶ τὰ
λοιπὰ πεπραγμένα ταύτης τῆς
συνόδου· διὰ τοῦτο οὐκ ἐγράφησαν·
ἐπειδὴ τὰ ἐν αὐτῇ ὁρισθέντα, ἐν τοῖς

ἀμφοτέρωθεν ἐκινήθη τὰ ἐγκείμενα :—

Ἐκ τῆς συνόδου καρχηδόνος· ἐν ᾗ θαυ
τοποτηρηταὶ ἐπίσκοποι τῆς ἀν
θυπατιανῆς πρὸς τὴν σύνοδον
ἀποστέλλονται ἀνδρέου μέτου :—

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων
ἀρκαδίου τὸ τρίτον καὶ ὁνωρίου τὸ
δεύτερον· τῶν αὐγούστων ὑπάτων·
πρὸ δεκαοκτὼ καλανδῶν ἰουλίων εἰς
καρχηδόνα :—

Ἐν ταύτῃ τῇ συνό
δῳ τοποτηρηταὶ ἐπελέγησαν· ἐπί
σκοποι ἀνθυπατιανοὶ· πρὸς τὴν ἀν
δρέου μετὰ τὴν σύνοδον :—

Ἐκ τῆς συνόδου καρχηδόνος· ἐν ᾗ θα
πολλὰ ὡρίσθησαν :—

Ἐπὶ καισαρίου καὶ ἀττικοῦ τῶν λαμ
προτάτων ὑπάτων· τῇ πρὸ πέντε
καλανδῶν ἐν καρχηδόνι· εἰς τὸ σε
κρέτον τῆς ἐκκλησίας ῥεστιτούτης·
ἐν τῷ προκαθέζεσθαι αὐρήλιον ἐπί
σκοπον ἅμα ἐπισκόποις· παρεστώ
των τῶν διακόνων· παραγενομέ
νων ἔτι μὴν οὐίκτωρος τοῦ γέροντος
τοῦ πουππιανίτου· τούτου τοῦ μι
γριτιτανοῦ εὐαγγέλου· ἄσσου που
ταμοῦ· ὡμίλησε πρὸς τοὺς ἐπισκό
πους αὐρήλιος ἐπίσκοπος καρχη :—

Αὐρήλιος ἐπίσκοπος εἶπε· μετὰ
τὴν προορισθεῖσαν ἡμέραν τῆς
συνόδου καθημένων ἡμῶν ὡς οἱ
μέμνησθε ἀδελφοὶ μακαριώτατοι·
καὶ προσδοκώντων τῶν ἐκ πασῶν τῶν
ἐπαρχιῶν τῆς Ἀφρικῆς· τοποτη-
-ρητὰς παραγενέσθαι πρὸς τὴν
ἡμέραν τῆς ἡμετέρας ζητήσεως·
τὴν ὡς προεῖπον προορισθεῖσαν·
ἀλλὰ καὶ ἀναγνωσθείσης ἐπιστολῆς
τῶν ἀπὸ τοῦ Βυζακίνου συλλειτουρ-
-γῶν ἡμῶν· κἀκείνου δὲ ἔτι μὴν παρα-
-γινωσκομένου τῇ ὑμετέρᾳ ἀγάπη·
ἔτι ἅμα ἐμοὶ συνεζήτησαν· οἳ τὸν
καιρὸν καὶ τὴν ἡμέραν τῆς συνόδου
προλαβόντες· ἐπὶ μὴν ἀνεγνώσθη·
καὶ ἀπὸ τῶν ἀδελφῶν Ὀνωράτου
καὶ Οὐρβανοῦ· τῶν ἅμα ἡμῖν σήμε-
-ρον τῆς συνόδου μετεχόντων· το-
-ποτηρησία ἀποσταλεῖσα τῆς Σι-
-τιφένσης χώρας· πάλιν δὲ καὶ ὁ ἀ-
-δελφὸς Ῥήγινος τῆς Μεγετσαληνῆς
ἐκκλησίας· γράμματα τῇ ἐμῇ με-
-τριότητι ἐνεφάνισεν· ἀπὸ Χρισκεν-
-τιανοῦ καὶ Αὐρηλίου τῶν συλλειτουρ-
-γῶν ἡμῶν· τῶν πρώτων τῆς κα-
-θέδρας τῶν δύο Νουμηδιῶν· ἐν οἷς

γράμμασι τούτοις ἐπαγγείλασθαι μέ-
μνηται ἅμα ἐμοὶ ἡ ὑμετέρα ἀγάπη·
ὅτι ἢ αὐτοὶ κατηξιοῦμεν ἐλθεῖν πρὸς τ(ὴν) αὐ-
τὴν τὴν σύνοδον· ἢ κατὰ τὸ ἔθος ἀ-
ποστεῖλαι εἴχομεν τοποτηρητάς· ἐπεὶ
δὲ τοῦτο οὐδαμῶς πέγομε· διαμαρτύ-
ρονται ἀπὸ τοσούτου μήκους τῆς
μαυρητανίας στι φθόνσης ἐλθόντ(ες)
τοποτηρηταί· ἐπὶ πολὺ μὴ δυνάμεθα
ἐμβραδύνειν· διὰ οὖν τοῦτο ἀδελφοὶ
ἐὰν δοκῇ τῇ ὑμετέρᾳ ἀγάπῃ τὰ γράμ-
ματα τῶν ἀπὸ τοῦ βυζακίου ἀδελφῶν
ἡμῶν καὶ τὸ μρέωμον δὲ ὅπερ τῇ αὐτῇ
ἐπιστολῇ προσέδησαν· ἐν ταύτῃ τῇ
παρακλήτῳ συνελεύσει ἀναγνωσθῶ-
σιν· ἵνα ἐάν τινα τυχὸν ἐξ αὐτῶν ἐνφανῶ-
σι τῇ ὑμετέρᾳ ἀγάπῃ· ὅσα διὲ ἐπιμελεί-
ας δυνηθῶσι διορθωθῆναι, εἰσκρεῖτ-
τονα μεταπυθῶσιν· τοῦτο γὰρ
ὁ ἀδελφὸς καὶ συνεπίσκοπος ἡμῶν
μειζόνιος· ὅτι τῆς πρώτης καθέδρας
περιφανέστατος ἀνήρ· ἀξίως τοῦ ὄγ-
κου καὶ τῆς συνέσεως αὐτοῦ γράφων
πρὸς τὴν ἐμὴν εὐτέλειαν ἤτησεν·
ἐὰν οὖν ἀρέσκῃ, ταῦ συζητηθέντα ἀνα-
γνωσθῶσι· καὶ ἔχαρα ἐκ τῆς ὑμετέρας
καταμονηθῶσιν ἀγάπης·—

ποῦ δὲν ἐκ τῆς ἐν ἱππῶνι συνόδου, λδ
εἶναι διορθωτέον :- Ἐπίτομος ἐπί
σκοπος εἶπεν· ἐν τούτῳ τῷ χρειώδ
τῷ ἀποδρεφθεῖσιν τι ἐκ τῆς ἐν ἱππῶνι
συνόδου· οὐδὲν νομίζω μὲν εἶναι διορ
θωτέον ἢ προσθετέον· εἰ μὴ ἵνα ἡ ἡ
μέρα τοῦ ἁγίου πάσχα· ἐν τῷ καιρῷ,
τῆς συνόδου μηνυθείη :-

Περὶ τοὺς ἐπισκόπους καὶ κληρικούς. [illegible]
μὴ εὐχορεῖς τὰ τέκνα αὐτῶν ποιῆ
ἐμαγκήπητα :- λε

Ὥστε τοὺς ἐπισκόπους καὶ τοὺς κλη
ρικούς· τὰ τέκνα αὐτῶν· μὴ ἐᾶν αὐ
τεξουσίους ἀπὸ ἑαυτῶν διὰ ἐμαγκηπα
τίωνος· εἰ μὴ δι' ἂν εἰς τοὺς τρόπους
καὶ εἰς τὴν ἡλικίαν αὐτῶν πληροφο
ρηθῶσιν· ὡς λοιπὸν τὰ ἁμαρτήμα
τα αὐτῶν εἰς αὐτοὺς συντείνειν :-

Περὶ τοῦ ἐπισκόπους καὶ κληρικοὺς
μὴ χειροτονεῖσθαι· εἰ μὴ πάντας λϛ
τοὺς ἰδίους χριστιανοὺς ποιήσωσιν :-

Ὥστε ἐπισκόπους καὶ πρεσβυτέρους
καὶ διακόνους μὴ χειροτονεῖσθαι·
πρὶν ἢ πάντας τοὺς ἐν τῷ οἴκῳ
αὐτῶν χριστιανοὺς ὀρθοδόξους ποι
ήσωσιν :- Περὶ τοῦ μὴ ἐξεῖναι
περαιτέρω ἄρτου καὶ οἴνου καὶ ὕ

-δατος μεμιγμένου. τί ποτε ἐν τοῖς
ἁγίοις προσφέρειν: — λζ

Ἵνα ἐν τοῖς ἁγίοις μηδὲν πλέον τοῦ
σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ
προσενεχθείη· ὡς καὶ αὐτὸς ὁ Χριστὸς
παρέδωκε. τουτέστιν ἄρτου καὶ οἴνου
ὕδατι μεμιγμένου· ἀπαρχὴ δὲ. εἴ-
τε μέλι· εἴτε γάλα ὡς εἴωθε προσφέ-
ρεσθαι ἐν μιᾷ ἡμέρᾳ ἐθίμως· εἰς τὸ
τῶν νηπίων μυστήριον· εἰ καὶ τῷ
μάλιστα γὰρ ὂν θυσιαστηρίῳ προσ-
φέρεται· ὅμως ἰδίαν ἐχέτω κυρίως
εὐλογίαν· ὡς ἐκ τοῦ ἁγιάσματος τοῦ
κυριακοῦ σώματος καὶ αἵματος
διΐστασθαι· μηδὲν πλέον ἐν ταῖς
ἀπαρχαῖς προσφερέσθω. ἢ ἀπὸ στα-
φυλῶν καὶ σίτου: — λη

Ὥστε κληρικοὺς· ἢ ἐγκρατευομένους
πρὸς παρθένους ἢ χήρας· μὴ εἰσιέναι·
κληρικοὶ ἢ ἐγκρατευόμενοι πρὸς χή-
ρας ἢ παρθένους· εἰ μὴ κατ' ἐπιτρο-
πὴν ἢ συναίνεσιν τοῦ ἰδίου ἐπισ-
κόπου. ἢ τῶν πρεσβυτέρων, μὴ εἰ-
σίτωσαν· καὶ τοῦτο δὲ μὴ μόνοι ποι-
ήτωσαν· ἀλλὰ μετὰ συγκληρικῶν·
ἢ μετὰ τούτων. μεθ' ὧν ὁ ἐπίσκοπος
ἢ οἱ πρεσβύτεροι μόνοι ἔχουσι τὴν

χς

εἴσοδον. πρὸς τὰς τοιουτοτρόπως
γυναῖκας· ἢ ὅπου πάρεισι κληρικοί.
ἢ εὐτιμοί τινες χειροτονοί:— λθ

Περὶ τοῦ τὸν πρώτης καθέδρας ἐπίσκοπον
μὴ προσαγορεύεσθαι ἔξαρχον τῶν
ἱερέων:—

Ὥστε τὸν πρώτης
τῆς καθέδρας ἐπίσκοπον, μὴ
λέγεσθαι ἔξαρχον τῶν ἱερέων. ἢ ἄκρον
ἱερέων. ἢ τοιουτότροπόν τι ποτε·
ἀλλὰ μόνον ἐπίσκοπον τῆς πρώτης
τῆς καθέδρας:— μ

Περὶ τοῦ μὴ καπηλεύεσθαι τοὺς κλη-
ρικοὺς εἰ μὴ ἐπιξενουμένοις:—

Ὥστε τοὺς κληρικοὺς· χάριν τοῦ φα-
γεῖν ἢ πίνειν, μὴ εἰσιέναι εἰς καπη-
λεῖα· εἰ μὴ δι' ὁδοῦ ξενίας ἀνάγκη, σωθῶ
θου μένοις:—

μα

Περὶ τοῦ ἀπὸ νηστι-
κῶν τῷ θεῷ προσάγεσθαι θυσίας:—

Ὥστε τὰ ἅγια θυσιαστηρίου εἰ μὴ ἀπὸ νη-
στικῶν ἀνθρώπων μὴ ἐπιτελεῖσθαι· ἐξη-
ρημένης μιᾶς ἐτησίας ἡμέρας· ἐν
ᾗ τὸ κυριακὸν δεῖπνον ἐπιτελεῖται·
ἐὰν δέ τινων κατὰ τὸν δειλινὸν και-
ρὸν τελευτησάντων. εἴτε ἐπισκόπων.
εἴτε τῶν λοιπῶν παραθῶσι, τελευταί-
μόναις εὐχαῖς ἐκτελεσθῇ. ἐὰν οἱ ταύ-
την ποιοῦντες ἀριστήσαντες εὑρε-
θῶσιν:—

Περὶ τοῦ μηδαμῶς συμπόσια ἐν ταῖς
ἐκκλησίαις ἐπιτελεῖσθαι :- μβ

Ὥστε ἐπισκόπους ἢ κληρικοὺς ἐν τῇ ἐκ-
κλησίᾳ μὴ συμποσιάζεσθαι· εἰ μὴ
δ' ἂν τυχὸν ἀνάγκῃ ξενίας διαμάρτω
ἐκεῖ καταλύσωσι· καὶ οἱ λαοὶ δὲ ἀπὸ
τῶν τοιούτων τρόπων συμποσίων,
ὅσον δυνατὸν ἐπικωλυθῶσιν :-

Περὶ τῶν μετανοούντων :· μγ

Ὥστε τοῖς μετανοοῦσι κατὰ τὴν τῶν
ἁμαρτημάτων διαφορὰν, τῇ τῶν
ἐπισκόπων ψήφῳ, τὰς μετανοίας
ἐν καιρῷ ψηφίζεσθαι· πρεσβύτερος
δὲ παρὰ γνώμην τοῦ ἐπισκόπου,
μὴ καταλλάσσειν μετανοοῦντα· εἰ
μὴ δ' ἂν ἀνάγκης συνωθούσης ἐν τῇ
ἀπουσίᾳ τοῦ ἐπισκόπου· οὕτω μὲν
δή ποτε μετανοοῦντος· εἴ πού ὑψηλ-
κὸν καὶ τεθρυλλημένον ᾖ τὸ ἔγκλημα·
τὸ σύμπασαν τὴν ἐκκλησίαν κινοῦν
πρὸ τῆς ἀψῖδος τούτῳ ἡ χεὶρ ἐπιτε-
θῇ :-

Περὶ παρθένων :- μδ

Ὥστε τὰς ἱερὰς παρθένους ὅτε τῶν
προσῶν χωρίζονται ὑφ' ὧν ἐφυλάττον-
το, τῇ τοῦ ἐπισκόπου· ἢ αὐτοῦ ἀπόν-
τος, τῇ τοῦ πρεσβυτέρου προνοίᾳ
ταῖς τιμιωτέραις γυναιξὶ παρατί-

-θεσθαι ἢ ἅμα κατοικούσας ἀλλήλαις
φυλάττειν· ἵνα μὴ ταύτῃ τάχ' οὖν πλη-
-ρούμεναι τὴν ὑπόληψιν μολύνωσι τῆς
ἐκκλησίας:- Περὶ τῶν ἀθε-
-τούντων καὶ ὑπὲρ αὐτῶν ἀποκρί-
-νασθαι μὴ δυναμένων:- με
Ὥσπερ τοὺς ἀθετοῦντας. οἵτινες
ὑπὲρ ἑαυτῶν ἀποκρίνεσθαι οὐ δύ-
-νανται, τότε κατηγορεῖσθαι· ὅτε τῇ
αὐτῶν προαιρέσει τὴν περὶ αὐτῶν
μαρτυρίαν, κινδύνῳ ἰδίῳ εἴπωσι·
ὥσπερ τοῖς σκηνικοῖς. καὶ μίμοις καὶ
τοῖς λοιποῖς τοιούτοις τρόποις προ-
σώποις. ἢ ἀποστάταις. μετανοοῦ-
-σι καὶ ἐπιστρέφουσι πρὸς τὸν θεόν· χά-
-ριν ἢ καταλλαγὴν μὴ ἀρνεῖσθαι:-
Περὶ τῶν παθόντων μαρτύρων:- μϛ
Ἐξεῖναι ἐπιμιμνήσκεσθαι τὰ πά-
-θη τῶν μαρτύρων· ἡνίκα αἱ ἐτήσιαι
αὐτῶν ἡμέραι τελοῦνται:- μζ
Περὶ δογματιστῶν παίδων τῶν παρὰ
δογματισταῖς βαπτιζομένων:-
Πρεσβυτέρους ἵνα ἐρωτήσωσι μὲν τοὺς ἀδελ-
-φοὺς καὶ συνιερεῖς ἢ μᾶλλον περίχωρον καὶ
συμπολιτικόν· περὶ μόνων τῶν νη-
-πίων τῶν παρὰ αὐτοῖς δογματισταῖς
βαπτιζομένων· μήπως τοῦτο

ὅπερ οἰκείᾳ προθέσει οὐκ ἐποίησαν·
ἢ τῶν γονέων πλάνη ἐμποδίσῃ
αὐτοῖς πρὸς τὸ μὴ προκόπτειν εἰς
ὑπουργίαν τοῦ ἁγίου θυσιαστηρίου·
ὅταν πρὸς τὴν τοῦ θεοῦ ἐκκλησίαν
σωτηριώδει προθέσει ἐπιστρέψωσιν:—
οὕτων δὲ ἐναρχθέντων Ὁνωρά-
τος καὶ Οὐρβανὸς οἱ ἐπίσκοποι τῆς
Μαυριτανίας Σιτιφένσης χώρας εἶπ(ον)·
Ἐκ πολλοῦ ὅτε πρὸς τὴν ὑμετέραν
ἁγιωσύνην ἀποστελλόμεθα· τὰ γρα-
φέντα ὑπερεθέμεθα ταύτῃ τῇ κα-
ταμονήσει· ὅτι προσεδοκῶμεν ἀδελ-
φοὺς ἡμῶν παραγενέσθαι τοποτη-
ρητὰς Νουμηδίας· ἀλλ᾽ ἐπειδὴ οὐκ
ὀλίγαι εἰσὶν ἡμέραι· ἀφ᾽ οὗ οἱ προσδο-
κώμενοι οὐδαμῶς κατέλαβον·
περαιτέρω παριδεῖν τὰ ἐντάλμα-
τα ἡμῖν ἀπὸ τῶν συνεπισκόπων
οὐ δεῖ· καὶ διὰ τοῦτο ἀδελφοὶ τὴν ἀνα-
φορὰν ἡμῶν προθύμως εἰσδέξα-
σθε· περὶ τῆς πίστεως γὰρ τοῦ ἐν
Νικαίᾳ τρακτάτου ἠκούσαμεν· ἀ-
ληθές ἐστι· περὶ τῶν γινομένων μετὰ
τὸ ἄριστον ἁγίων· ἵνα ἀπὸ νηστικῶν
ὡς ἐστὶν ἄξιον προσφέρωνται· καὶ
τότε ἐβεβαιώθη:—

Περὶ ἀναβαπτισμάτων καὶ ἀναχει- μη
ροτονιῶν· ἢ μεταθέσεων ἐπισκόπ(ων):
κεῖνο δὲ ἀναφέρομεν ἐνταλὲν ἡμῖν·
τὸ καὶ ἐν τῇ συνόδῳ τῇ ἐν Καπούῃ
ὁρισθέν· ὥστε μὴ ἐξεῖναι γίνεσθαι ἀνα-
βαπτίσεις ἢ ἀναχειροτονήσεις·
ἢ μετακινήσεις ἐπισκόπων· Κρε-
σκώνιος ὁ τοῦ Ὑρεκένσης ἀγροῦ
ἐπίσκοπος· καταφρονήσας τοῦ
ἰδίου λαοῦ· τὴν Τουνιχένην ἐπέβη ἐκ-
κλησίαν· καὶ ἕως τῆς σήμερον πολ-
λάκις ὑπομνησθεὶς κατὰ τὸ ὁρισθὲν
καταλιπεῖν τὴν αὐτὴν ἐκκλησίαν·
ἣν τινι ἐπῆλθεν· οὐχ εἵλετο· περὶ τοῦ-
του δὲ τὰ προαγγελθέντα ὡς ἐμαια
ἠκούσαμεν· καὶ αἰτοῦμεν κατὰ τὸ
ἐνταλὲν ἡμῖν· ἵνα καταξιώσητε
δοῦναι παρρησίαν· ἐπ' ἀδείας ἡμῖν
γενέσθαι· ὅτι αὐτὴ ἡ ἀνάγκη παρα-
σκευάζει τῷ ἄρχοντι τῆς χώρας·
κατ' ἐκείνου προσελθεῖν· κατὰ τὰς
διατάξεις τῶν ἐνδοξοτάτων βα-
σιλέων· ἵνα ὁ τῇ πρᾳῶς ὑπομνήσει
τῆς ὑμετέρας ἁγιωσύνης· πειθαρ-
χῆσαι μὴ θελήσας καὶ διορθώσασθαι
τὸ ἀσυγχώρητον· αὐθεντίᾳ ἀρχον-
τικῇ παραχρῆμα κωλυθῇ·~

Αὐρήλιος ἐπίσκοπος εἶπε·
φυλαχθέντος τοῦ τύπου τῆς κατα-
γράφεως, μὴ κριθέντος τῆς συνόδου ὑ-
πάρχον· ἐὰν ἐπιεικῶς αὐτῇ θῆς
παρὰ τῆς ὑμετέρας ἀγάπης ἀπο-
φῆναι παρῃτήσατο· ἐπειδὴ ἐκ τῆς
οἰκείας καταφρονήσεως καὶ μονο-
τομίας περιῆλθον εἰς αὐθεντικὴν
ἐξουσίαν. Μωράτος καὶ Οὐρβα-
νὸς ἐπίσκοποι εἶπον· τοῦτο ὡς
πᾶσιν ἀρέσκει. Ἀπὸ πάντων τῶν
ἐπισκόπων ἐλέχθη· δίκαιον, πᾶσιν
ἀρέσκει. Πόσοι ἐπίσκοποι ἐπι-
μθ σκόπον χειροτονεῖν ὀφείλουσιν.
Μωράτος καὶ Οὐρβανὸς ἐπίσκοποι
εἶπον· κἀκεῖνο ἡμῖν ἐνετάλη· ἐπει-
δὴ ἐκ τοῦ πλησίον ἀδελφοὶ ἡμῶν δύο
ἐπίσκοποι τῆς Νουμηδίας χειρο-
τονῆσαι ἐτόλμησαν ἱερέα· χρῆμα τοῦ
μὴ γίνεσθαι χειροτονίας ἐπισκόπου
εἰ μὴ ἀπὸ δώδεκα.
Αὐρήλιος ἐπίσκοπος εἶπεν· ἀρχαῖος
τύπος φυλαχθήσεται, ἵνα μὴ ἧττον
τῶν τριῶν τῶν ὁρισθέντων εἰς
χειροτονίαν ἐπισκόπου ἀρκέσωσι·
διότι ἐν Τριπόλει τυχὸν καὶ ἐν Ἀρζου-
γὴ, δῆλον παρέχειν ται μάρμαραι Ἐ

-θῆ· ἐν τρίπόλει δὲ πάντη τε καὶ μό
-νοι εἰσὶν ὅσοι γινώσκεται ἐπίσκοποι·
καὶ δύναται ὁ εἷς ἐξ αὐτῶν πολλάκις τοῦ
ἀριθμοῦ. τοὺς δύο ἀνάγκη· τὴν κατέ
-χεσθαι· διὸ χρεὼς παρ' ἑτέρων ἐξ οἵου δὴ
ποτε ἀριθμοῦ· πάντας δύνασθαι
ἀπαντῆσαι· μὴ ὀφείλει τοῦτο αὐτὸ
παρεμποδὼν εἶναι τῷ χρησίμῳ,
τῆς ἐκκλησίας· καὶ γὰρ εἰς ταύτην
τὴν ἐκκλησίαν πρὸς ἣν κατηξιώσεν
ἡ ὑμετέρα συνελθεῖν ἁγιωσύνη· συ
-χνῶς καὶ σχεδὸν κατὰ κυριακὴν χει
-ροτονουμένους ἔχομεν· μὴ ἄρα δυ
-νάμαι συνέχεσθαι δώδεκα ἢ δέκα· ἢ ὀλί
πολὺ ἐλάττους συγκαλεῖν ἐπισκόπους;
δύο δὲ ἑτοίμους προσζεῦξαι εὐχερῶς
ἐστὶ τῇ ἐμῇ μικρότητι· διὸ ὁρᾷ συνε
-τοὶ ἡ ὑμετέρα ἀγάπη· τοῦτο αὐτὸ μὴ
δύνασθαι παραφυλαχθῆναι:—
Ὅσοι ἐπίσκοποι προστεθῆναι ὀφεί μ
λουσι τῷ ἀριθμῷ τῶν χειροτονούν
-των· ἐὰν περὶ τοῦ μέλλοντος χειρο
τονεῖσθαι ἐπισκόπου ἀντιλογία γένηται:—
κεῖνο δὲ ὁρίσαι δεῖ· ὥστε ἐάν ποτε πρὸ
ἐπιλογὴν ἐπισκόπου συνέλθωμεν
καὶ ἀναφύῃ τις ἀντιλογία· ἐπειδὴ
τὰ τοιαῦτα παρ' ἡμῶν ἐπράχθαι

τολμηρὸν εἶναι χοὶ τὸν τρεῖς μόνους
πρὸς τὸ καθάραι τὸν χειροτονηθη-
σόμενον εὑρεθῆναι· ἀλλὰ τῶν προ-
λεχθέντων παρ' ἀριθμῶν προστεθεὶ εἷς καὶ
δύο· καὶ ἐπ' αὐτοῦ τοῦ λαοῦ οὗ μέλλει
χειροτονεῖσθαι. ἐξετασθῶσι πρῶ-
τον τὰ πρόσωπα τῶν ἀντιλεγόν-
των· δεύτερον γὰρ καὶ τὰ προτεθει-
μένα συζευχθῶσι· καὶ ὅτε καθαρὸς
φανείη ἐπὶ δημοσίας προσόψεως·
εἶθ' οὕτως χειροτονηθείη· ἐὰν τοῦτο
ἀποδέχηται ἡ ὑμετέρα ἁγιωσύνη·
τῇ ὁμονοητικῇ ἀποκρίσει τοῦ ὑμε-
τέρου ἀξιώματος βεβαιωθείη:—
ὑπὸ πάντων τῶν ἐπισκόπων ἐλέ-
χθη· πᾶσιν ἀρέσκει:— μα
Ὥστε ἀπὸ τῆς ἐκκλησίας καρχηδόνος
ἀγγέλλεσθαι τὴν ἡμέραν τοῦ πάσχα:—
νωράτος καὶ οὐρβανὸς οἱ ἐπίσκοποι
εἶπον· ἐπειδὴ ταῖς ἐν τῷ κομμονητω-
ρίῳ ἡμῶν· πάντα τὰ δι' ἃς συνεῦξαι· προ-
τιθέμεν ἐτι μηνύοντα λέγειν ἡμῖν περὶ
τῆς ἡμέρας τοῦ πάσχα· ἵνα κατὰ
τὸ εἰωθὸς ἀπὸ τῆς ἐκκλησίας καρ-
χηδόνος ἀεὶ παρασκευαζόμεθα·
καὶ μὴ ἐν φερμῷ τοῦ χρόνου διαστήματι:—
υρήλιος ἐπίσκοπος εἶπεν· ἐὰν δοκ

τῇ ἁγιωσύνῃ ὑμῶν· ἐπειδὴ μεμνή-
μεθα ἤδη ἐκ πολλοῦ ἡμᾶς ἐπαγγει-
λαμένοις· ὥστε ἐν ἑκάστοις ἐνιαυτοῖς
συνέρχεσθαι πρὸς τὸ συζητεῖν· ὅ-
ταν εἰς ἓν συνέλθωμεν, τότε διαδο-
θήσεται τοῦ ἁγίου πάσχα ἡ ἡμέρα·
διὰ τῶν εὑρεθησομένων ἐν τῇ συ-
νόδῳ τοποτηρητῶν:— οἱ
νουμεράτος καὶ οὐρβανὸς ἐπίσκοποι
εἶπον· νῦν διὰ τῆς παρούσης συ-
κελεύσεως αἰτοῦμεν· ἵνα γράμμα-
σι τυπῶσαι τὰς ἡμετέρας ἐπαρχί-
ας καταξιώσητε:— αὐρήλιος ἐ-
πίσκοπος εἶπεν· ἀναγκαῖον ἐστὶν
οὕτως γενέσθαι:— περὶ τοῦ τὰς
ἐπαρχίας ἐπισκέπτεσθαι:— ηβ οἱ
νουμεράτος καὶ οὐρβανὸς οἱ ἐπίσκοποι
εἶπον· κἀκεῖνο ἡμῖν διὰ λόγου ἐντέ-
ταλται· ὥστε καὶ ὑμᾶς καταξιῶσαι
τὸ ὁρισθὲν ὑπὸ τῆς ἐν ἱππῶνι συ-
νόδου· ὀφείλειν ἑκάστην ἐπαρχίαν ε
ἐν τῷ καιρῷ τῆς συνόδου ἐπισκέπτ-
εσθαι· καὶ ὅτι ἐν τούτῳ καὶ τῷ ἄλλῳ ἐνι-
αυτῷ ὑπερθέσθαι· κατὰ τάξιν ἐπι-
σκέψασθαι τὴν μαυριτανίαν:—
αὐρήλιος ἐπίσκοπος εἶπε· τότε πε-
ρὶ τῆς τῶν μαυριτανῶν χώρας· οὐ

δ' ἐν ὡρίσαμεν· διὰ τὸ εἰς τὰ τέλη τῆς
ἀφρικῆς κεῖσθαι αὐτήν· καὶ ὅτι μαρ-
βαρικῶν παράκειται· ὃ δὲ ἔθος παρά
ἐκ περιουσίας δύνασθαι ἡμᾶς· καὶ
μὴ ἐπαγγειλαμένοις τοῦτο ποιεῖν·
καὶ παραγίνεσθαι εἰς τὴν χώραν ὑ-
μῶν· ὀφείλετε γὰρ ἐννοεῖν ἀδελφοί·
ὅτι ἐὰν λογισμὸς ἄγωσι τῇ τοῦτο πε-
ρὶ ἑαυτῶν διεξελθεῖν· ἠδύναντο καὶ
οἱ τριπολιτανοὶ καὶ οἱ ἀρζουιτανοὶ οἱ
ἀδελφοί:— ὥστε τὰς διοικήσεις
μγ εἰ μὴ κατὰ συναίνεσιν τοῦ ἰδίου ἐπι-
σκόπου. ἐπίσκοπον ἕτερον μὴ δέχεσθαι:
Ἐπίγονος ἐπίσκοπος εἶπεν· ἐν πο-
λλαῖς συνόδοις ὥρισται ἱερατικῷ συ-
νεδρίῳ· ἵνα τὰ πλήθη τὰ ἐν ταῖς
παροικίαις ἀπὸ τῶν ἐπισκόπων
κατεχόμενα· τὸν ἴδιον ἐπίσκοπον
μηδέποτε ἐσχηκότα· εἰ μὴ κατὰ συ-
ναίνεσιν τοῦ ἐπισκόπου παρ' οὗ ἀπ'
ἀρχῆς κατέχονται μὴ λαμβάνοιεν
ἰθυν τοὺς ἰδίους. τουτέστιν ἐπισκόπους·
ἐπειδὴ τινὲς δηλαδὴ τυραννίδος
τινὸς ἐπιτετυχηκότες· τὴν τῶν ἀ-
δελφῶν κοινωνίαν ἐπιστρέφονται·
καὶ ὅταν ἀποφαυλισθῶσιν· ὥσα-
μεί τινι παλαιᾷ τυραννίδι δεσπο

πείας ἑαυτοῖς ἐκδικοῦσι· πολλοὶ
δὲ ἐκ τῶν πρεσβυτέρων φυσιού-
μενοι καὶ μωροὶ· τοὺς αὐχένας ἐπα-
νιστῶσι κατὰ τῶν οἰκείων ἐπισκόπ(ων)·
τὸ πλῆθος συμποσίοις καὶ κακοθε-
λήσεσι συμβουλίαις διεγείροντες· ἀσ
ὡς εὐνοίας τούτους ἑαυτοῖς ἰθων τ
καθιστάνειν· τοῦτο δὲ ἐπισήμως
εὐκταῖον παρὰ τῆς ὑμετέρας κα-
τέχομεν διανοίας· πρόσταττε ἀ-
δελφὲ Αὐρήλιε· ὅτι πολλάκις τὰς
τοιαύτας ὁρμὰς μὴ προσδεχόμεν(ος)
ἐκώλυσας· καὶ τὰ φαῦλα ὡς συμφω-
νούμενα βουλεύματα· τοῦτο λέγω·
μὴ ὀφείλειν ἴδιον καθηγητὴν δέ-
ξασθαι τὸ πλῆθος τὸ ἐν τῇ λεγομένῃ
παροικίᾳ ὑποκείμενον ἀρχαίως ἐ-
πισκόπῳ· καὶ μηδέποτε ἴδιον ἐπί-
σκοπον ἐσχηκὸς· διὸ ἐὰν συμπάσῃ
τῇ ἁγίᾳ ταύτῃ συνόδῳ ἀρέσκῃ, τὸ παρ'
ἐμοῦ βεβαιωθῆ:— Αὐρήλιος ἐπί-
σκοπος εἶπε:— Τοῦ ἀδελφοῦ καὶ
συνεπισκόπου ἡμῶν τῇ ἐξακολου-
θήσει· οὐκ ἀνθίσταμαι· ἀλλὰ τοῦτο
ἐμὲ καὶ πεποιηκότα καὶ ποιήσαν-
τα· ὁμολογῶ δηλαδὴ περὶ τοὺς ὁ-
μονοοῦντας· οὐ μόνον τῆς ἐν Καρ

χῇ δομίῳ ἐκκλησίᾳ· ἀλλὰ καὶ πάσῃ τῇ
ἱερατικῇ συγκληρώσει· εἰσὶ γὰρ πλεῖ-
στοι συμμένοντες τοῖς οἰκείοις πλή-
θεσιν· ἀπηνῶς ὡς λέλεκται ἀπατῶ-
σι· κνήθοντες τὰς ἀκοὰς αὐτῶν
καὶ κολακεύοντες πρὸς ἑαυτοὺς
ἀν' οἷς καταπειγωσμένους μοι· μᾶλλον
δὲ φυσιούμενοι καὶ ἐκ τῆς συγκληρώ-
σεως ταύτης ἑαυτοὺς χωρίζοντες·
οἵτινες τῷ ἰδίῳ πλήθει ἐπερειδόμε-
νοι· πολλάκις συγκληθέντες ἐλθεῖν·
εἰς σύνοδον παραιτοῦνται· ὡς φο-
βούμενοι μήπως τὰ τούτων ἀπο-
τήματα φανερωθῶσι· λέγω οὖν
ἐὰν δοκῇ ὀφείλομεν παντὶ τρόπῳ
ἀφορίσασθαι· ἀλλὰ μὴ δὲ τὰς ἰδίας
ἐκκλησίας· τὰς καλῶς εἰς αὐτοὺς πε-
ριελθούσας· καὶ ἵνα αὐθεντικῶς
δημοσίᾳ ἐκβάλλωνται· καὶ αὐτῆς τῆς
τῶν πρωτευόντων καθέδρας ἀπο-
κινῶνται· χρὴ γὰρ τοὺς σύμπασι
τοῖς ἀδελφοῖς καὶ ὅλῃ τῇ συνόδῳ
προσκολλωμένους· μὴ μόνον τὴν
οἰκείαν κατέχειν δικαίως καθέδραν
ἀλλ' ἔτι μὴν τὰς τοιαύτας διοικήσεις
κεκτῆσθαι· τοὺς δὲ δοκοῦντας· τοῖς
ἰδίοις ὄχλοις ἀρκεῖσθαι· καὶ τῆς ἀδελ-

-φικῆς ἀγάπης καταφρονοῦντας·
μὴ μόνον τὰς διοικήσεις ἀπολύειν·
ἀλλ' ἔτι μὴν ὡς εἶπον. καὶ τὸν ἴδιον
τόπον ἀρχοντικῇ στερῆσαι ὡς ἂν τῆς ἀφ-
-τὰς διωαςεία: — μωράτος καὶ
οὐρβανὸς οἱ ἐπίσκοποι εἶπον·
Η μεγίστη πρόνοια τῆς ὑμετέρας ἁγι-
-ωσύνης. ταῖς πάντων διανοίαις
ἐνεχαθέσθη· καὶ λογιζόμεθα ὀφεί-
-λειν τῇ πάντων ἀποκρίσει βεβαι-
-ωθῆναι τὴν ὑμετέραν ἐξακολούθησιν: —
ἅπαντες οἱ ἐπίσκοποι εἶπον· ἀρέ-
-σκει ἀρέσκει. — ερὶ τοῦ ἀλλοτρίους μδ
κληρικοὺς μηδαμῶς παρ' ἑτέρων
ὑποδέχεσθαι ἐπισκόπων: —
πίγονος ἐπίσκοπος εἶπεν· ὃν πο-
λλαῖς συνόδοις τοῦτο ὁρισθέν. καὶ νῦν
ἔτι μὴν ἐκ τῆς ὑμετέρας ἐμμεναιωθη-
σωμεν ὡς μακαριώτατοι ἀδελφοί.
ὥστε μηδένα ἐπίσκοπον ἰδιοποι-
-εῖσθαι ἀλλότριον κληρικόν. παρὰ τὴν
κρίσιν τοῦ προτέρου αὐτοῦ ἐπισκό-
-που· ἀναφέρων δὲ Ἰουλιανὸν ἀχαρίστως
ἐνεχθέντα περὶ τοὺς διὰ τῆς ἐμῆς
βραχύτητος εἰς αὐτὸν σπορευθείσας
τοσαύτας τοῦ θεοῦ εὐεργεσίας. καὶ οὐ-
-τως προπετῶς καὶ πολυμερῶς δια-

γενόμενον· ὥστε τὸν ἀπὸ νηπίας
ἡλικίας ὑπ' ἐμοῦ βαπτισθέντα· τὸν
καὶ διὰ πολλὴν ἔνδειαν ἐξ αὐτοῦ πα-
ραπεθέντα μοι· καὶ ἐπὶ πολλὰ ἔτη
ἐξ ἐμοῦ τραφέντα καὶ αὐξηθέντα·
τὸν ὡς εἶπον ὄντα τῇ ἐμῇ ἐκκλησίᾳ τῇ
χειρὶ τῆς ἐμῆς μετριότητος κατα-
σταθέντα· καὶ δεικνύμενον ὄντα τῇ τῶν
καπαλιτῶν παροικίᾳ ἀναγνώστην
γενόμενον· καὶ ἐπειδὴ ἐπὶ ἐκεῖσε ἀνα-
γινώσκοντα· τοῦτον οὐχ οἶδα ποίᾳ
καταφρονήσει τῆς ἐμῆς μετριότητος
ἀφαρπάσαι τὸν αὐτὸν Ἰουλιανόν· καὶ
λέγειν πολίτην τοῦ διαφέροντος αὐτῶν
βαξαριτανοῦ τόπου· καὶ παρὰ τὴν ἐ-
μὴν γνώμην τούτῳ καταχεχρῆσθαι·
καὶ γὰρ καὶ διάκονον τοῦτον ἐχειροτό-
νησε· τοῦτο εἰ ἐξὸν γινωσθῇ ἡ ὑμῶν ἤτοι
αὕτη ἡ ἄδεια μακαριώτατοι ἀδελφοί·
εἰ δὲ μή γε, τὸ οὕτως ἀναιδῶς κωλυθείη·
ἵνα μὴ ὁ λεχθεὶς Ἰουλιανὸς ἐπικοινω-
νῇ ἀλλοτρίοις· ⁘ — Νουμίδιος ἐπίσκο-
πος εἶπεν· ἐὰν μὴ ἐρωτηθείσης μὴ
δὲ αἰτηθείσης τῆς σῆς ἀξίας φανείη
τοῦτο πράξας Ἰουλιανὸς· κρινόμενον
πάντως ἀδίκως γενόμενον καὶ ἀνά-
ξιως· διὸ εἰ μὴ αὐτὸς Ἰουλιανὸς διορ-

θῶσηται τὴν οἰκείαν πλάνην καὶ με-
τὰ ἀποθεραπεύσεως τῶν ὑμετέρων
λαῶν. τὸν αὐτὸν ἀποκαταστῆσαι κλη-
ρικὸν ὃν ἐτόλμησε χειροτονῆσαι κατ' αὐ
τῶν ὁρισθέντων τῆς συνόδου πρ ατ
των· καὶ χωρισθεὶς ἀφ' ἡμῶν· τῆς οἰ
κείας μονοτομίας ἀπενέγκῃ τὴν κρί-  λσ
πίγονος ἐπίσκοπος εἶπεν· ὁ κατὰ
τὴν κεῖραν τὴν... καὶ αὐτῇ τῇ προκοπ
ἀρχαιότατος ἐπαινετὸς ἀνήρ· ὁ ἀδελ
φὸς καὶ συλλειτουργὸς ἡμῶν νίκτωρ·
τὴν αἴτησιν ταύτην γενικὴν μοι λέ-
ται ἐπὶ πᾶσιν ἐκτελεσθῆναι:~

Περὶ τοῦ ἐξεῖναι τῷ ἐπισκόπῳ καρχη- με
δόνος ὅθεν θέλει κληρικὸν χειροτονεῖν:~

Αὐρήλιος ἐπίσκοπος εἶπε· τὸν λόγον
μου προσδέξασθε ἀδελφοί· συνέβη
πολλάκις αἰτηθῆναί με ἀπὸ ἐκκλησι ες
αστικῶν ἐνδεομένων διακόνων· ἢ πρε
σβυτέρων· ἢ ἐπισκόπων· καὶ ὁμοίως με
μνημένος τῶν ὁρισθέντων. τούτοις
ἕπομαι· ὥστε συνελθεῖν μετὰ τῶν ἐπισκό
πων αὐτοῦ τοῦ ζητουμένου κληρικοῦ·
καὶ ταῦτα αὐτῷ ἐμφανίσαι· ὅτι κληρι
κὸν αὐτοῦ αἰτοῦνται οἱ τῆς οἱασδήπο
τε ἐκκλησίας· ἰδοὺ οὖν ἐπὶ τοῦ παρόν
τος οὐκ ἀντιλέγουσι· διὰ τὸ μήτε μετα

ταῦτα συμμνῆναι· τουτέστιν ἐντυ-
πωθῆναί μοι τοῖς ἐν τούτῳ τῷ πρά-
γματι παρ' ἐμοῦ αἰτουμένοις· ἐπει-
δὴ οἴδατε πολλῶν ἐκκλησιῶν καὶ χει-
ροτονιῶν φροντίδα με ταράσσειν·
ὥστι μὴ ἴδῃ ποτὲ τῶν ἱερέων συνελθω·
μετὰ δύο ἢ τριῶν μαρτύρων τῆς
ἡμετέρας συγκληρώσεως· ἐὰν ἀκα-
θοσίωτος εὑρεθείη· δίκαιον ἐστὶ κρίνειν
τὴν ὑμετέραν ἀγάπην τί δεῖ ποιῆσαι.
ἐγὼ γὰρ ὡς ἴστε ἀδελφοὶ κατὰ συγχώ-
ρησιν θεοῦ· πολλῶν ἐκκλησιῶν φρον-
τίδας ἀνέχομαι:~

Νουμίδιος ἐπίσκοπος εἶπεν· ἀεὶ ὑ-
πῆρξεν ἡ αὐθεντία αὕτη· τῷ θρόνῳ
τούτῳ· ἵνα ὅθεν ἤθελε καὶ περὶ ἰδίου
δή ποτε ἐπετράπη ὁμόλογος· κατὰ
τὴν ἐπιθυμίαν ἑκάστης ἐκκλησίας
ἐχειροτόνει ἐπίσκοπον:~

Ἐπίγονος ἐπίσκοπος εἶπεν· ἡ ἀγαθο-
θέλεια μεστάζει τὴν ἐξουσίαν· ἥττον
γὰρ τολμᾷς εἶπερ δίκη ἀδελφέ· ἐν τοῖς
πᾶσιν ἑαυτὸν ἀποδεικνύειν ἀγαθὸν
καὶ φιλάνθρωπον· ἔχεις γὰρ τοῦτο
ἐν τῇ κρίσει σου τὸ ἀποθεραπεῦσαι
ἐν ὅσ' ἑκάστου ἐπισκόπου τὸ πρόσω-
πον· ἐν πρώτῃ δὲ καὶ μόνῃ συνελεύ-

στι εἰς συνείδησιν τὸ ἐπ' ἐξουσίας ταύτης
τῇ καθέδρᾳ εἶναι ἐκδικητέον· ἐπει-
δὴ ἀνάγκην ἔχει αὐτὸς πάσας τὰς
ἐκκλησίας ὑποστηρίζειν· ὅθεν ἐξου-
σίαν σοι ἡμεῖς οὐ δίδομεν· ἀλλ' ἐπι-
σφραγιζόμεθα ταύτην τῇ σῇ προαι-
ρέσει· ὥστε ἐξεῖναι ἀεὶ κρατεῖν ὃν ἂν
θέλῃς· καὶ προχειρίζεσθαι προε-
στῶτας ταῖς ἐκκλησίαις· καὶ ταῖς
λοιπαῖς τοῖς ἐν τοῖς μέρεσι· καὶ ὅ-
θεν συνίδοις:— Ποσθουμιανὸς
ἐπίσκοπος εἶπεν· εἴ γε ἐάν τις ἕν-
α καὶ μόνον ἔχῃ πρεσβύτερον· μὴ
ὀφείλει καὶ αὐτὸς ὡς εἷς ἐξ αὐτοῦ
ἀφαιρεθῆναι;— Αὐρήλιος ἐπί-
σκοπος εἶπε· κατὰ συγχώρησιν
θεοῦ· δύναται ὁ εἷς ἐπίσκοπος πο-
λλοὺς χειροτονεῖν πρεσβυτέρους·
πρεσβύτερος δὲ πρὸς ἐπισκοπὴν
ἐπιτήδειος, δυσχερῶς εὑρίσκεται·
διὸ ἐάν τις εὑρεθῇ ἔχων ἕνα μόνον
πρεσβύτερον· καὶ αὐτὸν ἐπιτήδει-
ον τῇ ἐπισκοπῇ· καὶ αὐτὸν τὸν ἕνα
ὀφείλει δοῦναι πρὸς χειροτονίαν:—
Ποσθουμιανὸς ὁ ἐπίσκοπος εἶπεν·
οὐκοῦν ἐὰν ἄλλος ἔχῃ πλῆθος κλη-
ρικῶν ὀφείλει μοι τὸ ἕτερον πλῆθος

συνελθεῖν·— Αὐρήλιος ἐπίσκοπος
εἶπε· δηλαδὴ ὃν τρόπον σὺ τῇ ἑτέ-
ρᾳ ἐκκλησίᾳ συνῆλθες, συνωθήσε-
ται καὶ ὁ τοὺς πλείονας ἔχων κλη-
ρικούς· ὥστε ἐξ αὐτῶν εἰς χειροτονί-
αν σοι δανείσασθαι:—

μϛ Περὶ τοῦ τοὺς ἐν ταῖς παροικίαις χει-
ροτονουμένους ἐπισκόπους μὴ
τινας ἑαυτοῖς ἐκδικεῖν διοίκησιν:—
Μωράτος καὶ Οὐρβανὸς οἱ ἐπίσκο-
ποι εἶπον· ἠκούσαμεν ὁρισθῆναι·
ἵνα αἱ παροικίαι μὴ ἀξιοῦνται λαμ-
βάνειν ἐπισκόπους· εἰ μὴ κατὰ συ-
ναίνεσιν τούτου. ὑφ' ὃν καθίσταντο·
ἐν δὲ τῇ χώρᾳ ἡμῶν κατὰ συγχώ-
ρησιν τοῦ ἐξ ἀρχῆς κατέχοντος τὰς
διοικήσεις ἐπισκόπου· τινὲς εἰς τὰς
αὐτὰς παροικίας χειροτονηθέντες
ἐπίσκοποι· ἑαυτοῖς ἐπιμὴν ἑτέρας
διεκδικοῦσι· τοῦτο καὶ κωλυθῆναι τοῦ
λοιποῦ ὀφείλει:— Ἐπίγονος ἐπί-
σκοπος εἶπεν· ἑκάστῳ ἐπισκόπῳ
τὸ πρέπον ἐφυλάχθη· ἵνα ἐκ τῆς
συγκτησίας τῶν παροικιῶν μηδὲν
ἀποδρευθείη πρὸς τὸ ἴδιον κτήσασθαι
ἐπίσκοπον· εἰ μὴ κατὰ συναίνεσιν
τοῦ τὴν ἐξουσίαν ἔχοντος· ἐὰν δὲ

αὐτοὺς παραχωρήσῃ. ὥστε τὴν αὐ-
τὴν διοίκησιν ἐπιτραπεῖσαν ἴδιον
κτήσασθαι ἐπίσκοπον. εἰς τὰς λοι-
πὰς τὸν προχειρισθέντα μὴ ἐπι-
βάλλεσθαι διοικήσεις. διότι μία ἐκ
τοῦ σώματος τῶν πολλῶν ἀφαιρε-
θεῖσα· αὕτη καὶ μόνη ἠξιώθη τιμὴν
ἰδίας ἐπισκοπῆς ἀναδέξασθαι:–
Αὐρήλιος ἐπίσκοπος εἶπεν· οὐκ ἀμ-
φιβάλλω τῇ πάντων ὑμῶν ἀγάπῃ, λ
ἀρέσκειν· ὥστε τὸν κατὰ συγχώρησ(ιν)
τοῦ προτέρου ἐπισκόπου ἐν τῇ δι-
οικήσει προχειρισθέντα ἐπίσκοπον·
μόνον αὐτὸν κατέχειν τὸν λαὸν εἰς
ὃν ἐχειροτονήθη· ἐπειδὴ οὖν πάντα
νομίζω εἶναι τεπραχθαῖς ὑμῖν αἱ ἐὰν,
ἅπαντα τὰ φοιχῆ τῷ λογισμῷ ὑμῶν, πι-
στώσασθε τῇ ὑμετέρᾳ ἐκφωνήσει:–
ἅπαντες οἱ ἐπίσκοποι εἶπον· πᾶσιν ἡμῖν
ταῦτα ἤρεσαν· καὶ τῇ ἡμετέρᾳ ὑπο-
γραφῇ, ταῦτα βεβαιοῦμεν:–
Καὶ ὑπέγραψαν οὕτως:–
Αὐρήλιος ἐπίσκοπος τῆς ἐκκλησίας
Καρχηδόνος· τῷ παρόντι δεκρέτῳ,
συνῄνεσα καὶ ἀναγνωσθέντι ὑπέγραψα:–
ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέ-
γραψαν:–

Ἐν ταύτῃ τῇ συνόδῳ ὡρίσθη ἵνα ἐπί
σκοπος χωρὶς ἀπολυτικῆς μὴ πλεύσῃ:
ἐπὶ Καισαρίου καὶ Ἀττικοῦ τῶν λαμ
προτάτων ὑπάτων· τῇ πρὸ ὀκτὼ κα
λανδῶν Ἰουλίων ἐν Καρχηδόνι· ἤρε
σεν μηδένα τῶν ἐπισκόπων πλέ
ειν χωρὶς ἀπολυτικῆς τοῦ πρωτεύ
οντος:~ Τὰ πεπραγμένα ὅλη
τῶν ἐν τοῖς αὐθεντικοῖς εὑρήσει:~
κ τῆς συνόδου ταύτης τοποτηρηταὶ
πρὸς τοὺς βασιλέας οἱ ὑπογεγραμ
μένοι ἐπίσκοποι ἀποστέλλονται:~
ἐπὶ τὴν ὑπατείαν τῶν ἐνδοξοτά
των βασιλέων· Ὀνωρίου αὐγούστ
ου τὸ τέταρτον· καὶ Εὐτυχιανοῦ τοῦ
λαμπροτάτου· τῇ πρὸ πέντε κα
λανδῶν Μαΐων ἐν Καρχηδόνι εἰς
τὸ σέκρετον τῆς Ῥεστιτούτης ἐκκλ(ησίας):~
Ἐν ταύτῃ τῇ συνόδῳ τοποτηρησίαν
ἐδέξαντο Ἐπιγόνιος καὶ Βικέντιος,
οἱ ἐπίσκοποι· ἵνα μόνον ἀξιωθῶσι
παρὰ τῶν ἐνδοξοτάτων βασιλέων
περὶ τῶν καταφευγόντων εἰς τὴν
ἐκκλησίαν· καὶ οἱαισδήποτε ἐγκεκυ
λισμένων εὐθύναις ὥστε μηδένα
τολμᾶν ἀποσπᾶν:~
Ἐν ταύτῃ τῇ συνόδῳ πρεσβεία ἀπο

στέλλεται πρὸς τοὺς ῥώμης καὶ μεδι-
-ολάνου ἐπισκόπους· περὶ τῶν μὴ τι-
-ων τῶν· παρὰ τοῖς αἱρετικοῖς βα-
-πτισθέντων· καὶ παρὰ τῷ βασι-
-λεῖ δὲ περὶ τοῦ τὰ ἐγκαταλείμματα
τῶν εἰδώλων ἀφαιρεθῆναι· καὶ πε-
-ρὶ ἄλλων δὲ πλειόνων γραμμάτων·

× πρακτικά

ἐπὶ τὴν ὑπατείαν φλαουΐου φελίχω
μος τοῦ λαμπροτάτου· τῇ πρὸ ὀκτὼ
καλανδῶν ἰουλίων ἐν καρχηδόνι· εἰς
τὸ σέκρετον τῆς ῥεστιτούτης ἐκκλη-
-σίας· προκαθίσαντος ἅμα τοῖς ἐπισκό-
-ποις αὐτοῦ παρεστώτων τῶν διακό(νων):
Αὐρήλιος ἐπίσκοπος εἶπε· τῶν δ' ἐκ-
-κλησιῶν τοῦ θεοῦ τῶν ἀνὰ πᾶσαν τὴν
τῶν ἀφρῶν χώραν καθιδρυμένων·
τῶν ἀνάγκας ἅμα ἐμοὶ ἀκριβῶς ἐπί-
-σταται ἡ ὑμετέρα ἀγάπη τιμιώτατε
ἀδελφέ· καὶ ἐπειδὴ τοῦ χριστοῦ παρέχον-
-τος καὶ ἐν ὕβρει συνήχθη ἡ παρου-
-σία τῆς ὁσίας ὑμῶν συνελεύσεως·
δοκεῖ μοι εἰς μέσον προκομίσαι τὰς
αὐτὰς ὡς εἴρηται ἀνάγκας· ἅσπερ
οἰκείᾳ φροντίδι ἠδυνήθημεν ἀνιχνεῦσαι
ἅστινας ἐπικυρώσειεν ἡ ὑμετέρα εἰ-
-λικρινότης. ἀκολούθως δὲ ἀποδέ-
-ξασθαι ὑμᾶς σὺν ἱερέα ἐκ τοῦ ὑμετέρ-

ἀριθμῶν· τὸν ὀφειλόμεναι τῆ τοῦ χ(ριστο)ῦ βο-
ηθείᾳ διὰ τῶν εὐχῶν ὑμῶν πάντας
αὐτὰς τὰς ἀναγκαίας ἄνευ· δόξαν θ(εο)ῦ
ἀνδρείως ἐξανυσθείσας ἀποκομίσαι
πρὸς τὰ προσαρκτικὰ τῆς Ἰταλίας
μέρη· ὅπως δυνηθῇ αὐτήν τε τὴν ἀ-
νάγκην καὶ τὸν πόνον καὶ τὴν ἔνδει-
αν ἡμῶν παραστῆσαι τοῖς ἁγιωτάτοις
ἀδελφοῖς καὶ συλλειτουργοῖς ἡμῶν·
τούτῳ μὲν Ἀναστασίῳ τῷ προσκυνη-
τῷ ἁγίῳ τῆς ἀποστολικῆς καθέδρας
ἐπισκόπῳ· τούτῳ δὲ ἐπὶ μὴν τῷ ἁγιω-
τάτῳ ἀδελφῷ Βενερίῳ τῷ ἱερεῖ τῆς
Μεδιολάνων ἐκκλησίας· ἐκ τούτων
γὰρ τῶν θρόνων ἐκωλύθη· ὅπερ ἐπι-
γνοῖεν καὶ μονάχιν διῳ μεγάλως ὤφει-
λεν προνοηθῆναι· ὅτι τοσαύτη ἐστὶ
κληρικῶν ἔνδεια· καὶ πολλαὶ ἐκκλη-
σίαι οὕτως ὑπάρχουσιν ἔρημοι, ὥσ-
τε μηδὲ ἕνα διάκονον κἂν ἀγράμματον
ἔχειν εὑρίσκεσθαι· περὶ δὲ τῶν λοιπῶν
ἀνωτέρω βαθμῶν καὶ τάξεων, συνε-
τὸν ὑπολαμβάνειν· ἐπειδὴ ὡς
εἶπον ἐὰν ἡ τοῦ διακόνου ὑπουργία
οὐκ εὐχερῶς εὑρίσκεται, πολλῷ πλέ-
ον περὶ τῶν ἀνωτέρω τιμῶν κατά-
δηλον ὑπάρχει· καὶ τοῖς καθημερινῶν

θερμοὺς τῶν διαφόρων καὶ σχεδὸν
ἀποθνησκόντων λαῶν· τοὺς λοιποὺς
οὐχ ὑποφέρομεν· οἷς εἰ μηδέποτε
θελήσωμεν βοηθῆσαι· βαρυτάτη
καὶ ἀναπολόγητος αἰτία τῶν ἀπο-
-λλυμένων ψυχῶν ἐκδέχεται ἡμᾶς
παρὰ τοῦ θεοῦ:- Ὥστε τοὺς μικροὺς
παρὰ τοῖς δονατισταῖς βαπτιζομέ-
-νους ἐν τῇ καρχηδόνι κληρικοὺς χει-
-ροτονεῖσθαι:- μζ

Διὸ ἐπειδὴ ἐν τῇ ἀμφοτέρᾳ συνόδῳ
ὁρισθὲν μέμνηται ἅμα ἐμοὶ ἡ ὑμε-
-τέρα ὁμοψυχία· ὥστε τοὺς παρὰ
τοῖς δονατισταῖς μικροὺς βαπτιζο-
-μένους· μηδέπω δυναμένους γι-
-νώσκειν τῆς πλάνης αὐτῶν τὸν ὄλε-
-θρον· μετὰ τὸ εἰς καιρὸν λογισμοῦ
δεκτικὸν παραγενέσθαι· ἐπιγνωσ-
-θείσης τῆς ἀληθείας τὴν φαυλότη-
-τα ἐκείνων βδελυττομένους· πρὸς
τὴν καθολικὴν τοῦ θεοῦ ἐκκλησίαν τὴν
ἀνὰ πάντα τὸν κόσμον διακεχυμέ-
-νην τάξει ἀρχαίᾳ διὰ τῆς ἐπιθέσεως
τῆς χειρὸς ἀναδεχθῆναι τοὺς τοιού-
-τους ἐκ τοῦ τῆς πλάνης ὀνόματος·
μὴ ὀφείλειν ἐμποδίζεσθαι εἰς τάξιν
κληρώσεως· ὁπόταν τὴν ἀληθῆ ἐκ-

κλησίαν ἰδίαν ἑαυτῶν ἐλογίσαντο τῇ
πίστει προσερχόμενοι· καὶ ἐν αὐτῇ,
τῷ χριστῷ πιστεύσαντες τῆς τριάδος
τὰ ἀγλαΐσματα ὑπεδέξαντο· ἅπερ
πάντα ἀληθῆ καὶ ἅγια καὶ θεῖα εἶναι
δηλούμενα· καὶ ἐν τούτοις πᾶσαν τὴν
τῆς ψυχῆς ἐλπίδα ὑπάρχειν· κἂν ἄλλα
πάντα μάλιστα οὖν καὶ ἡ τῶν αἱρετικῶν
προληφθεῖσα τόλμα τῷ ὀνόματι
τῆς ἀληθείας ἐν ἀμπιουμένη ἅπερ
παραδιδόμενα προπετεύεται· πάν
ται ἐπειδὴ ἁπλῶς εἰσὶν ὡς διδάσκει
ὁ ἄλλος ἀπόστολος λέγων· εἷς θεός· μία
πίστις· ἓν βάπτισμα· καὶ τὸ ὀφείλομεν
πρὸς ἅπαξ διδόσθαι ἐπαναληφθῆ
ναι οὐκ ἔξεστιν· ἀναθεματίζομεν οὖν ης
τοὺς τῆς πλάνης ὀνόματος· διὰ τῆς
ἐπιθέσεως τῆς χειρὸς· ἀναδεχθῶ
σιν εἰς μίαν ἐκκλησίαν τὴν ὡς εἴρηται
περιφερὰν καὶ μόνην μίαν τῶν χρι
στιανῶν· ἐν ἧ πάντα τὰ ἀγλαΐσματα
τοῖς ὡς δῶς αἰώνια καὶ ζωτικὰ παρα
λαμβάνονται· ἅπαν τοῖς ἐπιμέ
νουσιν ἐν τῇ αἱρέσει· μεγάλην τῆς
καταδίκης τὴν τιμωρίαν ὁρίζου
σιν· ἵνα ὡς ὅπερ ἦν αὐτοῖς ἐν τῇ ἀληθεί
α πρὸς τὴν αἰωνίαν ζωὴν ἀκολου

θητέον φωτεινότερος τοῦτο γένη-
ται αὐτοῖς ἐν τῇ πλάνῃ σκοτεινότε-
ρον· καὶ πλέον καταδεδικασμένον ὅ-
περ τινὲς ἔφυγον· καὶ τῆς ἐκκλησίας
τῆς καθολικῆς μὲν ταῖς εὐθύταται
ἐπιγνόντος. πάντα τὰ ἐκεῖνα τὰ ἅγια
μυστήρια φίλτρον τῆς ἀληθείας ἐπι-
στεύσαν· καὶ ὑπεδέξαντο τοῖς τοιού-
τοις· ὅταν δὲ δομικὴ χρηστοῦ υἱοῦ προ-
σέλθοι· ἂν ἀμφιβόλως καὶ κλῆρος πρὸς
ὑπουργίαν τῶν ἁγίων προσχωρηθή-
σεται· καὶ μάλιστα ἐν τῇ τοσαύτῃ τῶν
πραγμάτων ἀνάγκῃ. οὐδεὶς ἐστιν ὃ μὴ
τοῦτο παραχωρῶν· εἰ δέ τινες τοῦ
αὐτοῦ δόγματος κληρικοὶ μετὰ τοῦ
πλήθους καὶ τῶν τιμῶν αὐτῶν πρὸς
ἡμᾶς μετελθεῖν ποθήσουσιν· οἵτινες
τῶν ἱερωτάτης τιμῆς συμβουλεύουσι
πρὸς ζωὴν καὶ κατέχουσι πρὸς σωτηρίαν·
ἀλλὰ τοῦτο καταλειπτέον κρίνω τῇ
μείζονι καταμονήσει· ψηφισομένων
τῶν προλεχθέντων ἀδελφῶν· ἵνα
τῇ συμμετωτέρᾳ αὐτῶν βουλῇ· τῆς
ἡμετέρας ἀναφορᾶς τὸν λόγον δια-
γνῶσι· καὶ ἡμᾶς βεβαιῶσαι καταξιώ-
σωσιν· εἰς τὸ ὀφεῖλον περὶ τούτου τοῦ
πράγματος παρ' ἡμῶν τυπωθῆναι·

νόμον δὲ περὶ τῶν ἐν νηπιότητι βα-
πτισθέντων ἀρχούμεθα· ἵνα εἰ ἀρέ-
σκῃ αὐτοῖς τῇ ἡμετέρᾳ συναινέσωσι
προαιρέσει· περὶ τοῦ χειροτονεῖσθαι
τούτους· πάντα τοίνυν ἃ ἀμφότερα
συνηγάγομεν παρὰ τοῖς ἁγιωτάτοις
ἐπισκόποις, πρακτέα εἶναι δικαιοῖ·
ἅμα ἐμοὶ ἢ ἐν τιμιοσ ὑμῶν ἀδελφότης:—

μη Περὶ τῶν ἐγκαταλειμμάτων τῶν εἰσδό-
λων· καὶ ναῶν τῶν ὀφειλομένων ἐξα-
λειφθῆναι· ὧν χάριν αἰτῆσαι δεῖ τοὺς
θρησκευτικοὺς τούτοις βασιλέας:—

Ὥστε τὰ ἐγκαταλείμματα τῶν εἰσδόλων
τὰ κατὰ πᾶσαν τὴν Ἀφρικὴν κελεύομεν
παντελῶς ἀνακοπῆναι· καὶ γὰρ ἐν
πολλοῖς τόποις παραθαλασσίοις.
καὶ διαφόροις κτήσεσιν. ἀκμάζει ἐπὶ
τῆς πλάνης ταύτης ἡ ἀδικία· ἵνα ἀπα-
ραγγελθῶσι καὶ αὐτὰ ἀπαλειφθῆναι·
καὶ οἱ ναοὶ αὐτῶν οἱ ἐν τοῖς ἀγροῖς καὶ
ἐν ἀποκεχρυμμένοις τόποις· χωρὶς
τινος ἐκκοσμίας καθαιρεθῶσι. παντὶ
τρόπῳ κελευσθῶσι καταγραφῆναι:—

ερὶ τοῖς κληρικοῖς χάριν διαγνώσεως
μθ τῆς οἰκείας αὐτῶν κρίσεως. μὴ ἀναγ-
κάζεσθαι δημοσίως μαρτυρεῖν:—

Δεῖ αἰτῆσαι ἐπὶ μὴν ἵνα ὁρίσαι καταξι-

ώσωσιν· ὡς τελευταίαν τιμωρίαν ἐκκλησιαστικὴν
οἵαν δή ποτε αἰτίαν ἀποστολικῶν δικαι-
ων τῶν ταῖς ἐκκλησίαις ἐπικειμένων
γυμνάσαι θελήσωσι· καὶ ἴσως ἢ τὸ μὴ
τῶν κληρικῶν τῶν ἐν τῷ μέρει ἀπαρέ-
σοι· μὴ ἐξεῖναι πρὸς δικαστήριον εἰς
μαρτυρίαν προκαλεῖσθαι τὸν κληρι-
κὸν ἐκεῖνον τὸν πρότερον τὸ αὐτὸ
πρᾶγμα σκοπήσαντα· ἢ καὶ σκοπου-
μένῳ παρατυχόντα· καὶ ἵνα μηδὲ
προσώπῳ τις ἐκκλησιαστικῷ προσῆ-
κον ἐναχθείη· περὶ τοῦ ὀφείλειν μαρ-
τυρεῖν :— Περὶ τοῦ ἀφελέσθαι τὰ
τῶν ἑλλήνων συμπόσια :— ζ
Ἐκεῖνος ἐτιμὴν αὐτῆς δεῖ παρὰ τῶν
χριστιανῶν βασιλέων· ἐπειδὴ παρὰ
τὰ θεῖα ἐπαγγέλματα ἐν πολλοῖς τό-
ποις συμπόσια οὕτως ἐπιτελοῦν-
ται ἐκ τῆς ἐθνικῆς πλάνης προσε-
νεχθέντα· ὡς καὶ χριστιανοὺς τοῖς
ἑλληνικοῖς λατρείαις προσάγεσθαι ἐν τῇ τού-
των τελετῇ· ἵνα κελεύσωσι τὰ τοιαῦ-
τα κωλυθῆναι καὶ ἐκ τῶν πόλεων·
καὶ ἐκ τῶν κτήσεων· μάλιστα ὅτι καὶ
ἐν αὐτοῖς τοῖς γενεθλίοις τῶν μακαρί-
ων μαρτύρων ἀνὰ πάσας πόλεις ἀ-
ζεις αὐτοῖς τοῖς ἱεροῖς τόποις τοιαῦ-

πλημμελεῖν μοι χριστιανοὶ φοροῦνται· ἐν αἷς
ἡμέραις· ὅπερ καὶ λέγειν αἰσχύνη ἐστίν·
ὀρχήσεις μυσαρὰς εἰς τοὺς ἀγροὺς
καὶ εἰς τὰς πλατείας ἐκτελοῦσιν·
ὥστε τῇ τῶν οἰκοδεσποινῶν τιμῇ·
καὶ ἄλλων ἀναριθμήτων γυναικῶν
τῇ αἰδοῖ τῶν εὐλαβῶν εἰς τὴν ἁγίαν
ἡμέραν παραγενομένων· λάγναις
ὕβρεσιν ἐφορμᾶν· ὡς καὶ αὐτῆς τῆς
ἁγίας πίστεως σχεδὸν φεύγεσθαι τὴν
προσέλευσιν:— Περὶ θεωρείων.
ξα Ἵνα ἐν τῇ κυριακῇ καὶ ἐν ταῖς λοιπαῖς
τῶν ἁγίων ἑορταῖς μηδαμῶς ἐπι
Κἀκεῖνο ἐπιμηνυθῆ δεῖ αἰ τελῶνται:—
τῆσαι· ἵνα τὰ θεωρεῖα τῶν θεα
τρικῶν παιγνίων ἐν τῇ κυριακῇ·
καὶ ἐν ταῖς λοιπαῖς φαιδραῖς τῆς
τῶν χριστιανῶν πίστεως ἡμέραις
κωλύονται· μάλιστα ὅτι ἐν τῇ ὀγδό
άδι τοῦ ἁγίου πάσχα· οἱ ὄχλοι μᾶλλον
εἰς τὸ ἱππόδρομον ἤπερ εἰς τὴν
ἐκκλησίαν συνεισέρχονται· ὀφείλ(ει)
μετενεχθῆναι τὰς ὡρισμένας
αὐτῶν ἡμέρας ὁπ(ότ)ε ἀπαντήσει· καὶ
μὴ ὀφείλειν τινὰ τῶν χριστιανῶν
πρὸς τὰ θεωρεῖα ταῦτα ἀναγκά
ζεσθαι:— Περὶ τῶν καταδικα

-ζομένων κληρικῶν :— ξβ

Κἀκεῖνο δεῖ αἰτῆσαι· ἵνα ὁρίσαι κατα-
ξιώσωσιν· ὅστε κληρικὸν οἱασδή-
ποτε τιμῆς τυγχάνοντα ἐπὶ οἱῳδή-
ποτε ἐγκλήματι τῇ τῶν ἐπισκόπων
κρίσει καταδικασθέντα· μὴ ἐξεῖ-
ναι τὸν αὐτὸν· εἴτε παρὰ τῆς ἐκκλη-
σίας ἧς ὑπῆρχεν· εἴτε ἐπὶ οἱουδή-
ποτε ἀνοῦ διεκδικεῖσθαι· ποινῆς
ἐπὶ τούτῳ παρατεθείσης ζημί-
ας χρημάτων τε καὶ τιμῆς· ὅπως
μὴ δὲ χεῖραν· μὴ δὲ φύσιν ἀπολογη-
-τέαν εἶναι κελεύσωσιν :— ξγ

Περὶ τῶν μίμων τῶν γινομένων
χριστιανῶν :— Περὶ τούτων ἐπὶ ἡμῖν
αἰτῆσαι δεῖ· ἵνα ἐάν τις ἐξ οἱουδήπο-
τε παιγνιώδους ἐπιτηδεύματος·
πρὸς τὴν τοῦ χριστιανισμοῦ χάριν
ἐλθεῖν θελήσῃ· καὶ ἐλεύθερος ἀπ᾿ ἐκεί-
-νων τῶν φιλαδελφιῶν διαμεῖναι· μὴ
ἐξὸν εἶναί τινι τὸν τοιοῦτον πρὸς ταῦ-
τα αὖθις γυμνάσματα προτρέπεσθαι
ἢ καταναγκάζειν :— Περὶ ἐλευθερί-
-ων τῶν ἐν τῇ ἐκκλησίᾳ γινομένων·
αἰτητέον ἀπὸ τοῦ βασιλέως :— ξδ

Περὶ ἐλευθεριῶν δηλαδὴ ἐν τῇ ἐκκλη-
σίᾳ κηρυκτέον· ἐὰν τοῦτο οἱ ἡμέτεροι

σ ὡς ἱερεῖς φαίνονται ποιοῦντες
ἀνὰ τὴν Ἰταλίαν· καὶ ἡ ἡμετέρα δῆ-
λον πεποίθησις τῇ τούτων τάξει ἕ-
πεται· δοθείσης φανερῶς ἀδείας
πεμπομένου τοῦ προτηρητοῦ· ἵνα
οἵα δή ποτε ἀξία πίστεως ὑπὲρ
τῆς ἐκκλησιαστικῆς καταστάσεως·
καὶ τῆς τῶν ψυχῶν σωτηρίας ἐκτελέσαι
δυνηθείη· καὶ ἡμεῖς ἐπαινετῶς
ἐνώπιον τοῦ Χριστοῦ ὑποδεξόμεθα·
ταῦτα πάντα ἐὰν τῇ ὑμετέρᾳ ἁγι-
ωσύνῃ ἀρέσκῃ· δείξατε· ἵνα καὶ τὴν
ἐμὴν ἀναφορὰν βεβαίαν οὖσαν ὑμῶν
ἐπιδείξω· καὶ τὰ παρὰ τῆς πάντων
ἡμῶν συναινέσεως, ἡ αὐτῶν εἰλι-
κρινότης ἢ δέους πράξηται:—

Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη·
πᾶσιν ἀρέσκει τὰ προτεθέντα· καὶ
ρεπτῶς ἀπὸ τῆς σῆς ἁγιωσύνης
ἐξηγηθέντα, ὀφείλειν ἐκτελεσθῆναι:—

Περὶ Αἰκιτίου ἐπισκόπου τοῦ καταδι-
κασθέντος:—

ξε Αὐρήλιος ἐπίσκοπος
εἶπε· τοῦ Αἰκιτίου ἔτι μὴν τοῦ ἐκ πάλαι
κατὰ τὴν ἰδίαν ἀξίαν τῇ τῶν ἐπισκό-
πων γνώμῃ καταδικασθέντος· τὸ
πρᾶγμα οἶμαι παρεατέον τῇ πρεσβείᾳ
ἵνα ἐὰν τύχοι τοῦτον εὕροι ἐν ἐκείνοις

τοῖς μὲν ὕβρεσιν· ἐγὼ προσφέρομεν τὸ δὸς
τῶν αὐτῶν ἡμῶν ἀδελφῶν ὑπὲρ τῆς ἐκ-
κλησιαστικῆς καταστάσεως· ὡς χρὴ
καὶ ὅπου ἐξὸν εἴη· κατέχειν οὐ διαπρ-
ξασθαι:— Ἀπὸ πάντων τῶν ἐπι-
σκόπων ἐλέχθη· πολὺ ἀρέσκει καὶ
αὕτη ἡ ἐξακολούθησις· μάλιστα ὅτι
ὁ ἐκ πάλαι καταδεδικασμένος ὁ αὐτὸς ἀ-
κύπιος καὶ ἡ τούτου ἀναίσχυντος ἀνη-
συχία· ὑπὲρ τῆς καταστάσεως καὶ
σρίας τῆς ἐκκλησίας· μᾶλλον καὶ μᾶλ-
λον πανταχοῦ καταμαχητέα ἐστίν:—
αἱ ὑπέγραψαν: Αὐρήλιος ἐπίσκο-
πος τῆς ἐν Καρχηδόνι ἐκκλησίας·
τῷ παρόντι ψηφίσματι συνῄνεσα·
καὶ ἀναγνωσθέντι ὑπέγραψα:—
μοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέ-
γραψαν:—

Ἐν ταύτῃ τῇ συνόδῳ γράμματα ἀνεγνώ-
μ ὡς ἔχον ται Ἀναστασίου τοῦ ἱερέως
Ῥώμης· περὶ τῶν δονατιστῶν· ὑπο-
μιμνήσκοντα τοῖς καθολικοῖς ἐπισκόποις:—
Ἐπὶ Οὐικεντίου καὶ Φραουίτου τῶν λαμ-
προτάτων ὑπάτων· εἰδοῖς Σεπτε-
μβρίαις ἐν Καρχηδόνι· εἰς τὸ σέκρετον
τῆς Ῥεστιτούτης ἐκκλησίας· πρὸς
σύνοδον συναχθέντες καὶ προκα-

θῆσαν τότε οἱ ἐκ πασῶν τῶν ἐν Ἀφρι-
κῇ ἐπαρχιῶν ἐπίσκοποι· τουτέστιν
Αὐρήλιος ὁ τοῦ αὐτοῦ θρόνου ἐπίσκο-
πος· μετὰ τῶν ἑτέρων αὐτοῦ· ὡς
δηλοῖ ἡ οἰκεία ὑπογραφή. εἶπεν· —
Ἀναγνωσθέντων τῶν γραμμάτων τοῦ
μακαριωτάτου ἀδελφοῦ καὶ συν-
ιερέως ἡμῶν Ἀναστασίου τοῦ τῆς
Ῥωμαίων ἐκκλησίας ἐπισκόπου·
δι' ὧν ἀδελφικῆς μᾶλλον δὲ πατρικῆς
ἀγάπης μερίμνῃ καὶ εἰλικρινότητι
ἡμᾶς προετρέψατο· ἵνα περὶ τῆς
τῶν αἱρετικῶν δονατιστῶν ἐπιβου-
λῆς καὶ ἀναισχυντίας τῆς κατὰ πᾶ-
σαν τῶν Ἀφρων χώρας καθολικῆς
ἐκκλησίας μεγάλως πορθούσης·
μηδαμῶς προσπαραποιησώμε-
θα· χάριτας ὁμολογοῦμεν τῷ δε-
σπότῃ θεῷ ἡμῶν· ὅτι τοιαύτην εὐσε-
βῆ φροντίδα ἐμπνεῦσαι κατηξίω-
σε· τῷ οὕτω καλλίστῳ καὶ ἁγιωτάτῳ
αὐτοῦ ἱερεῖ ὑπὲρ τῶν μελῶν τοῦ Χριστοῦ
τῶν καὶ ἐν διαφόροις γῆς μέ-
ρεσιν· ἀλλ' ἐν μιᾷ σώματος ἁρμονίᾳ
καθιδρυμένων· — Περὶ τοῦ μετὰ
ξϛ τῶν δονατιστῶν πρᾴως διαπρά-
ξασθαι· Ἴσως ἐκ τούτου καθόλου εἰ

ὁ ἀπόστολος· ἂν ἀνασφήλωσιν ἐκ τῶν
τοῦ διαβόλου βρόχων· αἰχμαλω-
τισθέντων αὐτῶν εἰς τὸ αὐτοῦ
θέλημα:— Ἐπὰν ταῦτα ψηλα-
φηθέντων καὶ καταμονηθέντων
πάντων τῶν τῇ ἐκκλησιαστικῇ χρη-
σιμότητι συντρέχειν δοκούντων·
ἐπινευσάντων καὶ ἐνηχησάντων
τοῦ πνεύματος τοῦ θεοῦ· ἐπελεξάμεθα ἠπί-
ως καὶ εἰρηνικῶς διαπράξασθαι
μετὰ τῶν λυμηνευθέντων ἀν-
θρώπων· κἂν εἰ τὰ μάλιστα ἐκ τῆς
τοῦ κυριακοῦ σώματος ἑνώσεως·
ἀνησυχάστῳ διανοίᾳ ἀποσχίζωσιν·
ἵνα ὅσον τὸ ἐν ἡμῖν πᾶσι καθόλου
γνωσθῇ τοῖς τῇ ἐκείνων κοινωνίᾳ
καὶ ἑταιρίᾳ σαγηνευθεῖσιν· ἀνὰ
πάσας τὰς τῆς Ἀφρικῆς ἐπαρχίας·
πῶς ἐλεεινῇ πλάνῃ κατεδέθησαν·
ἴσως καθὼς λέγει ὁ ἀπόστολος ἡμῶν·
ἐν ἡμερότητι συναγόντων τοὺς
τὰ διάφορα φρονοῦντας· δώσει
αὐτοῖς ὁ θεὸς μετάνοιαν· πρὸς τὸ ἐ-
πιγνῶναι τὴν ἀλήθειαν καὶ ἀνασφή-
λωσιν οἱ ἐκ τῶν τοῦ διαβόλου βρόχ-
αἰχμαλωτισθέντων αὐτῶν· εἰς τὸ αὐ-
τοῦ θέλημα :—

ξζ Περὶ γραμμάτων ὀφειλόντων τοῖς ἄρ-
χουσιν Ἀφρικῆς ἀποσταλῆναι ὥστε
κατάδηλα γενέσθαι τὰ μεταξὺ τῶν
δονατιστῶν καὶ μαξιμιανιστῶν πρα-
Ἤρεσε τοίνυν ἵνα ἐκ τῆς χθέντα:—
ἡμετέρας συνόδου γράμματα πρὸς
τοὺς τῆς Ἀφρικῆς ἄρχοντας δοθῶ-
σιν· ἀφ' ὧν αἰτῆσαι ἁρμόδιον ἔδοξε
περὶ τοῦ βοηθῆσαι τῇ κοινῇ μητρὶ τῇ
καθολικῇ ἐκκλησίᾳ· ἐν οἷς ἡ τῶν ἐ-
πισκόπων αὐθεντία ἐν ταῖς πό-
λεσι καταφρονεῖται· τουτέστιν ἵνα
ἀρχοντικῇ δυναστείᾳ καὶ ἐπιμελείᾳ
καὶ χριστιανικῇ πίστει ἅμα ἐξετάσωσι
τὰ γενόμενα ἐν ὅλοις τοῖς τόποις·
ἐν οἷς οἱ μαξιμιανισταὶ τὰς ἐκκλησί-
ας κατέχουσιν· ἔτι δὲ καὶ τοῖς ἀπ' αὐτῶν
ἀποσχίσασι πᾶσι καὶ δημοσίοις πεπρα-
γμένοις τὴν περὶ τούτων γνῶσιν βε-
βαίαν πᾶσιν ἅμα καὶ ὡς ποιήσωσιν
ξη ἐντεθῆναι. Περὶ τοῦ τοὺς κλη-
ρικοὺς τῶν δονατιστῶν ἐν τῷ κλήρῳ
τῆς καθολικῆς ἐκκλησίας ἀναδέ-
χεσθαι διορθουμένους τῆς βουλῆς
αὐτῶν· καὶ εἰ πρὸς τὴν καθολικὴν ἑ-
νότητα μετελθεῖν θελήσοιεν:—
Εἰς ὕστερον ἤρεσεν ἵνα γράμματα

πεμφθῶσι πρὸς τοὺς ἀδελφοὺς καὶ συνεπισκόπους ἡμῶν· καὶ μάλιστα πρὸς τὴν ἀποστολικὴν καθέδραν· ἐν ᾗ προκάθηται ὁ ὑμνημονευθεὶς προσκυνητὸς ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν Ἀναστάσιος· ἐπειδὴ γινώσκει τὴν Ἀφρικὴν μεγάλην ἀνάγκην ἔχειν· ὥστε διὰ τὴν τῆς ἐκκλησίας εἰρήνην καὶ χρησιμότητα· καὶ δι' αὐτῶν τῶν δογματιστῶν· οἵτινες δή ποτε κληρικοὶ διορθούμενοι τῆς βουλῆς· πρὸς τὴν καθολικὴν ἑνότητα μετελθεῖν θελήσοιεν κατὰ τὴν ἑνὸς ἑκάστου καθολικοῦ ἐπισκόπου προαίρεσιν καὶ βουλήν· τοῦ ἐν τῷ αὐτῷ τόπῳ κυβερνῶντος τὴν ἐκκλησίαν· ἐὰν τοῦτο συμβάλλεσθαι τῇ τῶν χριστιανῶν εἰρήνῃ φανείη· ἐν ταῖς ἰδίαις τιμαῖς αὐτοὺς ἀναδεχθῆναι· καθὼς καὶ ἐν τοῖς προλαβοῦσι χρόνοις περὶ τῆς αὐτῆς διαστάσεως γενέσθαι φανερόν ἐστιν· ὅπερ πολλῶν καὶ σχεδὸν πασῶν τῶν ἐν τῇ Ἀφρικῇ ἐκκλησιῶν· ἐν αἷς ἡ τοιαύτη πλάνη ἀνεφύη τὰ παραδείγματα μαρτυροῦνται· οὐχ ἵνα ἡ σύνοδος ἡ ἐν τοῖς περαματικοῖς περὶ τούτου

τοῦ πράγματος γενομένη διαλυ-
θῆ· ἀλλ' ἵνα ἐκεῖνοι μὲν εἰ μὴ περὶ τοὺς
οὕτως μετελθεῖν πρὸς τὴν καθο-
λικὴν ἐκκλησίαν βουλομένοις· ὥσ-
τε μηδεμίαν ἐπὶ τούτων τῆς ἐνό-
τητος συντομίαν περιεργάζεσθαι·
διὰ τὸ μηδὲ πάντι τρόπῳ ἐκτελεσθῆναι
καὶ προσωνηθηθῆναι ἢ καθολικῇ
ἑνότητος φανερῷ κέρδει τῶν ἀδελφι-
κῶν ψυχῶν φανείη· ἐν τοῖς τόποις
οἷς διάγουσι μηδὲ ἐμποδίσῃ τούτοις
τὸ ὁρισθὲν κατὰ τῶν τιμῶν αὐτῶν
ἐν τῇ περαματικῇ συνόδῳ· ὁπόταν
τὸ σωθῆναι οὐδενὶ προσώπῳ ἀπο-
κέκλεισται· τουτέστιν ἵνα οἱ χειροτο-
νηθέντες ἐν τῷ τῶν δογματιστῶν
μέρει· ἐὰν πρὸς τὴν καθολικὴν πί-
στιν διορθωθέντες μετελθεῖν θελήσοιεν·
μηδὲ κατὰ τὴν περαματικὴν σύνο-
δον μὴ δεχθῶσιν ἐν ταῖς οἰκείαις
τιμαῖς· ἀλλὰ μᾶλλον οὗτοι προσδε-
χθῶσι· διὰ τὴν τῇ καθολικῇ ἑνότητι
γινομένην πρόνοιαν:– ξθ

Περὶ τοῦ πρεσβείαν πρὸς τοὺς δογμα-
τιστὰς ἀποσταλῆναι χάριν τοῦ τὴν
εἰρήνην συνθῆναι· καὶ ἵνα γνῶσιν ὡς
οὐδὲν ἔχουσι εὔλογον κατὰ τῆς

καθολικῆς ἐκκλησίας· ἀλλ' ὅτι μω-
-ρᾷ καρδίᾳ ἀντιπράσσομεν τῇ εἰρή-
-νῃ τῆς καθολικῆς ἐκκλησίας· τῆς
ἐν παντὶ τόπῳ διακεχυμένης·
ταῦτα ποιοῦντες ὑπὲρ τοῦ μέρους
τοῦ δόγματος· α
Ἤρεσεν ἔπειτα ὥστε τούτων περ-
-χθέντων τὸ ποτηρητὰς περὶ
τοῦ κηρύξαι εἰρήνην καὶ ἑνότητα·
ἧς τινος χωρὶς ἡ τῶν χριστιανῶν
σωτηρία καθίστασθαι οὐ δύναται·
πεμφθῆναι ἐκ τοῦ ἡμετέρου ἀρι-
-θμοῦ πρὸς τοὺς τῶν αὐτῶν δογμά-
-των· εἴτε τινὰς ἔχουσιν ἐπισκό-
-πους· εἴτε λαούς· δι' ὧν τὸ ποτηρη-
-τῶν· πᾶσιν ἐν γνώσει γένηται· πῶς
οὐδὲν ἔχουσιν εὔλογον κατὰ τῆς κα-
-θολικῆς ἐκκλησίας· μάλιστα ἵνα φα-
-νερὸν πᾶσι γένηται διὰ τῶν πολι-
-οχμιωτικῶν πεπραγμένων πρὸς
πίστωσιν τῆς ἀποδείξεως· ἅπερ
αὐτοὶ περὶ τῶν μαξιμιανιστῶν τῶν
ἰδίων σχισματικῶν ἔπραξαν· ἐνθα
αὐτοῖς θεόθεν ἀποδείκνυται· ἐὰν ἐ-
-πισκέψασθαι θελήσοιεν οὕτως ἀδίκως
τότε αὐτοὺς ἀπὸ τῆς ἐκκλησιαστι-
-κῆς ἑνώσεως ἀποσχίσαντας· ὡς

περ ἐχράζουσιν ἀδίκως ἅπαντες αὐτῶν
τοῖς κεαξι μεγαλοπρεπεστάτοις ἡμῶν ἀποσχίσαι·
ἐκ δὲ τοῦ ἀριθμοῦ τούτων· οἱ τὴν
φανερὰν τῆς οἰκείας βουλήσεως θεμ-
τίαν κατεδίκασε μεθ᾽ ἃ παραιτοῦ ἐν ταῖς
ἰδίαις τιμαῖς ἀνεδέξαντο· καὶ τὸ
κάππισμα ὃ οἱ παρ᾽ αὐτοῖς καταδε-
δικασμένοι καὶ ἐκκεκλημένοι δεδω-
κασι· προσεδέξαντο· πρὸς τὸ δει-
χθῆναι πάσης μωρᾶς καρδίας ἀντι-
τασσομένης τῇ εἰρήνῃ τῆς ἐκκλησί-
ας· τῆς δὲ ἐν παντὶ τῷ κόσμῳ δια-
κεχυμένης· ταῦτα ποιοῦντες
ὑπὲρ τοῦ μέρους τοῦ Δονάτου· καὶ
μὴ λέγοντες ἑαυτοὺς μολύνεσθαι τῇ
κοινωνίᾳ τῶν παρ᾽ αὐτοῖς οὕτως
διὰ τὸ ἀκούσιον τῆς εἰρήνης ἀνα-
δειχθέντας· ἡμῖν δὲ φιλονεικοῦν-
τας· τουτέστι τῇ καθολικῇ ἐκκλησίᾳ·
ἐπιμονὴν καὶ τῆς ἐν τοῖς ἐσχάτοις με-
ρεσι τῆς γῆς καθεστώσης διὰ τῆς με-
μιασμένης τούτων κοινωνίας· ὧν
τινων πρόθεσιν καὶ τινῶν τὸ πάντες,
ἐλέγξαι αὐτοὺς οὐκ ἠδυνήθησαν:—
ερὶ τοῦ ποῖοι ὀφείλουσι κληρικοὶ γυ-
ναικῶν ἀπέχεσθαι:— θ
Πρὸς ἐπὶ τούτοις δὲ ἐν τῷ περὶ ἐγκρα-

τείας τὰς περὶ τὰς οἰκείας γαμετὰς
τιμῶν ἐφημερευομένεσθαι κληρικῶν τ
ἤρεσεν ὥστε τοὺς ἐπισκόπους καὶ
πρεσβυτέρους καὶ διακόνους κατὰ
τοὺς ἰδίους ὅρους ἐκ τῶν ἰδίων ὁμέτι
μὴν ἀπέχεσθαι γαμετῶν· ὅπερ εἰ
μὴ ποιήσωσιν, ἀπὸ τῆς ἐκκλησια-
στικῆς ἀποκινηθῶσι τάξεως· τοὺς
δὲ λοιποὺς κληρικοὺς πρὸς τοῦτο
μὴ ἀναγκάζεσθαι· ἀλλ' ὀφείλειν κατὰ
τὴν ἑκάστης ἐκκλησίας συνήθειαν
παραφυλάττεσθαι:— οα
Περὶ τῶν τοὺς ἰδίους λαοὺς ἐγκατα-
λιμπανόντων:—
Πάλιν ἤρεσεν ὥστε μηδενὶ ἐξεῖναι
ἐπισκόπων καταλειφθείσης τῆς
αὐθεντικῆς αὐτοῦ καθέδρας πρὸς
ἑτέραν ἐκκλησίαν ἐν διοικήσει καθε-
στῶσαν ἑαυτὸν ἀποφέρειν· ἢ ἐν οἰκεί-
ῳ πράγματι ὑπὲρ ὃ χρὴ ἐπὶ πολὺ
ἀπασχολουμένων ἀμελεῖν τῆς φρον-
τίδος καὶ τῆς συνεχείας τοῦ ἰδίου
θρόνου:— Περὶ νηπίων ὀφειλόντων οβ
βαπτίζεσθαι ὁσάκις ἀμφιβάλ-
λεται περὶ αὐτῶν εἰ ἄρα ἐβαπτίσθησαν:—
Ὁμοίως ἤρεσε περὶ τῶν νηπίων, ὁσά-
κις μὴ εὑρίσκονται βέβαιοι μάρτυρες

οἵτινες αὐτὰ ἀναμφιβόλως βαπτισθέν
τα εἶναι λέγουσιν· καὶ οὐδὲ αὐτὰ
διὰ τὴν ἡλικίαν, περὶ τῆς παραδο
θείσης αὐτοῖς μυσταγωγίας ἀπο
κρίνασθαι ἐπιτηδείως ἔχουσι χω
ρὶς τινος προσκόμματος ὀφείλειν
ταῦτα βαπτίζεσθαι, μήποτε ὁ τοι
οῦτος δισταγμὸς ἀποστερήσει αὐτὰ
τῆς τοιαύτης τοῦ ἁγιασμοῦ καθάρ
σεως· ἐκ τούτου γὰρ οἱ τοποτηρη
ταὶ τῶν Μαύρων ἀδελφοὶ ἡμῶν πρ
τοεβουλεύσαντο· ὅτι πολλοὺς τοι
ούτους ἀπὸ τῶν βαρβάρων ἐξαγο
ογ ράζονται:— Περὶ τοῦ τὴν ἡμέραν
τοῦ πάσχα ἐν τῇ ἡμέρᾳ τῆς συνό
δου ἀγγέλλεσθαι:—
Ὁμοίως ἤρεσεν ὥστε τὴν ἡμέραν τῆς
προσκυνητοῦ πάσχα διὰ τῆς τῶν
τετυπωμένων ὑπογραφῆς, πᾶσιν
ἐμφανίζεσθαι· ἡ δὲ τῆς συνόδου ἡ
μέρα, ἡ αὐτὴ φυλαχθῇ· ἥτις ὡρίσθη
ἐν τῇ Ἱππώνων συνόδῳ· τουτέστιν ια΄
πρὸ δέκα καλανδῶν Σεπτεμβρίων·
ὀφείλει γὰρ καὶ γραφῆναι πρὸς τοὺς
πρωτεύοντας πασῶν τῶν ἐπαρ
χιῶν· ἵνα ὅτε παρ' ἑαυτοῖς σύνοδον
προσκαλοῦνται, ταύτην τὴν ἡμέραν

φυλάττωσιν:— οδ ε
περὶ τοῦ μὴ ὀφείλειν ἐπίσκοπον ἐπιξε-
νούμενον καθέζεσθαι, εἰ μὴ καθέδραν
ἐπιξενοῦται:— Ὁμοίως ὡρίσθη·
ὥστε μηδενὶ ἐξεῖναι μεσίτῃ τὴν καθέ-
δραν κατέχειν, ἧ τινι μεσίτης δέδοται·
διὰ οἱασδήποτε τῶν λαῶν σπουδὰς
ἢ διχοστασίας· ἀλλὰ σπουδάζειν ἐν-
τὸς ἐνιαυτοῦ τοῖς αὐτοῖς προνοεῖ-
σθαι ἐπίσκοπον· εἰ δὲ περὶ τούτου
ἀμελήσοι, μετὰ τὴν περαίωσιν τοῦ
ἐνιαυτοῦ, ἕτερος ψηφισθήσεται μεσίτης:—
ερὶ ἐκδίκων τῶν ἐκκλησιῶν τῶν ὀφει- οε
λομένων ἀπὸ τοῦ βασιλέως αἰτηθῆναι:—
ᾶσιν ἔδοξεν αἰτῆσαι ἀπὸ τῶν
βασιλέων διὰ τὴν τῶν πενήτων
κάκωσιν, ὧν ταῖς ἐπαχθείαις ἀ-
παύστως ἡ ἐκκλησία παρενοχλεῖ-
ται, ὥστε ἐκδίκους τούτοις μετὰ
τῆς τῶν ἐπισκόπων προνοίας
ἐπιλεγῆναι κατὰ τῆς τῶν πλουσί-
ων τυραννίδος:— οϛ
περὶ τῶν μὴ ἀπαντώντων ἐν ταῖς
συνόδοις ἐπισκόπων:— ε
μοίως ἠρέσθη· ἵνα ὁσάκις δήποτε
σύνοδον δεῖ συναχθῆναι, οἱ ἐπίσκο-
ποι οἵτινες οὔτε γήρᾳ οὔτε ἀσθενεί-

οὔτε τιμιωτέρα ἀνάγκη ἐμποδίζο-
ται. ἁρμοδίως ἅπασι καὶ τοῖς
πρωτεύουσιν ἑκάστης ἰδίας αὐτῶν
ἐπαρχίας ἐμφανισθείη περὶ πάν-
των τῶν ἐπισκόπων· εἴτε δύο εἴτε
τρεῖς συναθροίσεις γίνονται· καὶ
ἀπὸ ἑκάστου δὲ ἀθροισμοῦ εἰς ἀμοι-
βὴν ὅσοι δή ποτε ἐπιλεγῶσι πρὸς τὴν
ἡμέραν τῆς συνόδου ἐνστατικῶς ἀ-
παντήσωσιν· ἐὰν δὲ μὴ δυνηθῶσιν
ἀπαντῆσαι αἰθρόων τινῶν ἀναγκῶν
ὡς εἰκὸς ἀναφυομένων· εἰ μὴ τὸν λό-
γον τοῦ οἰκείου ἐμποδισμοῦ παρὰ
τῷ οἰκείῳ πρωτεύοντι ἀποδώσωσιν·
ὀφείλειν τοὺς τοιούτους τῇ κοινωνίᾳ
τῆς ἰδίας αὐτῶν ἀρκεῖσθαι ἐκκλησίας:-

οε Περὶ Χρεσκονίου τοῦ Μιλλαρεχενσίου.

τοῦτο πᾶσιν ἔδοξεν· ἵνα ἐντεῦθεν
ὁμοίως ἐμφανισθείη τῷ πρωτεύον-
τι τῆς Νουμηδίας· πρὸς τὸ εἰδέναι αὐ-
τὸν ὀφείλειν γράμμασιν οἰκείοις πρὸς
συνέλευσιν προτρέψασθαι τὸν μνη-
μονευθέντα Χρεσκόνιον· ὥστε μὴ
ὑπερθέσθαι τὴν παρουσίαν αὐτοῦ,
τῇ πλησιαζούσῃ συμπάσῃ Ἀφρικα-
νῇ συνόδῳ παρασχεῖν· ἐὰν δὲ τοῦ ἐλ-
θεῖν καταφρονήσῃ· ἔσται εἰδὼς κατ'

αὐτοῦ ψῆφον νομοθετηθησομένην:–
περὶ τῶν ἐν ἱππῶνι φροντιςῶν τῆς ΟΗ
ἐκκλησίας:– ἄλιν ἤρεσεν ἡμῖν ἐ-
πειδὴ τῆς ἐκκλησίας τῶν ἐν ἱππῶ-
νι φροντιςῶν ἡ ἐγκατάλειψις οὐκ ὀ-
φείλει ἐπὶ πολὺ ἀμεληθῆναι· καὶ ἐπει-
δὴ αἱ ἐκεῖ ἐκκλησίαι κατέχονται παρὰ
τῶν τὴν ἀπόστασιν τοῦ αἰκυπτίου κοι-
νωνίαν παραιτησαμένων πεμ-
φθέντες ἐκ τῆς παρούσης συνόδου
ἐπισκόπων· ῥηγίνου· ἀλυπίου· αὐ-
γουστίνου· ματέρνου· θεασίου· εὐοδί-
πλακιανοῦ· οὐρβανοῦ· οὐαλερίου·
ἀββίου· φουρτουνάτου· κουολωδλ-
δαίου· ὁνωράτου· ἰανουαρίου ἄπτου·
αἰμιλίου· οὐικτοριανοῦ· εὐαγγέλου·
καὶ ῥογατιανοῦ· ἵνα συναχθέντων
καὶ διορθωθέντων τῶν τῶν ἐπὶ ψόγοις
ὠμοτομία τὴν φυγὴν τοῦ αὐτοῦ
αἰκυπτίου προσδοκητέαν λογισαμέ-
νων· μετὰ τῆς πάντων εὐχῆς ἐπί-
σκοπος τούτοις χειροτονηθεῖ· ἐὰν
δὲ μὴ θελήσωσιν ἐκεῖνοι τὴν εἰρήνην
καταμονῆσαι· μὴ ἐμποδίσωσι τῇ ἐπι-
λογῇ τοῦ προέδρου· πρὸς τὸ χειροτο-
νηθῆναι εἰς χρησιμότητα τῆς ἐπὶ
τοσοῦτον χρόνον ἐγκαταλειφθείσης

οθ ἐκκλησίας:— Περὶ τῶν μὴ φροντι-
ζόντων κληρικῶν ἐντὸς ἐνιαυτοῦ
πρᾶξαι τὸ ἴδιον πρᾶγμα:—
Πάλιν ὡρίσθη· ἵνα ὁσάκις κληρικῶν
ἐλεγχθέντων καὶ καταιθεμένων ταῖς
ἐγκλήματα· εἴτε διὰ τὸ τῆς ἐκκλησί-
ας ὄνειδος· εἴτε διὰ τὴν αἰδεσιμότη-
τα· ὧν χάριν τούτοις φειδὼ γίνεται·
εἴτε διὰ τὴν ἀλαζονείαν τῶν αἱρε-
τικῶν καὶ ἐθνικῶν ἐπηγαυρίασιν,
ἐὰν ὡς εἰκὸς ἐπαγωνίσασθαι τῷ ἰ-
δίῳ πράγματι· καὶ τῆς ἰδίας εὐλα-
βείας φροντίσαι θελήσωσιν· ἐν τῷ
ἀκοινωνησίας ἐνιαυτοῦ τοῦτο ποι-
ήσωσιν· ἐὰν δὲ ἐντὸς ἐνιαυτοῦ τοῦ-
το τὸ πρᾶγμα αὐτῶν καθᾶραι κα-
ταφρονήσωσι· μηδεμία τούτων
τοῦ λοιποῦ φωνὴ παντελῶς προσ-
π δεχθείη:— Ὥστε τοὺς ἀπὸ ἀλλο-
τρίου μοναστηρίου ὑποδεχθέντας·
μηδὲ ἡγουμένους τοῦ μοναστηρίου·
μηδὲ κληρικοὺς ὁρίζειν χειροτονεῖν:—
Ὁμοίως ὡρίσθη· ἵνα ἐάν τις ἀπὸ ἀλλο-
τρίου μοναστηρίου ὑποδέξηταί τι-
να· καὶ προσκληρῶσιν προσαγαγεῖν
ἐθελήσοι· ἢ τοῦ ἰδίου μοναστηρίου ἡ-
γούμενον καταστήσοι· ὁ τοῦτο ποιῶν

ἐπίσκοπος ἀπὸ τῆς τῶν λοιπῶν
κοινωνίας χωριζόμενος· τῇ τοῦ
ἰδίου λαοῦ κοινωνίᾳ ἀρκεσθείη μόνῃ·
ἐκεῖνος δὲ μηδὲ κληρικὸς· μηδὲ ἡγού-
-μενος ἐπιμείνῃ:— πα

Περὶ ἐπισκόπων τῶν αἱρετικοὺς ἢ
ἕλληνας κληρονόμους καταλιμπ(ανόντων)
Ὡσαύτως ὡρίσθη· ἵνα ἐὰν ... μὸν τῶ:—
τις ἐπίσκοπος· κληρονόμους συγ-
-γενεῖς ἢ ἐκτὸς τῆς ἰδίας συγγενείας·
αἱρετικοὺς ἢ ἕλληνας προτιμήσῃ
τῆς ἐκκλησίας· καὶ μετὰ θάνατον
ἀνάθεμα τῷ τοιούτῳ λεχθείη· καὶ
τὸ ὄνομα αὐτοῦ μηδαμῶς παρὰ
τοῖς τοῦ θ(εο)ῦ ἱερεῦσιν ἀνεμνησθῆ·
μηδὲ δυνηθῇ ἀπολογηθῆναι. ἐὰν
ἀδιαθέτως ἀπογένηται· ἐπειδὴ
γενόμενος ἐπίσκοπος· εἰκότως
ὀφείλει τῶν πραγμάτων αὐτοῦ
τὴν διατύπωσιν ἁρμοδίαν τῷ ἐ-
-αυτοῦ ἐπαγγέλματι ποιήσασθαι:—

Περὶ ἐλευθερώσεων :· πβ
Ὡσαύτως ἤρεσεν ἵνα περὶ τῶν ἐν τῇ
ἐκκλησίᾳ γινομένων ἐλευθερώσεων
ἀπὸ τοῦ βασιλέως αἴτησις γένηται:—

Περὶ πλασμάτων μνημείων τ(ῶν) μαρτύρ(ων):— πγ
Ὡσαύτως ἤρεσεν ἵνα πανταχοῦ ἂν τὰ

τοῖς ἀγροῖς καὶ τοῖς ἀμπελῶνας·
θυσιαστήρια ὡσανεὶ εἰς μνήμην μαρ-
τύρων καθίστανται· ἐν οἷς οὐδὲ
ἓν σῶμα ἢ λείψανον μαρτύρων ἐ-
ναποκείμενα δείκνυται· ἀπὸ τῶν
ἐν τόποις ἐπισκόπων. εἰ ἐφικτὸν εἶναι
τὸν καταστρέφονται· εἰ δὲ τοῦτο θο-
ρύβοις δημοτικοῖς οὐ συγχωρεῖται·
ὅμως τὰ πλήθη νουθετηθῶσι· μὴ
ὀχλαγωγεῖν τοῖς τόποις ἐκείνοις·
καὶ ἵνα οἱ τὰ ὀρθὰ φρονοῦντες,
μηδεμιᾷ δεισιδαιμονίᾳ τῶν τοιού-
των τόπων κατασχῶνται· καὶ
παντελῶς μηδεμία μνήμη μαρτύρων
ἐπιτελεσθείη· εἰ μὴ ὅπου σῶμα ἢ τινὰ
λείψανα ὦσιν· ἢ ἀρχαιότητι παραδί-
δοται· ὅσα γὰρ δι' ἐνυπνίων καὶ ματαί-
ων ἀποκαλύψεων τινῶν ἀνθρώπου
δή ποτε καθίστανται θυσιαστήρια
παντὶ τρόπῳ τὰ τοιαῦτα ἀποδο-
κιμασθῶσιν:– πδ

Περὶ τοῦ τὰ λείψανα τῶν εἰδώλων
ἐκριζωθῆναι:– Ὁμοίως ἤρεσεν
αἰτηθῆναι ἀπὸ τῶν ἐνδοξοτάτων
βασιλέων· ἵνα τὰ λείψανα τῆς εἰδω-
λολατρίας μὴ μόνον τὰ ἐν ξοάνοις·
ἀλλὰ καὶ ἐν οἱοισδήποτε τόποις. ἢ

ἄλσε ἐστιν· ἢ δὲ ἐν δρόμοις. πᾶν τὸ πρότερον
ἐξαλειφθῶσιν:—
στε γράφεσθαι καὶ ὑπογράφεσθαι ἀν
ὁσάκις ἐὰν γένηται χρεία ἐκ τοῦ ἐν καρ
χηδόνι ἐπισκόπου ἐπ' ὀνόματι πάντων
τῶν τῶν ἐπισκόπων ἐπιστολάς:—
πὸ συμπάντων τῶν ἐπισκόπων
ἐλέχθη· ἵνα ἐὰν ἤρεσε τινὰ γράμματα
τα ὀφείλειν ὑπαγορευθῆναι ἐκ τῆς
συνόδου· ὁ προσκυνητὸς ἐπίσκοπος
ὁ ἐν τῷ θρόνῳ τούτῳ προκαθήμε
νος· καταξιοῖ ἐπ' ὀνόματι πάντων
ὑπαγορεύειν καὶ ὑπογράφειν ἐν οἷς
ἤρεσεν· ἐπιμένειν τοῖς τοποτηρηταῖς
ἐπισκόποις τοῖς ὀφείλουσιν ἀγω
φαλῆναι εἰς τὰς τῆς ἀφρικῆς ἐπαρ
χίας· ἐν ἐκείνῳ τῷ δόγματι φῶν γράμ
ματα δοθῆναι δύναμιν ἐκ τοῦ πολικοῦ
περιέχονται· ἣν δύναμιν μὴ παρε
ξέλθωσιν:— αἱ ὑπέγραψαν:—
Αὐρήλιος ἐπίσκοπος τῆς καρχηδο
νέων ἐκκλησίας. τοῖς παροῦσι ψηφί
σμασι συνήνεσα καὶ ἀναγνωσθέν
τι ὑπέγραψα:— ὁμοίως καὶ οἱ λοι
ποὶ ἐπίσκοποι. ὑπέγραψαν:—
ἐν ταύτῃ τῇ συνόδῳ τὰ προλαβόν
τα ψηφίσματα κυροῦνται:—

Co(n)cilium Mileuitanu(m)

Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων Ἀρ-
καδίου καὶ Ὁνωρίου τῶν αὐγούστων
ὑπάτων· τῇ πρὸ ζ' καλανδῶν σεπτε-
μβρίων ἐν τῇ μελιβιταμῇ πόλει εἰς τὸ
σέκρετον τῆς ἐκκλησίας :-
Αὐρήλιος ἐπίσκοπος τῆς Καρχηδο-
νέων ἐκκλησίας προκαθίσας σὺν
πάσῃ τῇ συνόδῳ, παρεστώτων τῶν
διακόνων, εἶπεν· ἐπειδὴ τῆς ἁγίας
ταύτης ἐκκλησίας ἐν σώματι ὑπάρχει·
καὶ πάντων τῶν μελῶν μία ἐστὶ κεφα-
λή· συνέβη θέλοντος τοῦ θεοῦ καὶ τὴν
ἡμετέραν ἀσθένειαν ἐνδυναμοῦν-
τος· ὥστε πρὸς ταύτην τὴν ἐκκλη-
σίαν ἐλθεῖν ἡμᾶς· ἀγάπης καὶ ἀδελ-
φότητος χάριν τι προτραπέντας·
διὸ παρακαλῶ τὴν ὑμετέραν ἀγάπην·
ἐπειδὴ οὕτως ἐστὶ πιστευτέον ὅτι ἡ ὑμε-
τέρα παρ' ὑμῖν προσέλευσις· οὔτε
περιττή, οὔτε ἡδυτάτη πᾶσιν ἐστίν·
ἵνα ἀναγνώσεως πάντων ἡμῶν φανε-
ρωθῇ· ὁμονοεῖν τοῖς συνδόξασι τῶν
ψηφισμάτων τῶν πάλαι· εἴτε κατὰ
τὴν ἐν Ἵππωνι σύνοδον βεβαιωθέν-
των· εἴτε μετὰ ταῦτα τῇ ἐν Καρχηδό-
νι κρείττονι συνόδῳ ὁρισθέντων·
ὁμοίως δὲ καὶ νῦν κατὰ τάξιν ἡμῶν

ἀμφιγνωμονούμενον· τό τε γὰρ τῆς
ὑμετέρας ἀδελφότητος ἡ ὁμόνοια·
λαμπροτέρα τοῦ φωτὸς ἀναδει
χθήσεται· ἐὰν τὰ παρ' ἡμῶν ἐν ταῖς
ἀμφοτέραις συνόδοις ὁμολόγως ὁ
ρισθέντα· μὴ μόνον τῇ ἐν τοῖς πα
ροῦσι πεπραγμένοις συναινέσει ὑμῶν·
ἀλλὰ καὶ ὑπογραφαῖς ἐπιμὴν φανε
ρώσητε:— Ἀρκτίππος ἐπίσκο
πος τῆς πρώτης καθέδρας τῆς
Νουμηδίας εἶπεν· ιφεύνω ὅτι οὐ
πάσῃ τῇ ἀδελφότητι ἤρεσεν· ὑπο
γράφομεν δὲ ἡμεῖς τῇ ἰδίᾳ ὑποση
μειώσει· βεβαιοῦμεν ἀρέσαι:—
αὐτὰ ὁρισθέντα ἰδιοχείρως ἐμεν
ωσαν:— Ἰκέτιος ἐπίσκοπος τῆς
πρώτης καθέδρας τῆς Μαυριτα
νίας Σιτιφένσης εἶπεν:—
Τὰ ἀναγνωσθέντα ψηφίσματα·
ἐπειδὴ λογισμοῦ οὐκ ἐστέρηνται· καὶ
ἀπὸ πάντων ἐκυρώθησαν· ἐπιμὴν
καὶ τῇ ἐμῇ μετριότητι ταῦτα ἀρέσκου
σιν· ἅπερ τῇ οἰκείᾳ ὑπογραφῇ βεβαι
ώσω:— Περὶ τάξεως ἐπισκόπων πϙ
ὥστε τοῖς μετ' αὐτῶν ὑστέρως χειρο
τονηθέντας· μὴ τολμᾶν ἑαυτοὺς
προτιμᾶν τῶν προτέρων:—

Βαλεντῖνος ἐπίσκοπος εἶπε· τὸ φρόνημα
τῆς ὑμετέρας ἀνεξικακίας ἐὰν ἐπι-
τρέπῃ· ἀκολούθως ὑφηγήσομαι· τὰ
ἐν τῷ προλαβόντι χρόνῳ εἰς τὴν
Καρχηδονέων ἐκκλησίαν πραχθέν-
τα· καὶ ταῖς τῶν ἀδελφῶν ὑπογρα-
φαῖς φανερῶς κυρωθέντα· καὶ ἡ-
μᾶς ἐπιμελῶς φυλάξοντας ὁμολογήσω.
ἐκεῖνο τοίνυν ὑμῖν ἐπιστάμεθα ἀμύαντον
ἀεὶ τὴν ἐκκλησιαστικὴν φυλάττεσθαι
κατάστασιν οὕτως ὥστε μηδένα τῶν
ἀδελφῶν τολμᾶν ἑαυτὸν προτιμᾶν
προπετῶς πρὸ αὐτοῦ· ἀλλὰ ταῖς
τῆς ἀγάπης τάξεσιν· ἀεὶ παρεσχέθη
τοῖς προτέροις· ὅπερ οἱ ἐπακολου-
θοῦντες χαριέντως κατεδέξαντο·
ταύτην οὖν τὴν τάξιν κελεύσει ἡ ὑμε-
τέρα ἁγιωσύνη. κρειττόνως ταῖς
ἡμετέραις διαλαλιαῖς βεβαιῶσαι:
Αὐρήλιος ἐπίσκοπος εἶπεν· οὐκ ἐχρῆν
μὲν ταῦτα ἡμᾶς ἐπαναλαμβάνειν.
εἰ μὴ ἐὰν τυχὸν ἀκατανόητοι διάνοι-
αι τινῶν ἀνεφύησαν· αἱ πρὸς τοὺς
ὅρους τούτους τὰς ἡμετέρας αἰσθή-
σεις ὀξύνουσαι· ἀλλ᾽ ἐπειδὴ αὕτη κοι-
νὴ ἔφυ αἰτία ἡμῖν νῦν ὅμως ἐφάμισον ὁ
ἀδελφὸς καὶ συλλειτουργὸς ἡμῶν·

ὥσπερ ἕκαστον μὲν ἐπιγινώσκειν τὴν πα-
ρὰ τοῦ θεοῦ ψηφισθεῖσαν αὐτῷ τάξιν·
καὶ ἵνα οἱ μεταγενέστεροι τοῖς προ-
τέροις ἀναφέρωσι· καὶ μὴ τολμῶ-
σι παρὰ γνώμην τούτων τί ποτε
πράττειν· διὰ τοῦτο λέγω καθὼς
τὸν ἐμὸν ὑπερέχει λογισμόν· τοὺς
καταφρονοῦντας τῶν πρὸ αὐτῶν·
καί τινα ἄτοπα τολμῶντας· κωλυ-
τέους ἁρμόδιον εἶναι ἀπὸ πάσης
τῆς συνόδου:~

ἀγκιππος ἐπίσκοπος τῆς πρώτης
καθέδρας τῆς Νουμηδίας εἶπεν·
ἤκουσεν ἡ πάντων τῶν ἀδελφῶν
παρουσία· τὴν ὁδ' ἀκολούθησιν τοῦ
ἀδελφοῦ καὶ συνιερέως ἡμῶν Αὐρη-
λίου· τί πρὸς ταῦτα ἀποκρίνεται:-

Διαπιανὸς ἐπίσκοπος εἶπε· τὰ πα-
ρὰ τῆς ψήφου τῶν ἀρχαίων ὁρισθέν-
τα τῇ ὑμετέρᾳ συναινέσει ἐκδοθή-
σονται· ἵνα τὰ περιεχόμενα τοῖς
πεπραγμένοις τῶν προτέρων συ-
νόδων ἐν τῇ Καρχηδόνι ἐκκλησίᾳ·
κατὰ τὴν ὑμετέραν συναίνεσιν πε-
πληρωμένως ὑϊεναια παρὰ πᾶσι
φυλαχθῶσιν:-

σ ύμπαντες οἱ ἐ-
πίσκοποι εἶπον· ἡ τάξις αὕτη καὶ

ἀπὸ τῶν προτέρων καὶ ἀπὸ τῶν ἀρχαί-
ων ἐφυλάχθη καὶ ἀφ' ἧ μόνην κατὰ
συγχώρησιν θεοῦ φυλαχθήσεται· σω-
ζομένου ἐπιμονὴν τοῦ δικαίου τῶν
πρωτευόντων τῆς νουμηδίας καὶ
μαυριτανίας· ἐκ τοῦ χαρτοθεσίου
καὶ ματρικίου τῆς νουμηδίας. Ἔ-
πειτα ἤρεσε πᾶσι τοῖς ἐπισκόποις
τοῖς ἐν ταύτῃ τῇ συνόδῳ ὑπογρά-
ψασιν· ἵνα τὸ ματρίκιον καὶ ἀρχέτυ-
πον τῆς νουμηδίας· καὶ εἰς τὴν πρώ-
την καθέδραν ᾖ καὶ εἰς τὴν μητρόπο-
λιν κωνσταντίαν :— πε

Περὶ κουοδβουλτδέου ἐπισκόπου τοῦ
κεντουριάτου· ἐπειδὴ τοῦ ἐναντίου
αὐτοῦ αἰτήσαντος παρὰ τῇ ὑμετέρᾳ
συνόδῳ εἰσενεχθῆναι· ἐρωτηθεὶς
εἰ ἄρα βούλεται μετ' αὐτοῦ παρὰ τοῖς
ἐπισκόποις ἀποπειραθῆ· πρῶτον
μὲν ὑπέσχετο· τῇ δὲ ἄλλῃ ἡμέρᾳ· τοῦτο
μὴ ἀρέσκειν αὐτῷ ἀπεκρίνατο· καὶ ἀ-
νεχώρησεν· ἤρεσε πᾶσι τοῖς ἐπισκό-
ποις ἵνα μηδεὶς τῷ αὐτῷ ἐπισκόπῳ
κοινωνήσῃ. ἕως οὗ τὸ κατ' αὐτὸν πρᾶγ-
μα περατωθῇ· τὴν γὰρ ἐπισκοπὴν ἀπ'
αὐτοῦ ἀφαιρεθῆναι πρὸ τῆς ἐκβάσε-
ως τοῦ κατ' αὐτὸν πράγματος, οὐδενὶ

χρὶ φιαμῶ διώνασθαι δοκεῖν:— πη
περὶ μαξιμιανοῦ ἐπισκόπου τοῦ βα
γαιτεσίου:— Ἤρεσεν ἐκ τῆς συνό
δου γράμματα δοθῆναι καὶ πρὸς
αὐτὸν καὶ πρὸς τὸν λαόν· ἵνα κἀκεῖνος
ἐκ τῆς ἐπισκοπῆς ἀναχωρήσῃ· κἀ
κεῖνοι ἑαυτοῖς ἄλλον ἀναζητήσωσιν:—
Ὥστε τοὺς χειροτονημένους ἐπισκό πθ
πους ἀπὸ τῶν χειροτονούντων
αὐτοὺς. ἐπιστολὰς λαμβάνειν ἐν αἷς
ἥ τε ἡμέρα καὶ ὁ ὕπατος προσφέρεται:—
Ἔπειτα ἤρεσεν ἵνα οἱ τινὲς δήποτε
μετὰ ταῦτα χειροτονοῦνται ἀνὰ
τὰς τῆς ἀφρικῆς ἐπαρχίας. γράμ
ματα λάβωσι παρὰ τῶν χειροτο
νούντων αὐτοὺς τῇ χειρὶ αὐτῶν ὑπο
γεγραμμένα. περιέχοντα τὸν ὕπα
τον καὶ τὴν ἡμέραν. ὥστε μηδεμίαν
ἀμφισμήτησιν περὶ ὑςτέρων ἢ προ
τέρων ἀναφυῆναι:— ϟ α,
Περὶ τοῦ τοὺς κἂν ἅπαξ ἐν τῇ ἐκκλησί(ᾳ)
ἀναγνῶντας. μὴ δύνασθαι ἀπὸ ἄλλ(ης)
προχειρίζεσθαι:· Ὁμοίως ἤρεσεν
ὅστις δήποτε ἐν ἐκκλησίᾳ κἂν ἅ
παξ ἀναγνῷ· ἀπὸ ἄλλης ἐκκλησίας.
πρὸς κλήρωσιν μὴ καταδέχηται:—
Καὶ ὑπέγραψαν:— Αὐρήλιος ἐπίσκοπ(ος)

τῆς ἐν Καρχηδόνι ἐκκλησίας. τῷ παρόντι ψηφίσματι συναινήσας καὶ ἀναγνωσθέντι ὑπέγραψα:–

Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν:–

Ἐν ταύτῃ τῇ συνόδῳ ἐμφανίζονται τὰ πραχθέντα ὑπὸ τῶν πέραν τῆς θαλάσσης ἀποσταλέντων τοποτηρητῶν ἐπισκόπων:–

Ἐπὶ τοῦ ἐνδοξοτάτου βασιλέως Θεοδοσίου τοῦ αὐγούστου καὶ Ῥουμολίδου τοῦ λαμπροτάτου ὑπάτου· τῇ πρὸ ὀκτὼ καλανδῶν Σεπτεμβρίων ἐν Καρχηδόνι. εἰς τὴν ἐκκλησίαν Σεκούνδης· Αὐρήλιος ἐπίσκοπος σὺν πάσῃ τῇ συνόδῳ προκαθίσας. παρεστώτων τῶν διακόνων. εἶπε· λόγου ἀπαιτήσαντος ἡ ὑμετέρα ἀδελφότης παρὰ τῆς ἐμῆς μετριότητος εἰς ταύτην τὴν σύνοδον προετράπη· ἐκ πάλαι γὰρ ὡς μέμνηται ἡ ὑμετέρα ἁγιωσύνη· συνόδου σχεθείσης· ἀπεστείλαμεν ἀδελφοὺς ἡμῶν πρὸς τὰ πέραν τῆς θαλάσσης τοποτηρητάς· οὓς ἐχρῆν ἐν τῇ συνελεύσει τῆς ὑμετέρας ἁγιωσύνης τὴν κίνησιν διηγήσασθαι τῆς ὁρισθείσης πρεσβείας· καὶ κἂν εἰ τῇ χθὲς ἡμέρᾳ περὶ τοῦ αὐτοῦ πράγματος

καὶ θεοφιλεστάτων ἐκτὸς τῶν ἐκκλησιαστι-
κῶν πραγμάτων· ἐπιμελῶς ἀνέπρα-
ξαν ἐψηλαφήσαμεν· ὅπως πρέπει σή-
μερον τὴν ἀναζήτησιν τῆς χθεσινῆς
ἡμέρας· τοῖς ἐκκλησιαστικοῖς πεπρ-
αγμένοις ἐν βεβαιώσει· διὰ τοὺς ἐπισκό-
πους τῶν ἐπαρχιῶν τῆς Ἀφρικῆς· τοὺς
μὴ παραγενομένους ἐν τῇ παρούσῃ
συνόδῳ· ἡ τάξις τοίνυν ἀπαιτεῖ τῶν
πραγμάτων· ἵνα ἐν πρώτοις παρὰ
τῶν ἀδελφῶν καὶ συνιερέων ἡμῶν τῶν
πρὸς ταύτην τὴν σύνοδον· εἴτε ἐκ τοῦ
Βυζακίου· εἴτε ἀπὸ Μαυριτανίας παρα-
γενομένων· ζητήσωμεν πῶς συμφέ-
ρειν ψηφίζονται τῇ παρούσῃ συνόδῳ·
καὶ προσενεγκόντων Φιλολογίου· Γετα-
βερουνιανοῦ· Φιλικιανοῦ. τῶν ἐπισκό-
πων τῆς Βυζακηνῆς χώρας· τὰ γράμ-
ματα τῆς τοποτηρησίας· τὰ καὶ ἀνα-
γνωσθέντα· ἐπιδὲ προσενεγκόντων
Λουκιανοῦ καὶ Σιλουανοῦ τῶν τοποτη-
ρητῶν τῆς Μαυριτανίας χώρας τῆς
Σιτιφένσης· τὰ γράμματα τῆς τοπο-
τηρησίας· καὶ τούτων ἀναγνωσθέντων·
Αὐρήλιος ἐπίσκοπος εἶπε· τούτων τῶν
ἐγγράφων ἡ ὑφὴ τοῖς πεπραγμένοις
συζευχθείη· περὶ τῶν τοῦ Βυζακίου
ἐπισκόπων:—

Νουμήδιος ἐπίσκοπος εἶπε· προσέχο-
μεν τοῖς ἀδελφοῖς καὶ συνεπισκόποις
ἡμῶν· τοῖς τῆς βυζακηνῶν χώρας
καὶ μαυριτανίας σιτιφένσης· εἰς τὴν
σύνοδον τοποτηρητὰς ἀποστεῖλαι·
μὴ ζητήσωμεν ἐὰν τοποτηρηταὶ
τῆς νουμηδίας παρεγένοντο· ἢ δηλα-
δὴ τῆς τριπολιτανῆς χώρας· ἢ τῆς
καισαρειανῆς μαυριτανίας· περὶ τ
τῆς μαυριτανίας σιτιφένσης ἐπί-
σκοπος· λουκιανὸς καὶ σιλβανὸς ἐπί-
σκοποι τοποτηρηταὶ τῆς μαυριτα-
νίας σιτιφένσης χώρας· εἶπον· ῥα-
δέως πρὸς τοὺς τῆς καισαρειανῆς ἀ-
δελφοὺς ἡμῶν. ἡ συνοδικὴ ἦλθεν· ἐπεὶ
κἀκεῖνοι λοιπὸν εἶχον φθάσαι· ὅμως σ
πάντως ἐλεύσονται καὶ θαρροῦμεν
περὶ τῶν ψυχῶν αὐτῶν· ὅτι εἴ τι δὴ πο-
τε ἐν ταύτῃ τῇ συνόδῳ πραχθήσεται·
καὶ αὐτοὶ ἀναμφιβόλως τὰς ἰδίας συ-
ναινέσεις παρέξοιεν:– περὶ τῶν
τῆς νουμηδίας ἐπισκόπων:– ϛα

Αλύπιος ἐπίσκοπος εἶπεν· ἡμεῖς μὲν
ἀπὸ τῆς νουμηδίας ἤλθομεν· ἐγώ τε
καὶ οἱ ἁγιώτατοι ἀδελφοί· αὐγούστινος·
καὶ ποσείδιος· ἀλλ᾽ ἀπὸ τῆς αὐτῆς νου-
μηδίας τοποτηρηταὶ πεμφθῆναι οὐκ

ἠδύναντο· ὅπερ ἀκμὴν τῶν θορυβούντων τοῦ
τηρῶν αὐτοῦ οἱ ἐπίσκοποι· ἰδίαις ἀμφο-
-καις ἐν ταῖς πόλεσιν αὐτῶν ἀπασχο-
-λοῦνται ἐμποδιζόμενοι· ἐπεὶ καὶ τὴν
συνοδικὴν τῆς ὑμετέρας ἁγιωσύνης
τῶν ἁγίων πατέρων γέροντι σα[illegible] ὡς
ἀνήγαγον· συνεῖδε περὶ τῆς παρούσης
ἐκ τῆς ὑστέρας σύνοδον καταμηνυθῆναι·
ὅπως καταρτιθεῖσα τὸ ποτηρήσιαι
πρὸς ταύτην ἀποφανῆ τὴν σύνοδον·
ἀλλὰ δευτέροις γράμμασιν ἐμοῦ τοῦτον
ἀναμνήσαντος· ἀπελογήσατο δι᾽ οἰκεί-
-ων γραμμάτων περὶ τοῦ ἀπὸ τῶν τη-
-ρῶν ἐμποδισμοῦ ὡς ἀνωτέρω εἴπομεν:—
Αὐρήλιος ἐπίσκοπος εἶπεν· οὐκ ἔστιν ἀμ-
φίβολον ὅτι οἱ προλεχθέντες ἀδελφοὶ
καὶ συνεπίσκοποι ἡμῶν οἱ ἐκ τῆς νου-
μιδίας· ὅτε τὰ πεπραγμένα τῆς συ-
-νόδου λάβωσιν· εὐθέως καὶ τὰς ἰδίας
παρέξουσι συναινέσεις· καὶ εἰς πέρας
ἀγαγεῖν σπουδάσουσιν ὅσα δή ποτε
ἀρέσκει· ἀνάγκη τοίνυν ὑπὲρ τῆς φροντί-
δι τῆς καθέδρας ταύτης προνοηθῆναι· ἔδοξε
τοῦτο αὐτὸ τοῖς προλεχθεῖσιν ἐμφαν-
καταστῆναι:— Περὶ τῶν τριπολιτῶν
-ν ἐπισκόπων:—
Περὶ τῶν ἀπὸ Τριπόλεως ἀδελφῶν ἡμῶν·

τοῦτο ἠδυνήθημεν ἐπιγνῶναι· ὅτι Δουλκίτιον
τὸν ἀδελφὸν ἡμῶν ἀπέστειλαν τοποτη-
ρητήν· ἀλλ' ἐπειδὴ ἀπαντῆσαι οὐχ ἠδυ-
νήθη· τοῦτο τινὲς τῶν τέκνων ἡμῶν δι-
εβεβαιώσαντο ἐλθόντες ἐκ τῆς προ-
λεχθείσης χώρας· ὅτι ὁ μνημονευθεὶς
Δουλκίτιος. εἰς πλοῖον εἰσῆλθε· καὶ δεῖ
πιστεῦσαι τημαὶ(?) παρολκὴν ἐκ τοῦ χειμῶ-
νος αὐτῷ συμβῆναι· τὸν αὐτὸν ἀναγκά-
σασαν βραδῦναι· ὅπως καὶ περὶ τούτου.
ἐὰν ἀρέσκῃ τὴν ὑμετέραν ἀγάπην. ὁ αὐ-
τὸς τύπος φυλαχθείη· ἵνα τὰ ἀρέσκον-
τα τῇ συνόδῳ, πρὸς αὐτοὺς ἀποσταλῶσι:
Ἀπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη·
τὰ ὁρισθέντα ὑπὸ τῆς σῆς ἁγιωσύνης.
πᾶσιν ἀρέσκει:— Περὶ τοῦ τοῖς δομε-
στικοῖς συνελθεῖν:— Αὐρήλιος ἐπίσκο-
πος εἶπε· τῇ εἰς ψηλάφησιν ἐλθούσῃ τῆς
ὑμετέρας ἀγάπης. λογίζομαι ὀφείλειν
τοῖς ἐκκλησιαστικοῖς πεπραγμένοις
βεβαιωθῆναι· ἡ γὰρ ὑπὸ σχεδὸν πάντων
ἡμῶν. τοῦτο προεβάλλετο· ὀφείλειν ἵνα
ἕκαστον ἡμῶν ἐν τῇ ἰδίᾳ πόλει καθ' ἑαυ-
τὸν συνελθεῖν τοῖς ἀρχηγοῖς τῶν δομα-
στικῶν· ἢ προσζεῦξαι ἑαυτὸν γείτονα ἕ-
τερον· ἵνα ὁμοίως τοῖς τοιούτοις ἐν
ἑκάστῃ πόλει καὶ τὸ πρ(?) διὰ τῶν ἀρχόν(των)

τῶν ἢ τῶν ταῖς προσφερόντων ἐν
τοῖς αὐτοῖς τόποις συνελθοῦσι· τοῦ
το ἐὰν ἀρέσκῃ. πᾶσι παραγγελθείη:—
Ὑπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη·
πᾶσιν ἀρέσκει· καὶ πάντως τοῦτο τῇ
ἡμετέρᾳ ὑπογραφῇ ἐκυρώσαμεν·
αὐτοῦ μὲν ἐπιμένειν ταῖς ἐπιστολαῖς
ταῖς ὀφειλούσαις ἐκ τῆς συνόδου
πρὸς τοὺς ἄρχοντας ἀποπεμφθῆ
ναι· ὑπὲρ πάντων ἡ σὴ ὑπογράφει
ἁγιωσύνη:— Αὐρήλιος ἐπίσκοπος
εἶπεν· ἐὰν δοκῇ τῇ ὑμετέρᾳ ἀγάπῃ·
ὁ τύπος τῆς πρὸς ἐκείνους συνελεύ
σεως ἀναγνωσθείη· ὅπως τοῦτον τὸν
τόνον τῆς ἐπακολουθήσεως πάντες
ἐὰν ἀρέσκῃ. κρατήσωμεν:—
Ὑπὸ πάντων τῶν ἐπισκόπων ἐλέχθη·
ἀναγνωσθείη:— Αἴτος νοτάριος
ἀνέγνω:— Τύπος τῆς πρὸς 4Β
τοὺς δονατιστὰς συμβουλεύσεως:—
Ἐπίσκοπος τῆς ἐκκλησίας εἶπε· τὸ
παρὰ τῆς αὐθεντίας ἐκείνης τῆς
μεγάλης καθέδρας ἡμῖν ἐπιτραπέν,
αὐτοῦ μὲν τὴν ἡμετέραν τιμιότητα·
ἀναγνωσθῆναι καὶ εἰς πέρας ἀχθῆναι
κελεύσει:— Ἀναγνωσθείσης δὲ τῆς
κελεύσεως καὶ τοῖς πεπραγμένοις

ὑμῖν τιθεμένοις· ἐπίσκοπος τῆς κα-
θολικῆς ἐκκλησίας εἶπε· τὸ διὰ τῆς
ὑμετέρας τιμιότητος πρὸς τοὺς
δομαστικοὺς ὀφείλομεν ἀπενεχθῆναι ἐμ-
πολικὸν ἀκοῦσαι· καὶ πεπραγμένοις
ἐμμαλεῖν· καὶ πρὸς αὐτοὺς ἀποκομί-
σαι καταξιώσατε· καὶ τὴν τούτων ἀ-
πόκρισιν πάλιν διὰ τῶν ὑμετέρων
πεπραγμένων ἡμῖν ἐμφανίσαι· συ-
νερχόμεθα ὑμῖν αὐθεντικῶς ἀπο-
σταλέντες ἐκ τῆς ἡμετέρας καθολικῆς
συνόδου· ἐπιθυμοῦντες χαρῆναι πε-
ρὶ τῆς ἡμετέρας διορθώσεως· ἐπι-
στάμεθα γὰρ τὴν ἀγάπην τοῦ Χριστοῦ εἰπόν-
τος· μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐ-
τοὶ υἱοὶ Θεοῦ κληθήσονται· ὑπέμνησε
δὲ διὰ τοῦ προφήτου· ὡς τε ἐπὶ μὴν
καὶ τοῖς βουλομένοις λέγεσθαι ἀδελφοῖς
ἡμῶν λέγειν ἡμᾶς· ἀδελφοὶ ἡμῶν ἐστέ·
ταύτην τοίνυν τὴν ὁδὸν ἀγάπης εἰρηνι-
κὴν ἐρχομένην ἡμετέραν ἀναμνησ-
ὁδοῦ θεμῆσαι οὐκ ὀφείλετε· ἵνα ἐὰν τί
ποτε ἀληθείας ἔχειν ἡμᾶς οἴεσθε· ἀν-
τιλαμβάνησθε τούτου· μὴ ἀμφιμάχη-
τε· τουτέστιν ἵνα συναχθείσης συνό-
δου ἡμῶν ἐπιλέξοισθε ὁδὸν ὑμῶν αὐτῶν
τοὺς ὀφείλοντας τὸ πρᾶγμα ἐμπιστευ-

-θῆναι τῆς τοιαύτης ὑμῶν δικαιολο-
-γίας· ὅπως καὶ ἡμεῖς δυνηθῶμεν
τὸ αὐτὸ ποιῆσαι· τουτέστι μεῖναι ἐκ τῆς
ἡμετέρας συνόδου ἐπιλεγῶσιν οἱ ὀφεί-
-λοντες μετὰ τῶν ὑμῶν ἐπιλεγέν-
-των· ἐν ὡρισμένῳ τόπῳ καὶ καιρῷ·
πᾶν τὸ τῆς ἐκκλησίας ἐχόμενον· τὸ
τὴν ἡμετέραν ἀδελφῶν ὑμῶν κοινωνίαν
χωρίζον· εἰρηνικῶς ὀξετάσαι· καὶ κἂν
οὐδέποτε τῇ βοηθείᾳ κυρίου. τέλος ἡ πα-
-λαιὰ δόξηται πλάνη· μήποτε διὰ
βαπτίσματος ἀνθρώπων. ἀσθενεῖς ψυχαὶ
καὶ ἄπειροι λαοὶ. ἱεροσολύμων τῇ χω-
-ρισμῷ ἀπόλλονται· εἰ γὰρ τοῦτο ἀδελ-
-φικῶς καταδόξηαθε· εὐχερῶς ἡ ἀλή-
-θεια διαφανήσεται· εἰ δὲ τοῦτο ποι-
-ῆσαι μὴ θελήσητε, ἡ ἀπιστία ὑμῶν
εὐθέως γνωρισθήσεται:—
Καὶ ἀναγνωσθέντος τοῦ τοιούτου τύ-
-που. ἀπὸ πάντων τῶν ἐπισκόπων
ἐλέχθη· πᾶν ὑ ἀρέσκει. τοῦτο γενή-
-σεται· — Καὶ ὑπέγραψαν· — Αὐρήλιος
ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλη-
-σίας· τῷ παρόντι ψηφίσματι συνή-
-νεσα. καὶ παραναγνωσθέντι ὑπέγραψα:—
Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν:—
Αὕτη ἡ σύνοδος κατὰ τῶν δονατιστῶν

πρεσβευταῖς πρὸς τοὺς αὐτοκράτορας
ἀπέστειλαν· Τῶν ἐνδοξοτάτων βα-
σιλεῖ ὀνωρίου αὐγούστου ἐκ τῇ ὑπατείᾳ
τῇ πρὸ ϛ΄ καὶ δεκάτῃ καλανδῶν ἰουλί-
ων ἐν καρχηδόνι εἰς τὴν ἐκκλησίαν τῆς
βασιλικῆς σεκούνδης:-
Ἐν ταύτῃ τῇ συνόδῳ τὸ ὑπομνηστήριον ἀνε-
δέξαντο. θεάσιος καὶ εὐόδιος κατὰ
τῶν δονατιστῶν· ἐν ᾗ συνόδῳ συνετά-
χθη κομμονιτόριον περιέχον οὕτως:
Τὸ κομμονιτόριον ὅπερ ἔλαβον κατὰ
τῶν δονατιστῶν πρεσβευταί:-
Τὸ κομμονιτόριον τοῖς ἀδελφοῖς θεασί-
ῳ καὶ εὐοδίῳ τοῖς πεμφθεῖσι πρεσβευ-
ταῖς ἐκ τῆς ἐν καρχηδόνι συνόδου·
πρὸς τοὺς ἐνδοξοτάτους καὶ θρησκευ-
τικωτάτους αὐτοκράτορας· ἡνίκα τῇ
τοῦ χριστοῦ βοηθείᾳ τοῖς εὐσεβεστάτοις
προσέλθωσι βασιλεῦσι τούτοις ἐμφα-
νίσωσι· ποίῳ τρόπῳ τελείαν παρρησίαν
κατὰ τὴν τοῦ ἀμφοτέρου ἐν ἑαυτοῦ συ-
νόδου· οἱ προεστεύοντες τῶν δονατι-
στῶν τοῖς πολλάκις πεπραγμένοις
συνελθεῖν προετράπησαν· ἵνα εἰ ἐθάρ-
ρουν τοῦ οἰκείου δόγματος ἀντιλαμβάνε-
σθαι· ἐπιλεξάμενοι τῶν τιμίων ἱκανῶν ἐκ τοῦ
αὐτῶν ἀριθμοῦ· μεθ᾽ ἡμῶν εἰρηνικῶς

ἀμφέβαλλον· καὶ ἡ κυρότητι χριστι-
-ανική· ἂν ἀμφιβόλως εἴχομεν ἐπιδεῖξαι
εἴ τί ποτε ἀληθείας κατεῖχον· ὅπως
δὲ τοῦτο ἡ καθολικὴ εἰλικρινότης
ἣν ἐκ παλαιοῦ τοῖς ἀνθρώποις διαλάμ-
-ψασα χρόνοις· καὶ νῦν ὁμοίως διὰ
τῆς ἀπειρίας καὶ μονοτομίας τῶν
ἀντιλεγόντων ἐνωρίζετο· ἀλλ' ἐπει-
-δὴ τὸ μὴ θαρρεῖν συνείχοντο· σχεδὸν
οὐδένα ἐτόλμησαν ἀποκρίνασθαι·
διὸ ἐπειδὴ ἡ ἐπισκοπικὴ καὶ εἰρηνικὴ
τάξις περὶ τοῖς τοιούτοις πεπλήρω-
-ται· κἀκεῖνοι τῇ ἀληθείᾳ ἀποκριθῆναι
μὴ δυνηθέντες· εἰς ἀτόπους ὡς οἴους
μετεγράφησαν· ὥστε πολλοὺς ἐπισκό-
-πους καὶ πολλοὺς κληρικοὺς εἶναι τὸ πε-
-ρὶ τῶν λαϊκῶν σιωπήσωμεν· ἐπικου-
-λαῖς συνέχειν· καί τις δὲ ἐπὶ μὴν ἐκκλησί-
-αις ἐπέμησαν· καὶ ἄλλαις ἐπελθεῖν ὁ-
-μοίως ἐπειράθησαν· τῆς αὐτῶν φι-
-λανθρωπίας λοιπὸν δεῖ προνοήσασθαι·
ἵνα ἡ καθολικὴ ἐκκλησία ἢ τούτοις θερ-
-σκευτικὴν δὴν χ(ριστο)ῦ ἑτοιμήσασα καθαρεῖ· καὶ
τῇ βεβαιώσει τῆς πίστεως ἐκθρέψασα·
τῇ αὐτῶν ἐπιμονῇ προνοίᾳ ὀχυρωθῇ·
μήποτε προπετεῖς ἄνθρωποι ἐπὶ τῶν δ'
-σεβῶν χωρίων φόβῳ τινὶ τῶν ἀθέων

λαῶν καταδυναστευόντων· ἐπειδὴ
ὑπὸ πειθόντων τούτοις ἀποφαυ-
λίσαι οὐ δύνανται· ἐγνώσθαι γὰρ
καὶ πολλάκις τοῖς νόμοις ἐκυρῶ-
ται τῶν παρασυναγόντων ἡ ἀδε-
λυκτὴ πληθὺς ποῖα διαπράττεται
ἄτιμα καὶ πολλάκις τοῖς θεσπίσ-
μασιν αὐτῶν τῶν προλεχθέντων
εὐσεβεστάτων αὐτοκρατόρων κα-
τεδικάσθησαν· κατὰ οὖν τῆς ἐκεί-
νων μανίας, δυνάμεθα συμμαχί-
ας τυχεῖν· οὐκ ἀήθους οὐδὲ ἀλλοτρί-
ας ἀπὸ τῶν θείων γραφῶν· ὁπόταν
Παῦλος ὁ ἀπόστολος· ὡς ταῖς ἀλη-
θιναῖς πράξεσι τῶν ἀποστόλων δε-
δήλωται· τὴν συνωμοσίαν τῶν ἀτα-
κτων· στρατιωτικῇ ἀπεκίνησε βο-
ηθείᾳ· ἡμεῖς τοίνυν τοῦτο αἰτοῦ-
μεν· ἵνα ταῖς καθολικαῖς τάξεσι
τῶν ἐκκλησιῶν. ἀνὰ ἑκάστην πόλ(ιν)·
καὶ ἀνὰ διαφόρους τόπους τῶν γει-
τονευουσῶν ἑκάστων κτήσεων·
ἀνυπερθέτως παραφυλακὴ παρα-
σχεθῇ· ἅμα καὶ τοῦτο δεῖ αἰτῆσαι·
ὥστε τὸν νόμον τὸν ἐκτεθέντα
παρὰ τοῦ τῆς εὐσεβοῦς μνήμης
πρὸς αὐτῶν Θεοδοσίου τὸν περὶ τῶν

δέκα τοῦ χρυσίου λιτρῶν· τῶν καὶ
τὰ τῶν χειροτονούντων αἱρετικ(ῶν)
φυλάξωσιν· ἔτι μὴν καὶ κατὰ τῶν
κτητόρων τῶν παρ' οἷς ἢ ἐκεῖνον
εὑρεθείη συναγωγή· εἰ θ' οὕτως τε βε-
βαιωθῆναι τὸν τοιοῦτον νόμον κε-
λεύσωσιν· ὡς ἰσχύειν κατὰ τούτων
ὧν διὰ τὰς ἐπιβουλὰς οἱ τῆς καθο-
λικῆς προτραπέντες διαμαρτυ-
ρίαν ἀπέθεντο· ἵνα κἂν τούτῳ τῷ
φόβῳ δ' ἐκ τοῦ ποιεῖν χρήματα· καὶ
ἀπὸ τῆς τῶν αἱρετικῶν φαυλότη-
τος παύσωνται· οἱ τῇ καταμονήσει
τῆς αἰωνίας κολάσεως καθαρθῆναι
καὶ διορθωθῆναι ὑπερτιθέμενοι·
κἀκεῖνο δὲ ἔτι μὴν αἰτῆσαι δεῖ· ἵνα
τῇ αὐτῶν εὐσεβείᾳ ὁ μέχρι τοῦ πα-
ρόντος νόμος ἐπαναληφθείη· ὅτι
ἐν χρείαν τῶν αἱρετικῶν ἀφαιρού-
μενος· τοῦ εἴτε ἀπὸ χειροτονιῶν·
εἴτε ἀπὸ διαθηκῶν· τούτοις δύνα-
σθαι λαμβάνειν τί ποτε ἢ καταλιμ-
πάνειν· καὶ ἁπλῶς εἰπεῖν τοῦ εἴτε
καταλιμπάνειν τι· εἴτε λαμβάνειν
τὰ δίκαια ἀφέληται· τῶν τῇ μανί-
ᾳ τοῦ ἰδίου πνεύματος τυφλωθέν-
των· καὶ τῇ τῶν δογμάτων πλάνῃ

ἐπιμένειν βουλομένων· τοῖς δὲ τῇ
καταμονήσει τῆς ἑνότητος καὶ εἰρήνης
ἑαυτοὺς διορθώσασθαι βουλομένοις·
ὑπάρχει μὲν οὖν τοῦ τοιούτου νόμου·
ἀνοιχθείη ἡ ἀκρόασις τοῦ λαμβάνειν
κληρονομίαν· εἰ ἔτι τούτοις αὐτοῖς
ἐν τῇ τῶν αἱρετικῶν πλάνῃ καθε-
στῶσι· προσαρμόζει τί ποτε ἀπὸ δω-
ρεᾶς ἢ κληρονομίας ὃ ἐξῃρημένον
ἐκείνων δηλαδὴ οἵτινες μετὰ τὸ εἰς
δίκην ἐναχθῆναι. ἐλογίσαντο ὀφεί-
λειν πρὸς τὴν καθολικὴν μετελθεῖν·
περὶ γὰρ τῶν τοιούτων. πιστευτέον
ἐστὶ μὴ τῷ φόβῳ τῆς οὐρανίου κρίσεως·
ἀλλὰ τῇ ἀπληστίᾳ τῆς γηΐνης λυσιτε-
λείας τὴν καθολικὴν ἑνότητα ἐπι-
ποθῆσαι· πρὸς τούτοις δὲ πᾶσι τῆς
βοηθείας χρεία ἐστὶ τῶν δυναστειῶν·
ἑκάστης ἰδίας ἐπαρχίας· καὶ ἄλλο δὲ
εἴ τι δή ποτε καταπονήσουσι τῇ ἐκκλη-
σιαστικῇ χρησιμότητι λυσιτελοῦν.
τοῦτο διαπράττεσθαι καὶ ἐξαμύνειν·
αὐτεξούσιον ψηφιζόμεθα τὴν τοπο-
τηρησίαν· κἀκεῖνο δὲ πρὸς τούτοις
ἤρεσεν· ἵνα γράμματα ἐκ τῆς ἡμετέ-
ρας συνελεύσεως· πρὸς τοὺς ἐνδο-
ξοτάτους βασιλεῖς καὶ τοὺς ὑπερέχοντας

σας ἐξουσίας ἀποσφαλῶσι· διὸ δεῖ μὴ πλη-
ροφοροῦντας ὅσα τῇ συναινέσει πάν-
των· ἐπὶ τὸ εὐτυχέστατον κομιτᾶτον
τοὺς τοποτηρητὰς παρ' ἡμῶν εἶναι
ἀποσταλέντας· ἀλλ' ἐπειδὴ τοῖς αὐτοῖς
γράμμασι πάντας ἡμᾶς ὑπογράψαι·
κραδύνατον ὁρῶμεν· ἵνα μὴ ταῖς ἑκάστου
ἡμῶν ὑπογραφαῖς· τὰ αὐτὰ γράμματα
ταφορτωθῶσιν· αἰτοῦμεν ἀδελφὲ
Αὐρήλιε· ἵνα ἐν τούτοις ἡ σὴ ἀγάπη
ὑπογράψῃ· ἐπ' ὀνόματι πάντων κα-
ταξιωθῇ: Καὶ ὑπέγραψαν: Αὐρήλιος
ἐπίσκοπος τῆς ἐν Καρχηδόνι ἐκκλη-
σίας· τῷ παρόντι ψηφίσματι ἀποφωνή-
μεσα· καὶ παραναγνωσθέντι ὑπέγραψα.
Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν:
Γράμματα ἐπιμὴν πρὸς τοὺς ἄρχοντας
πέμψαι δεῖ· ἵνα ἕως οὗ ὁ κ(ύριο)ς τοὺς τοπο-
τηρητὰς ὑποστρέψαι πρὸς ἡμᾶς ἀξι-
ώσῃ· παραφυλακὴν ἀνὰ τὰς τῶν πό-
λεων τάξεις καὶ κτήτορας τῶν χωρί-
ων ἐκκλησίας ἐπιμερίσωσιν· ἐπιμὴν
δεῖ προσεύξασθαι καὶ περὶ τοῦ Αἰγυπτίου·
ἵνα ἡ ἀναίδεια αὐτοῦ ἐξωθηθῇ ἀπὸ
τῶν διοικήσεων· ὡς ἐκ τῆς τῶν φρον-
τιστῶν τῆς ἐν Ἱππῶνι ἐκκλησίας· ἱε-
ρατικῷ δικαίῳ· πρὸς ἑαυτὸν διεκδικεῖ·

καὶ γράμματα δὲ πρὸς τὸν ἐπίσκοπον
τῆς ῥωμαϊκῆς ἐκκλησίας· περὶ τοῦ
παραιτεῖσθαι τοὺς τοποτηρητάς.
μεμφθῆναι ὀφείλουσι· καὶ πρὸς τοὺς
ἄλλους δὲ ὅπου ἐὰν ὦσι βασιλεῖς:
Καὶ ὑπέγραψαν ὁμοίως: Αὐρήλιος
ἐπίσκοπος τῆς ἐν καρχηδόνι ἐκκλη-
σίας. τῷ παρόντι ψηφίσματι συνή-
νεσα· καὶ παραναγνωσθὲν ὑπέγραψα:
Ὁμοίως καὶ οἱ λοιποὶ ἐπίσκοποι ὑπέγραψαν:
Ἐν ταύτῃ τῇ συνόδῳ τὰ ὁρισθέντα.
ἡ βραχεῖα σαφηνίζει πρόθεσις: —
τῇ στελεχίωνος πάλιν καὶ ἀνθεμίου
τῶν λαμπροτάτων ὑπάτων· τῇ
πρὸ δέκα καλανδῶν σεπτεμβρίων
ἐν καρχηδόνι· εἰς τὴν ἐκκλησίαν τοῦ
κλήμαντος· τὰ πεπραγμένα τῆς
παρούσης συνόδου. διὰ τοῦτο ὁ ὅ-
λοκλήρου οὐκ ἐγράφησαν· ἐπειδὴ μᾶ-
λλον τὰ κατὰ τὸν καιρὸν ἀναγκαῖα·
εἴπερ τινὰ αἰτεῖν καὶ ὡρίσθησαν· διὸ τῶν
βραχεῖα σύνθεσις τῶν σπουδασμά-
των τῆς αὐτῆς συνόδου. διετυπώθη:
Τὸ βρέβιον τῶν κεφαλαίων:-
4r Ἵνα ἐλευθέρα τοποτηρησία ἐκ πασῶν
τῶν ἐπαρχιῶν. εἰς τὴν σύνοδον ἀπο-
σταλῇ πρὸς μειζόνιον τοποτηρηταί·

ριο
καὶ γράμματα ἀποσταλῆναι παρηγγελ-
θησαν· διὰ τὸ ὀφείλειν ἐλευθέραν ἐκ-
πέμψαι τὸ ποτηρησίαν:– ιϛ
Καὶ ἐπειδὴ ἐν Καρχηδόνι μόνον ἕνωσις
ἐγένετο. πεμφθῶσι γράμματα πρὸς
τοὺς ἄρχοντας· ὅπως καὶ ἐν ταῖς ἄλλαις
ἐπαρχίαις καὶ πόλεσιν. οἱ αὐτοὶ ἄρχον-
τες. σπουδὴν ἐπιχορηγηθῆναι κελεύσω-
σι τῇ ἑνότητι:– Καὶ εὐχαριστίαι ἀ-
πὸ τῆς ἐν Καρχηδόνι ἐκκλησίας. ὑπὲρ
πάσης τῆς ἀφρικῆς περὶ τοῦ ἀπελα-
θῆναι τοὺς δονατιστὰς μετὰ γραμμά-
των τῶν ἐπισκόπων. ἐπὶ τὸ κομιτά-
τον πεμφθῶσιν:–
Γράμματα ἀνεγνώσθησαν ἰννοκεντίου
τοῦ πάπα· ἵνα οἱ ἐπίσκοποι ὡς ἔτυ-
χε πρὸς τὰ περαματικὰ ἀπιέναι μὴ
δύνανται· ὅπερ τοῦτο αὐτὸ ταῖς γνώ-
μαις τῶν ἐπισκόπων βεβαιοῦται:–
Καὶ διὰ τὴν εὐχαριστίαν τὴν περὶ τοῦ
διωχθῆναι τοὺς δονατιστάς. δύο κλη-
ρικοὶ τῆς ἐν Καρχηδόνι ἐκκλησίας. ἐπὶ
τὸ κομιτάτον πεμφθῶσιν:–
Ἐν ταύτῃ τῇ συνόδῳ τινὰ ἐκ τῶν ἀνω-
τέρω ὁρισθέντων διορθοῦνται:–
Ἐπὶ τῶν ἐνδοξοτάτων βασιλέων ὀνω-
ρίου τὸ δεύτερον καὶ θεοδοσίου τὸ ε̅ β̅

δδόμον· αὐτοὺς φθονῶν ὑπ' ἄλλων· πάλιν ἐν δ' εἰδοῖς
Ἰουνίαις ἐν Καρχηδόνι· εἰς τὴν ἐκκλησί-
αν τοῦ δευτέρου κλήματος Αὐρηλίου
τοῦ ἐπισκόπου ἅμα τοῖς συνεπισκόποις
αὐτοῦ προκαθίσαντος· παρεστώτων
τῶν διακόνων :—
Ἐπειδὴ πάλαι ὡρίσθη εἰς τὴν ἐν Ἵππωνι
σύνοδον· ὥστε καθ' ἕκαστον ἐνιαυτὸν
πλήρη συναχθῆναι σύνοδον τῆς Ἀφρικῆς
μὴ μόνον ἐν ταῦθα ἐν Καρχηδόνι· ἀλλὰ
καὶ ἀνὰ τὰς διαφόρους ἐπαρχίας τῇ
ἰδίᾳ αὐτῶν τάξει· καὶ τοῦτο ἐφυλάχθη·
ὥστε μηκύνειν ἡμᾶς ποτὲ μὲν εἰς τὴν
Νουμηδίαν· ποτὲ δὲ εἰς τὸ Βυζάκιον·
καὶ τοῦτο ἐπίσκοπον· πᾶσι τοῖς ἀδελ-
φοῖς ἔδοξεν :— Σύνοδον μὴ γίνεσθαι
4ε κοινήν τε καὶ ὁλοτελῆ· εἰ μὴ ὅτ' ἀνάγκης :—
Ἤρεσεν ὥστε μὴ εἶναι περαιτέρω ἐνιαυ-
σιαίαν ἀνάγκην τοῦ συντρίβεσθαι τοὺς
ἀδελφούς· ἀλλ' ὁσάκις ἂν κοινὴ χρεία κα-
λέσῃ πάσης τουτέστι τῆς Ἀφρικῆς· γραμ-
μάτων διδομένων ὅθεν δή ποτε πρὸς
ταύτην τὴν καθέδραν σύνοδον ὀφείλει
συναχθῆναι ἐν ταύτῃ τῇ ἐπαρχίᾳ· ἔνθα
ἡ χρεία καὶ ἐπιτηδειότης συνωθήσει·
αἱ δὲ αἰτίαι αἱ μὴ οὖσαι κοιναὶ ἐν ταῖς ἰ-
δίαις ἐπαρχίαις κριθῶσιν :—

Ἵνα αἱρετοὺς δικαστὰς μὴ ἐξὸν εἶναι ἐκκα- ϟα
λεῖσθαι:— Ἐὰν δὲ ἐπιμένηται ἐκκλητ
καὶ ἐπιλέξηται ὁ ἐκκαλεσάμενος δι-
καστάς· καὶ μετ' αὐτοὺς κἀκείνους μεθ' οὓς
ἐξεκαλέσατο· καὶ τοὺς λοιποὺς ἀπὸ τού-
των μηδενὶ ἐξεῖναι ἐκκαλέσασθαι:—
Περὶ τοποτηρητῶν διαφόρων ἐπαρ-
χιῶν:— Φέρεν τοποτηρησία δια-
φόρων ἐπαρχιῶν ἐμφανισθεῖσαι χα-
ριέντως προσεδέχθησαν· τουτέστι
τῶν νουμηδίων· τῶν βυζακηνῶν·
τῶν μαύρων σιτιφένσιων· ὁμοίως
δὲ καισαρειανῶν· ἀλλὰ καὶ τῶν ἀπὸ
τριπόλεως:— Περὶ ἐκβιβαστῶν τῆς
ἐκκλησίας:— Ἤρεσε πρὸς τούτοις·
ὥστε ἐκβιβαστὰς ἐν πᾶσι τοῖς τῆς
ἐκκλησίας χρειώδεσι πέμπειν ἐπιλεγη
μαι ἐπιτεθῆναι· οἵτινες ἐν ταῖς δια-
φόροις ἐπιμβρισθήσονται ἐπαρχίαις:—
Ἵνα ἀπὸ τῶν βασιλέων αἰτηθῇ συνη-
γόρων ἀντίληψις ὑπὲρ τῶν κεφαλαί-
ων τῆς ἐκκλησίας:— ϟϛ
Ἤρεσεν ἐπιμὴν ἵνα ἐξ ὀνόματος πάντων
τῶν ἐπαρχιῶν οἱ πορευθησόμενοι
πρεσβευταὶ βικέντιος καὶ φουρτου-
νατιανός· αἰτήσωσιν ἀπὸ τῶν εὐ-
δοξοτάτων βασιλέων· ὥστε δοθῆναι

ἄδειαν τοῦ καταστῆσαι ἐκδίκους σχο-
λαστικούς· οἵτινες αὐτὸ τοῦτο τὸ λει-
τούργημα· τοῦ ἐκδικεῖν τὰ πράγ-
ματα ἐπιτήδευμα ἔχει· καὶ ἵνα ὡς
ἱερεῖς τῆς ἐπαρχίας οἱ αὐτοί· οἱ τὴν
ἐκδίκησιν τῶν ἐκκλησιῶν ἀναδεξά-
μενοι· εὐχερῶς δυνηθῶσιν ὑπὲρ
τῶν τῆς ἐκκλησίας πραγμάτων·
ὁσάκις ἂν ἀνάγκη ἀπαιτήσει πρὸς τὸ
ἀντιστῆναι τοῖς ἀνακύπτουσι καὶ
ἀναφέρειν τὰ ἀναγκαῖα· εἰς τὰ σέ-
κρετα τῶν δικαστηρίων εἰσιέναι:—

[Π]ερὶ τοῦ εἶναι ἐλευθέραν τὴν τοποτη-
ρησίαν:— Ἤρεσεν ὥστε αὐτεξούσι-
ον τὴν τοποτηρησίαν ἔχειν· τοὺς
ἐπὶ τὸ κομιτάτον πεμφθέντας
ἐπιλεκτοὺς τοποτηρητάς:—

Προμαρτυρία τῶν Μαυριτανῶν ἱε-
ρέων· περὶ Πριμώσου:—

Πρὸς ἐπὶ τούτοις δηλονότι προμαρτυ-
ρηθέντοις εἶναι γράμμασιν ἰδίοις τοῖς
Μαυριτανοῖς Καισαρειανοῖς· Πριμώ-
σου· διὰ τῶν ἐξεχόντων τῆς Θιγαμμεν-
σίας πόλεως· περὶ τοῦ συνελθεῖν·
ἵνα κατὰ τὰς βασιλικὰς διατυπώ-
σεις· ἐν τέλει παραίσχοι τὴν ἑαυτοῦ
παρουσίαν· καὶ ὡς ἐχρῆν ἀναζητη-

θεὶς ὁ αὐτὸς πριμᾶτος. οὐχ εὑρέθη
ὅτι οἱ διάκονοι ἀπήγγειλαν· ἀλλ' ἐπει-
δὴ ἡττήσαν οἱ αὐτοὶ μαῦροι ἐκ πάσης
τῆς συνόδου ὀφείλειν γράμματα
ἀποσταλῆναι τῷ προσκυνητῷ ἀδελ-
φῷ τῷ γέροντι ἰννοκεντίῳ. ἤρεσε
πεμφθῆναι ἵνα γνῷ ἐντεῦθεν ταῦτα
πριμᾶτον ἐν τῇ συνόδῳ καὶ μηδα-
μῶς εὑρεθέντα:– Περὶ τῶν λαῶν 4η
τῶν μηδέποτε ἐπισκόπους ἐχόντων:·
Ἤρεσεν ἵνα οἱ ὄχλοι οἱ μηδέπο-
τε ἰδίους ἐσχηκότες ἐπισκόπους· εἰ
μὴ ἐκ πάσης τῆς συνόδου ἑκάστης
ἐπαρχίας καὶ τοῦ πρωτεύοντος
ψήφισμα γένηται. καὶ κατὰ συναί-
νεσιν ἐκείνου οὗτινος ὑπὸ τὴν διοίκη-
σιν καθίσταντο ἡ αὐτὴ ἐκκλησία. μη-
δαμῶς δέξωνται:– 4θ
Περὶ λαῶν καὶ διοικήσεων τῶν ἀπὸ
τῶν δονατιστῶν ἐπιστραφέντων:–
Ἵνα δηλαδὴ ἐκεῖνοι οἱ λαοὶ οἱ ἀπὸ τῶν
δονατιστῶν ἐπιστρέφοντες. καὶ ἐπί-
σκοπον ἐσχηκότες παρὰ γνώμην
τῆς συνόδου· τούτους ἀναμφιβόλως
ἔχειν ἀξιωθῶσιν· οἵτινες δὲ λαϊκοὶ
ἐσχήκασιν ἐπίσκοπον· καὶ τούτου
τελευτήσαντος. οὐκ ἠθέλησαν ἴδιον

ἐπίσκοπον ἔχειν· ἀλλὰ πρὸς ἄλλου τινὸς
ἐπισκόπου διοίκησιν· ἀναδραμεῖν
ἀνήκειν τοῦτο μὴ ὀφείλειν τούτοις ἀρ-
νηθῆναι· οὐ μὴν ἀλλὰ κἀκεῖνο ἀνενε-
χθῆ· ὅτι οἱ ἐπίσκοποι οἱ πρὸ τοῦ βασι-
λικοῦ νόμου τοῦ περὶ ἑνότητος προ-
κομιζομένου· οἵτινες δή ποτε πρὸς
τὴν καθολικὴν ἐκκλησίαν ἐπιστρέψω-
σι τοὺς λαοὺς οὓς εἶχον· αὐτοὶ τούτους
κατέχειν ὀφείλουσι· μετὰ δὲ τὸν νόμον
τῆς ἑνότητος καὶ ἐπέκεινα· χρὴ πά-
σας τὰς ἐκκλησίας καὶ τὰς διοικήσεις
αὐτῶν· καὶ ἐάν τινα τύχωσιν ὦσι δικαι-
ώματα τοῖς δικαίοις ἀνήκοντα ταῦτα
αὐτῶν ἐκκλησιῶν· διεκδικεῖσθαι ὑπὸ
τῶν καθολικῶν ἐπισκόπων τῶν ἐν
τοῖς τόποις ἐκείνοις ἐν οἷς κατείχον-
το παρὰ τῶν αἱρετικῶν· εἴτε ἐπιστρε-
φόντων λοιπὸν πρὸς τὴν καθολικήν·
εἴτε μὴ ἐπιστρεφόντων· καὶ ἐάν τινες
τισὶν ἐκ τούτων κατεχρήσαντο μετὰ
τὸν βασιλικὸν νόμον. ὀφείλειν ταῦτα
ἀποκαθίστασθαι :- ρ

Περὶ τῆς ἀναφορᾶς Μαυρεντίου τοῦ
ἐπισκόπου :- Κατὰ τὴν ἀναφο-
ρὰν καὶ αἴτησιν τοῦ ἐπισκόπου Μαυ-
ρεντίου ἀναγνωσθέντος τοῦ χεδα

-ρίου ὅτι περ προσήνεγκε Πλακεντῖνο(ς)
ὁ ἐπίσκοπος· ὅτι τὸ πρόσωπον τοῦ
τοποτηρητοῦ τῶν μουμηδέων ἀ-
-ναπληρῶν· ὅτι περ κατὰ τὴν γνώμην
τοῦ αὐτοῦ Πλακεντίνου ἀνεγνώσθη
ἐνώπιον τῶν ἐπισκόπων· καὶ ἐκτε-
-θέντων πρὸ τῶν θυρῶν τῶν λεγομέ-
-νων παραβαταρίαι διακόνοις· τουτέστι
τῶν γερόντων τῶν ἀπὸ τῆς Μέσας
Γερμανοῦ καὶ μηδαμῶς εὑρεθέντων·
καὶ δεύτερον καὶ τρίτον ἐκτεθέντ(α)·
ἔκρινε διὰ τοῦτο ἡ ἁγία σύνοδος τὰ ὡς
γεγραμμένα πρὸς τὸν αὐτὸν γέρον-
-τας αἰκτίππον ἐκπεμφθῆναι διὰ
τὸ γνῶναι ὅτι οὐ προαιρέσεως τοῦ
μνημονευθέντος λαοῦ ὕβρει ὑποπέ-
-πτωκεν ὁ ἐπίσκοπος· —
Αὐρέντιος ἐπίσκοπος εἶπεν· ἐπει-
δήπερ ἐζητήθησαν οἱ γέροντες· οἱ
ἀπὸ Μέσας Γερμανοῦ δεύτερον καὶ τρί-
-τον καὶ οὐχ εὑρέθησαν· οἷς ἦν παραγ-
-γελθὲν ἀπὸ τοῦ πρωτεύοντος πρὸς
τὴν μνήμην τοῖς ἰδίοις γινομένην ἢ
προσκυνῆ τὴν σύνοδον ἅπαν τῆς ἁγί-
τῆς μηνείας ἑαυτῶν ἅπαντες ἐφρόν-
-τισαν· καὶ διὰ τοῦτο κρίνει ἡ ὑμετέρα
ἁγιωσύνη περὶ τούτου τοῦ πράγματος.

ἀναιτίως μὴ συντριμμῆναι με τῇ ἐπιμονῇ τῆς ἐκείνων συκοφαντίας·

Ἡ ἁγία σύνοδος ὥρισεν·

Ὀφείλομεν κατὰ τὴν ἱερατικὴν κρίσιν ἐκ τῆς συνόδου ταύτης κατὰ τὸν νόμον ὁμονοοῦντα τὴν ψῆφον ἐκφέρεσθαι· ἀλλ' ἐπειδὴ ἡμερότητα ἐκκλησιαστικὴν δεῖ φυλάττειν ἐν ὅλοις τοῖς πράγμασιν· ὑπεσχέθησαν γράμματα πρὸς τὸν γέροντα Σάγκτιππον· ὅπως γνῷ χριτὰς ἐπιλεγέντας ἀπὸ τῆς συνόδου τοὺς ὀφείλοντας ἂν ὑπερθέτως σκοπῆσαι ἐν Θουμουρσικὲν τῇ πόλει· πρὸς τὸ ἁρμόδιον τῷ πράγματι παρασχεθῆναι διάγνωσιν·

Μαυρέντιος ἐπίσκοπος εἶπε· χριτὰς αἰτῶ· τὸν ἁγιώτατον γέροντα Σάγκτιππον· Αὐγουστῖνον τὸν ἁγιώτατον· Φλωρέντιον· Θεάσιον· Σαμψύχιον· Σεκοῦνδον· καὶ Ποσίδιον· τοῦτο ψηφισθῆναί μοι κελεύσατε·

Ἡ ἁγία σύνοδος ἐπένευσε τοῖς αἰτηθεῖσι χριταῖς· τοῖς λοιποῖς δὲ ἀναγκαίοις δικασταῖς πρὸς ἀναπλήρωσιν τοῦ ἀριθμοῦ αὐτοῖς τοῖς ἀπὸ τῆς Νέας Γερμανοῦ γέρουσιν ἐπιλέξασθαι ψηφίζεται

ὅτι ἐγράφη ν σάγκτι π(ά)π(π)ος :– ρα
Περὶ τοῦ εἰρηνοποιηθῆναι τὰς ἐκκλη-
σίας Ῥώμης καὶ Ἀλεξανδρείας :–
Ἤρεσεν ἐπὶ μὴν ὥστε περὶ τῆς διχονοί-
ας τῆς Ῥωμαϊκῆς καὶ Ἀλεξανδρεινῆς
ἐκκλησίας πρὸς τὸν ἁγιώτατον π-
άπαν Ἰννοκέντιον γραφῆναι· ὅπως
ἑκατέρα ἐκκλησία πρὸς ἀλλήλας
εἰρήνην φυλάξωσιν· ἣν ὁ Χ(ριστὸ)ς παρήγγειλεν :–
Περὶ τῶν τοὺς ἄνδρας ἢ τὰς γυναῖκας ρβ
ἀπολυόντων ἵνα οὕτως μείνωσιν :–
Ἤρεσεν ὥστε κατὰ τὴν εὐαγγελικὴν
καὶ ἀποστολικὴν ἐπιστήμην· μήτε ὁ
ἀπὸ γυναικὸς ἐαθείς· μήτε ἡ ἀπὸ
ἀνδρὸς καταλειφθεῖσα· ἑτέρῳ συ-
ζευχθῇ· ἀλλ᾽ ἢ οὕτως μείνωσιν· ἢ ἑαυτοῖς
καταλλαγῶσιν· οὕσπερ ἐὰν καταφρο-
νήσωσι· πρὸς μετάνοιαν καταναγ-
κασθῶσιν· ἐν ᾧ πράγματι νόμον βασι-
λικὸν ἐκτεθῆναι χρεὼν αἰτῆσαι :–
Περὶ τῶν πρὸς τὸ θυσιαστήριον ὀφει-
λουσῶν λέγεσθαι εὐχῶν :– ργ
Ἤρεσε καὶ τοῦτο ὥστε τὰς κεκυρωμέ-
νας ἐν τῇ συνόδῳ εὐχάς· εἴτε προ-
οίμια· εἴτε παραθέσεις ἀπὸ πάν-
των ἐπιτελεῖσθαι· καὶ παντελῶς
ἄλλας κατὰ τῆς πίστεως μηδέποτε

προενεχθῆναι· ἀλλ' οὐ τὴν ἤδη ποτὲ
ἀπὸ τῶν συνετωτέρων συνηχθη-
σαν· λεχθήσονται:— ρδ

Περὶ τῶν διαγνώσεων τῶν δημοσίων
δικαστηρίων ἀπὸ τοῦ βασιλέως αἰτουμ(ένων):
ρεσεν ἵνα ὅστις δή ποτε ἀπὸ τοῦ βα-
σιλέως διαγνώσεις δημοσίων δικα-
στηρίων αἰτήσοι· τῆς ἰδίας τιμῆς στε-
ρηθείη· ἐὰν δὲ Χριστιανὸς ἐπισκοπικὴν ἀ-
πὸ τοῦ βασιλέως αἰτήσοι· μηδὲν αὐτῷ
ἐπιδίδοσθαι:— Περὶ τῶν ἐν Ἀφρικῇ
μὴ κοινωνούντων καὶ θελόντων
πέραν τῆς θαλάσσης ὑποσυρῆναι·
ὥστε τούτους ζημίαν τῆς κληρώσε-
ως ἀναδέξασθαι:— ρε

Ὅστις δή ποτε μὴ κοινωνῶν τῶν ἐν τῇ Ἀ-
φρικῇ εἰς τὰ περαματικὰ πρὸς τὸ
κοινωνεῖν ὑφερπύσει, τὴν ζημίαν
τῆς κληρώσεως ἀναδέξεται:—

Ἵνα οἱ ἐπὶ τὸ κομιτάτον πορευόμενοι
τὴν αἰτίαν ἑαυτῶν καὶ τῶν ἐν Καρχη-
δόνι καὶ τῶν Ῥωμαίων καθιερέων σπουδά-
σωσιν ἐμφανίσαι:— ρϛ

Ἤρεσεν ἵνα ὅστις δή ποτε πρὸς τὸ
κομιτάτον πορευθῆναι θελήσοι ἐν
τῇ ἀπολυτικῇ τῇ ἐπὶ τὴν ἐκκλησίαν
Ῥώμης πεμπομένῃ κατάδηλος γέ-

τοῖς ἐν τῇ ὁμόρῳ καὶ ἐγγιζούσῃ ἐπαρ-
χίᾳ καθεστῶσιν ἐπισκόποις· ἵνα
αὐτοὶ ἐπιμελῶς πάντα ἀναζητήσω-
σι· καὶ κατὰ τὴν πίστιν τῆς ἀληθείας
περατώσωσιν· ἐὰν δὲ καὶ ὁ παρακα-
λῶν τὴν αἰτίαν αὐτοῦ ἄνωθεν ἀκου-
σθῆναι· ἰδίᾳ ἱκεσίᾳ κινήσει τὸν ῥώ-
μαϊκὸν ἐπίσκοπον· ἵνα ἐκ τοῦ ἰδίου
αὐτοῦ πλευροῦ πρεσβυτέρους ἀπο-
στείλῃ· ἐν τῇ ἐξουσίᾳ τοῦτο εἶναι τοῦ
ἐπισκόπου τι βουληθῇ· καὶ τί κρίνῃ·
καὶ ἐὰν ψηφίσηται τοὺς ὀφείλοντας
μετὰ τῶν ἐπισκόπων παρόντας
κρίνειν ἔχοντας τὴν αὐθεντίαν αὐτ(οῦ)
ἐξ οὗ ἀπεστάλησαν· εἶναι ἐν τῇ κρίσει·
αὐτοῦ· ἐὰν δὲ καὶ πιστεύσῃ· ἀρκεῖν τοὺς
ἐπισκόποις πρὸς τὸ περατῶσαι
τὸ τοῦ πράγματος· ποιήσει ὅπερ
τῷ σοφωτάτῳ αὐτοῦ συνίδει βου-
λεύματι· ὁμοίως περὶ πρεσβυτέρ(ων)
καὶ διακόνων· ἐάν τις ἐπίσκοπος
ὀργίλος ὅπερ εἶναι οὐκ ὀφείλει ταχέ-
ως ἢ τραχέως κινηθῇ· κατὰ πρεσ-
βυτέρου ἢ διακόνου ἰδίου· καὶ θελή-
σει τοῦτον ἐκ τῆς ἰδίας ἐξορίσαι ἐκ-
κλησίας· προνοητέον ἐστίν· ἵνα μὴ
ἀναιτίως καταδικασθῇ· ἢ ἀπολέσῃ

τὴν κοινωνίαν ἐχέτω ὁ ἐκκληθεὶς ἐξου-
σίαν προσελθεῖν τοῖς ὁμοροῦσι· καὶ
ἡ αἰτία αὐτοῦ ἀκουσθῇ· καὶ ἐπιμελέ-
στερον ἐξετασθῇ. ὅπου κ' ὀφείλει παρα-
καλοῦντι αὐτῷ ἡ ἀκρόασις ἀρνηθῆναι·
κἀκεῖνος δὲ ὁ ἐπίσκοπος· ὃ ἢ δικαίως
ἢ ἀδίκως ἐκβαλών· ἂν ὀξυχόλως κατα-
δέξηται τὰ τοῦ πράγματος ἐξετα-
σθῆναι· ἵνα ἢ κυρωθῇ· ἢ διορθωθῇ ἡ
γνώμη αὐτοῦ· ταῦτα δηλονότι· ἕως
τῆς παρουσίας τῶν ἀληθεστάτων
ἐξεμπλῶν τῆς ἐμμι καὶ αὐτῶν ὁδοῦ·
τοῖς τε πραγμάτων οἷς ἐνεκλήθησαν·
ἅπερ ἐὰν ἐκεῖνοι πρότερον τῶν κοινωνη-
τωρίων περιέχονται τῶν ἡμῶν δι' αὐτ-
ἀποσταλέντων ἀδελφῶν ἐκ τῆς ἀποσ-
τολικῆς καθέδρας ἐμφανισθέντι·
καὶ παρ' ὑμῶν τῇ αὐτῇ τάξει ἐν ἰταλία
φυλάττονται· οὐδαμῶς καὶ ἡμεῖς τ-
τοιούτων μεμνῆσθαι βουλόμεθα· ἢ
οὐχ ὑποφέρειν ἐπειγόμεθα· ἀλλὰ πι-
στεύομεν ὅτι βοηθοῦντος τοῦ ἐλέους
χῦ τοῦ θῦ ἡμῶν· τῆς σῆς ἁγιωσύνης
προστασίας τῆς ῥωμαϊκῆς ἐκκλησί(ας)·
οὐκέτι λοιπὸν ὑπομένομεν τὸν τύ-
φον τοῦτον· φυλαχθέντος δὲ περὶ ἡμᾶς
ἅπαντα καὶ μὴ λαλούντων ἡμῶν, ὀφει-

-λους τὸ φυλαχθῆναι ἀδελφικῆς ἀγάπης·
αὐτὸς γὰρ κατὰ τὴν σοφίαν καὶ δικαιοσύ-
-νην ἣν σοι ὁ ὕψιστος ἐδωρήσατο· καὶ αὐ-
-τὸς ἐπιμελῶς συνορᾷς ὀφείλειν φυλα-
-χθῆναι· ἐὰν τυχὸν ἄλλως ἔχωσιν οἱ κα-
-νόνες τῆς ἐν νικαίᾳ συνόδου· ἡμᾶς
γὰρ πλείστοις ἐν τυχὸν τοῖς βιβλίοις·
ὃν τρόπον ἐν τῷ προλεχθέντι κου-
-μονητωρίῳ· αὐτόθεν ἀπεστάλησαν·
ὅμως ἐπειδὴ ἐνταῦθα εἰς οὐδὲν βι-
-βλίον γραϊκὸν ταῦτα εὑρεῖν ἠδυνή-
-θησαν· ἐκ τῶν ἀνατολικῶν ἐκκλησι-
-ῶν· ἔνθα λέγονται τὰ αὐτὰ ψηφίσ-
-ματα· δύνασθαι τὰ αὐθεντικὰ· ἢ
ἐπιμελῶς εὑρεθῆναι ἢ ἡμῖν προσενεχθῆ-
-ναι μᾶλλον ποθοῦμεν· διὸ καὶ τὴν
σὴν σεβασμιότητα δυσωποῦμεν·
ἵνα γράψαι καὶ αὐτὸς ἐπιμελῶς καταξι-
-ώσῃς πρὸς τοὺς ἐκείνων τῶν μερῶν
ἱερεῖς· τουτέστι τῆς ἐν ἀντιοχείᾳ ἐκ-
-κλησίας καὶ τῆς ἀλεξανδρέων καὶ τῆς
ἐν κωνσταντινουπόλει· καὶ ἄλλοις δὲ
ἐὰν παραστῇ τῇ σῇ ἁγιωσύνῃ· ὅπως
ἐκεῖθεν πρὸς ἡμᾶς οἱ ἐν νικαίᾳ παρὰ
τῶν ἁγίων πατέρων ὁρισθέντες ἔλθωσι
κανόνες· σοῦ κατ᾽ ἐξαίρετον τὴν εὐερ-
-γεσίαν ταύτην πάσαις ταῖς δυτικαῖς

ἐκκλησίαις τῇ τοῦ Χριστοῦ βοηθείᾳ συνεισα-
γόντος· τίς γὰρ ἀμφιβάλλει τὰ ἴσα ἀλη-
θέστατα εἶναι ἐν Γραικοῖς τῆς ἐν Νικαί-
ας συναθροισθείσης συνόδου· ἀπαν
οὕτως ἀπὸ διαφόρων τόπων καὶ ἐπι-
σήμων Γραικῶν ἐκκλησιῶν προσενε-
χθέντα καὶ συγκριθέντα ὁμονοοῦσι·
ὁπότερ ἕως οὗ γένηται ταῦτα τῶν προλε-
χθέντων τι κοινωνομὴ τωρίῳ ἡμῖν προσε-
μεχθέντα· περὶ τῶν πρὸς τὸν τῆς
Ῥώμης ἐκκλησίας ἱερέα ἐκκλήτων
τῶν ἐπισκόπων· καὶ περὶ τῶν αἰτι-
ῶν τῶν κληρικῶν τῶν ὀφειλουσῶν πε-
ρατοῦσθαι, παρὰ τοῖς τῶν ἰδίων αὐ-
τῶν ἐπαρχιῶν ἐπισκόποις· ἡμεῖς
ὁμολογοῦμεν καὶ φυλάζοντας ἕως
τῆς ἐπικυρώσεως· καὶ τὴν ὑμετέραν
μακαριότητα θέλοντος τοῦ Θεοῦ πρὸς
τοῦτο βοηθήσουσαν θαρροῦμεν·
τὰ δὲ λοιπὰ τὰ ἐν τῇ ἡμετέρᾳ συνό-
δῳ πραχθέντα καὶ βεβαιωθέντα·
ἐπειδὴ οἱ προλεχθέντες ἀδελφοὶ ἡ-
μῶν Φαυστῖνος ὁ συνεπίσκοπος· οἱ
Φίλιππος καὶ Ἄσελλος οἱ πρεσβύτεροι·
μεθ' ἑαυτῶν ἐπιφέρονται· ἐὰν καταξι-
ώσητε· γνώριμα ποιήσουσι τῇ ὑμετέ-
ρᾳ ἁγιωσύνῃ· καὶ ὑπέγραψαν·

ὁ χ(ριστὸ)ς ὁ κ(ύριος) ἡμῶν φυλάξει σε ἐν ὑγείᾳ ἐπὶ πλείστους
χρόνους. μακαριώτατε πάπα ἀδελφέ :—
αὐ(ρήλιος) ὑπεραιλαμ ὁμοίως· ἀλύπιος·
αὐγουστῖνος· ποσειδώνιος· μαρῖνος.
καὶ οἱ λοιποὶ ἐπίσκοποι :— ελε

Ἄρχεται τὰ πρὸς τὴν ἐν ἀφρικῇ σύ-
νοδον ἀντίγραφα. κυρίλλου τοῦ τῆς
ἀλεξανδρέων ἐπισκόπου· ἐν οἷς τὰ
αὐθεντικὰ τῆς ἐν νικαίᾳ συνόδου
ἀπὸ γραικοῦ μεταληφθέντα. διὰ ἰν-
νοκεντίου πρεσβυτέρου ἀπεστάλη ἐμ-
άτινα ἐπιστολαὶ μετὰ τῆς ἐν νικαί-
ᾳ συνόδου· διὰ τοῦ μνημονευθέντος
ἰννοκεντίου πρεσβυτέρου· καὶ μαρ-
κέλλου ὑποδιακόνου τῆς ἐν καρχηδό-
νι ἐκκλησίας· τῷ ἁγιωτάτῳ βονιφα-
τίῳ ἐπισκόπῳ τῆς ῥωμαϊκῆς ἐκκλη-
σίας. τῇ πρὸ ζ' καλανδῶν δεκεμβρί-
ων, ἀπεστάλησαν :—

Κυρίοις τιμιωτάτοις καὶ ἁγιωτάτοις
ἀδελφοῖς καὶ συνεπισκόποις· αὐρη-
λίῳ· βαλεντίνῳ· καὶ πάσῃ τῇ ἐν καρ-
χηδόνι συναθροισθείσῃ ἁγιωτάτῃ
συνόδῳ· κύριλλος ἀσπαζόμενος ἐν
κ(υρί)ῳ τὴν ὑμετέραν ἀγάπην :—

Τὰ γραφέντα παρὰ τῆς ὑμετέρας
τιμιότητος. πολλὴν ἔχοντα θρησκεί-αν

μετὰ πάσης χαρᾶς διὰ τοῦ τέκνου
ἡμῶν ἰννοκεντίου τοῦ πρεσβυτέρου
ἐδεξάμην· τούτων δὲ παρ' ὑμῶν ἐλπι-
σθέντων· ὥστε ἐκ τοῦ τῆς ἡμετέρας
ἐκκλησίας σκρινίου· τὰ ἀληθέστατα
ἴσα τῆς ἐν τῇ νικαέων μητροπόλει τῆς
βιθυνίας αὐθεντικῆς συνόδου· τὰ
παρὰ τῶν ἁγίων πατέρων ὁρισθέντα
καὶ βεβαιωθέντα· ὑπὸ καὶ ἀπὸ τῆς ὁ-
μολογίας τῆς ἡμετέρας πίστεως·
τῇ ὑμετέρᾳ ἀγάπῃ ἡμᾶς ἀποστεῖλαι·
ἀναγκαῖον ἡγησάμην κύριοι τιμιώ-
τατοι ἀδελφοί· ἀπασας μοῦ προηγου-
μένου διὰ τοῦ αὐτοῦ τέκνου ἡμῶν
ἰννοκεντίου τοῦ πρεσβυτέρου· τὰ
πιστότατα ἴσα τῆς ἐν τῇ νικαέων
πόλει τῆς βιθυνίας ἐχόμενα· τῇ ὑ-
μετέρᾳ ἀποστεῖλαι ἀγάπῃ· ὅπερ καὶ
ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ ἐν τοῖς
εὑρήσετε· περὶ δὲ τοῦ πάσχα ὡς ἐ-
γράψατε· ἀγγέλλομεν ὑμῖν τῇ πρὸ
δεκαεπτὰ καλανδῶν μαΐων ἡμᾶς
ἐπιτελέσοντας· τῇ ὑπεισερχομένῃ
ἰνδικτιῶνι· ἡ ὑπογραφή· ὁ θεὸς καὶ
χριστὸς ἡμῶν τὴν ἁγίαν ὑμῶν σύνοδον
φυλάξαι· ὅπερ εὐχόμεθα τιμιώτατοι
ἀδελφοί:- Ἄρχεται ἡ ἐπιστολὴ ἀντ

-τικοῦ τοῦ ἐπισκόπου κωνσταντινου-
πόλεως· πρὸς τοὺς αὐτούς :~ ρλγ

Τοῖς κυρίοις τιμιωτάτοις καὶ μακαρι-
ωτάτοις ἀδελφοῖς καὶ συνεπισκό-
ποις· αὐρηλίῳ· βαλεντίνῳ· καὶ τοῖς
λοιποῖς τοῖς ἐν τῇ ἀφρικῇ συνελθοῦ-
σι συνόδῳ· ἀττικὸς ἐπίσκοπος·
διὰ τοῦ τέκνου ἡμῶν μαρκέλλου τοῦ
ὑποδιακόνου ὑμῶν, γράμματα τῆς
ὑμετέρας ἀγάπης μετὰ πάσης εὐχα-
ριστίας ἐδεξάμην τῷ κυρίῳ εὐχαριστῶν·
ὅτι ἠξιώθημεν τοσούτων ἀδελφῶν,
εὐλογίας ἀπολαῦσαι· κύριοι μακαρι-
ώτατοι ἀδελφοί· ἐγράψατε δηλαδή.
ἵνα τοὺς ἀληθεστάτους κανόνας τοὺς
ἐν τῇ νικαέων πόλει τῆς βιθυνί-
ας παρὰ τῶν πατέρων ὁρισθέντας.
μετὰ τὴν τῆς πίστεως ἔκθεσιν ἀπο-
στείλω· καὶ τίς ἐστιν ὁ τὴν κοινὴν πίστιν
καὶ τοὺς ὅρους τοὺς ἀπὸ τῶν πατέρων
βεβαιωθέντας τοῖς ἰδίοις ἀδελφοῖς
ἀρνούμενος· ὅθεν διὰ τοῦ αὐτοῦ τέ-
κνου ἡμῶν μαρκέλλου τοῦ ὑποδιακό-
νου ὑμῶν· πάνυ σπεύδοντος καθὼς
οἱ ἐν νικαίᾳ ἀπὸ τῶν πατέρων ὡρίσθη-
σαν κανόνες· ἐν ὁλοκλήρῳ ὡς ἐκελεύ-
σατε ἀπέστειλα· αἰτῶν τὴν ὑμετέραν

Epla Attici epi Constantinop. ad conc. Carthag.

ἁγίαν σύνοδον. ὑπὲρ ἐμοῦ πλεῖστα
εὔξασθαι καταξιώσαι: — ἡ ὑπογραφή:
ὁ θεὸς ἡμᾶς φυλάξει τὴν ὑμετέραν ἁγι-
ωσύνην ὅπερ εὐχόμεθα ἁγιώτατοι
ἀδελφοί: — Ἄρχεται τὰ ἴσα τῆς ἐν
Νικαίᾳ συνόδου. τὰ ἀποσταλέντα
τῇ πρὸ ιζ καλανδῶν δεκεμβρίων: —

ρλε Μετὰ τὴν ὑπατείαν τῶν ἐνδοξοτάτων
βασιλέων. ὁνωρίου τὸ δωδέκατον.
καὶ θεοδοσίου τὸ ἔννατον τῶν αὐ-
γούστων. βονιφατίου ἐπισκόπου ῥώμης:

Πιστεύομεν εἰς ἕνα θεὸν πατέρα παντο-
κράτορα. ὁρατῶν τε καὶ ἀοράτων
ποιητήν. καὶ εἰς ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστόν,
τὸν υἱὸν τοῦ θεοῦ. τὸν γεννηθέντα ἐκ
τοῦ πατρὸς μονογενῆ. τουτέστιν ἐκ τῆς
οὐσίας τοῦ πατρός. θεὸν ἐκ θεοῦ. φῶς ἐκ φω-
τός. θεὸν ἀληθινὸν. ἐκ θεοῦ ἀληθινοῦ. γεν-
νηθέντα οὐ ποιηθέντα. ὁμοούσιον
τῷ πατρί. δι' οὗ τὰ πάντα ἐγένετο. τά
τε ἐν οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ: τὸν δι' ἡμᾶς
τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρί-
αν. κατελθόντα καὶ σαρκωθέντα καὶ
ἐνανθρωπήσαντα. παθόντα καὶ
τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα· καὶ ἀνελ-
θόντα εἰς τοὺς οὐρανούς. καὶ πάλιν ἐρ-
χόμενον κρῖναι ζῶντας καὶ νεκρούς.

καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον· τοὺς δὲ λέ-
γοντας ἦν καιρὸς ὅτε οὐκ ἦν· καὶ ὅτι
ἐξ οὐκ ὄντων ἐγένετο· ἢ ἐξ ἑτέρας
ὑποστάσεως ἢ οὐσίας· ἢ τρεπτὸν
ἢ ἀλλοιωτὸν τὸν υἱὸν τοῦ θῦ, τοὺς
τοιούτους ἀναθεματίζει ἡ καθολι-
κὴ καὶ ἀποστολικὴ ἐκκλησία:·
Τῷ παρόντι συμβόλῳ τῆς πίστεως.
καὶ τὰ ἴσα τῶν ὅρων τῆς αὐτῆς
ἐν νικαίᾳ συνόδου. ἐκ τῶν μνημο-
νευθέντων ἱερέων προσεζεύχθησαν·
ὡς ἂν ὥσπερ ἐν πᾶσι περιέχονται·
ἀωθρηνεῖς ἐνταῦθα πάλιν ταῦ-
τα γραφῆναι, ἀναγκαῖον οὐχ ἡγη-
σάμεθα:— ἔχεται ἡ ἐπιστολὴ τῆς
ἐν ἀφρικῇ συνόδου πρὸς κελεστῖνον
τὸν πάπαν τῆς ῥωμαίων πόλεως
ἐπίσκοπον τὸν ἁγιώτατον:— ελη
εωσότη ἁγιωτάτῳ καὶ τιμιωτάτῳ,
ἀδελφῷ κελεστίνῳ· αὐρήλιος· παλα-
τῖνος· ἀντώνιος· τοῦτος· σερουσ-
δεΐ· τερέντιος· φουρτουνᾶτος·
μαρτῖνος· ἰαννουάριος· ὀπτᾶτος·
κελτίκιος· δονᾶτος· θεάσιος· βικέν-
τιος· φουρτουνατιανός· καὶ οἱ λοιποὶ
οἱ ἐν πάσῃ τῇ συνόδῳ τῆς καρχη-
δόνος εὑρεθέντες· ηὐχόμεθα ἵνα ὅν-

τρόπον ἢ σὴ ἀγάπη ὡς συνῆ περὶ τῆς πα-
ρούσης τοῦ ἀπαρτίου χαρίεν τας ἡμᾶς
ἐδήλωσας γραμμάτων πεμφθέντων
διὰ τοῦ συμπρεσβυτέρου ἡμῶν λέ-
οντος· οὕτως καὶ ἡμεῖς ὁμοίως περὶ
τοῦ καθαρισμοῦ τοῦ αὐτοῦ ταῦτα πε-
ρὸν τὰ γράμματα, μετὰ χαρᾶς ἀπε-
στείλαμεν· ἦν γὰρ δηλαδὴ καὶ ἡ ἡμετέ-
ρα καὶ ἡ ὑμετέρα προθυμία, ἀσφα-
λεστέρα· καὶ οὐδὲ ὡς ἔτυχεν ἐδόκει ἡ πε-
ρὶ τοῦ ἀχιμὴν ἀκουσθέου· ἢ περ ὧς πε-
ρὶ ἀκουσθέντος προηγησαμένη·
παραγενομένου τοίνυν πρὸς ἡμᾶς
τοῦ ἀγαπητοῦ ἀδελφοῦ καὶ συνεπι-
σκόπου ἡμῶν φαυστίνου. συνήξαμεν
σύνοδον καὶ ἐπιτρέψαμεν δι' αὐτοῦ
τὸ αὐτὸν μετ' ἐκείνου πεμφθέντα·
ἵνα ὥσπερ ὁ τούτου τῇ αὐτοῦ σπου-
δῇ τῷ πρεσβυτερίῳ ἀπεδόθη· οὕτως
καὶ μνημονευθῇ τῷ αὐτοῦ κόπῳ ἐκτ(ὸς)
ἀπὸ τῶν ἐν θαυραχηναῖς ὑποληφ-
θέντων τοσούτων ἐγκλημάτων καὶ
θαρσῆναι οὐ μόνον τὰ τοσαῦτα καὶ
οὕτως παμμεγέθη ἀποτίμαται· ἵνα
πλῆθος καταδραμούσης τῆς ἡμετέ-
ρας συνόδου· εὗρεν ὅτι καὶ τοῦ μηλ-
μαρευθέντος τὴν πατρῴαν ἥνπερ

κρίσιν· καὶ τὴν τοῦ ἐκδίκου σπουδὴν
μᾶλλον ἤπερ διαγνώμονος τοῦ δικαίου σὺ
ὑπερενίκησας· πρῶτον μὲν γὰρ ἀν-
τικρυς μεγάλως πάσῃ τῇ συνόδῳ δια-
φόροις ὕβρεσιν ἐπιφέρων· ὅσας εἶτα
πριβιλέγια τῆς ῥωμαϊκῆς ἐκκλησί-
ας διεκδικῶν· καὶ θέλων αὐτὸν παρ' ἡ-
μῖν εἰς κοινωνίαν δεχθῆναι· τὸν ἤδη
ἄλλως συνηπιστεύσαντα ἐκκαλεῖσθαι
ὅπερ ἀποδεῖξαι οὐκ ἠδυνήθη τῇ κοι-
νωνίᾳ ἀποδέδωκεν· ὁμοίως ἤτοι τὸν
αὐτοῦ τοῦτο ὀζευγόμενος· ὅπερ ἐπὶ μὲν
τῇ ἀναγνώσει τῶν πεπραγμένων
κρειττόνως ἐνοίησε· τριημέρου μὲν
τοι δίκης ἐπιμόχθου κινηθείσης· ἢ
ὁμόσε τὰ διάφορα τῶν αὐτοῦ ὑπομνη-
θέντα συντριβόμενοι ἐξ ἣν τοῦ μὲν
θεοῦ ὁ δίκαιος κριτής· ὁ ἰσχυρὸς καὶ
μακρόθυμος· τάς τε παρολκὰς τοῦ
συνεπισκόπου ἡμῶν φαυστίνου·
καὶ τὰς τριψοργίας τοῦ αὐτοῦ ἀπι-
αρίου· αἷς τὰς ἀθεμίτους αὐτοῦ αἰσ-
χρότητας συγκαλύψαι ἐπερείδετο,
μεγάλης συντομίας ἔτεμε· τῆς σχαν-
τῆς δηλαδὴ καὶ δυσωδεστέρας ἐπι-
μονῆς καταργηθείσης· καὶ τῆς ἀναι-
σχυντίας τῆς ἀρνήσεως· διὰ τῶν

τοσούτων ἡδομένων τὸν μόρον μὲν ἐ-
βούλετο καταβυθίσαι· τοῦ γὰρ θεοῦ ἤδη
τὴν συνείδησιν αὐτοῦ γενομένου χορήσαν-
τος· καὶ τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ κρυπτά·
ὧν ἐν ἰλύϊ τῶν ἐγκλημάτων ἤδη κατα-
δεδυκασμένος πᾶσιν ἐπὶ μὴν τοῖς
ἂν οἷς δημοσιεύσαντος· αἰφνίδιος
εἰς ὁμολογίαν πάντων τῶν ὑπολη-
θέντων αὐτῷ ἐγκλημάτων· ὁ δόλιος
ἀρνητὴς ἐξέρρηξε· καὶ μόλις ποτὲ πε-
ρὶ πάντων τῶν ἀπηθάνων ὁμοειδῶν·
ἔχων τι αὐτὸς ἑαυτὸν ἤλεγξε· καὶ αὐτὴ
ὁμοίως τὴν ἡμετέραν ἐλπίδα· ἢ τὴν ἰ-
κανὴν ἐπιφανεῖσαν ἐν αὐτῷ καὶ ηὐχόμε-
θα ἐκ τῶν οὕτως ἐπαισχυντῶν παίων ἡ-
πλάδων δύνασθαι καθαρθῆναι·
μετατρέψειν εἰς φρονιμασμοῖς· εἰ μὴ ὅτι
ταύτην ἡμῶν τὴν λύπην μιᾷ καὶ μό-
νῃ παραμυθίᾳ κατεπραΰνομεν· ὅτι
καὶ ἡμᾶς ποῦ ὁ δισμοῦ τοῦ δημεκῶς
χαμάτου εὐλύτως· καὶ τοῖς ἰδίοις τραύ-
μασιν· ὅπε δή ποτε ἴασιν· εἰ καὶ ἀκουσί-
ως καὶ τῆς οἰκείας συνειδήσεως ἀντι-
μαχομένης· ὁμολογήσας προεμονήσα-
το κύριε ἀδελφέ· ἐν προσφάτῳ τοίνυν
τοῦ καθήκοντος· τῆς ὀφειλομένης
προσκυνήσεως ἐκπληρουμένης·

ἱκετεύομεν ἵνα τοῦ λοιποῦ πρὸς τὰς
ὑμετέρας ἀκοὰς τοὺς ἐντεῦθεν παρα-
γινομένους μὴ εὐχερῶς μὴ προσδέ-
χησθε· μηδὲ τοὺς παρ' ἡμῶν ἀποκοι-
νωνητέους εἰς κοινωνίαν τοῦ λοιποῦ
θελήσητε δέξασθαι· ἐπειδὴ τοῦτο καὶ
τῇ ἐν Νικαίᾳ συνόδῳ ὁρισθὲν εὐχερῶς
εὕροι ἡ σὴ σεβασμιότης· εἰ γὰρ καὶ περὶ
κατωτέρων κληρικῶν καὶ περὶ λαϊκῶν
φαίνεται ἐκεῖ παραφυλάττεσθαι, πό-
σῳ μᾶλλον τοῦτο περὶ ἐπισκόπου βού-
λεται παραφυλαχθῆναι· μὴ οἱ ἐν
τῇ ἰδίᾳ ἐπαρχίᾳ ἀπὸ τῆς κοινωνίας
ἁμαρτηθέντες παρὰ τῆς σῆς ἁγιω-
σύνης σπουδαίως καὶ καθὼς οὐκ ἐχρῆν
φανερῶς ἀποκαθιστάμενοι τῇ κοινω-
νίᾳ. καὶ τῶν πρεσβυτέρων δὲ ὁμοίως
καὶ τῶν ἑπομένων κληρικῶν τὰς ἀθλ-
ίας ἀποφυγὰς ὡς ἔπρεπε σοῦ ἄξιον ἀπο-
διώξει ἡ ἁγιωσύνη σου· ἐπειδὴ καὶ οὐ
διά τινος ὅρου τῶν πατέρων τοῦτο ἀπη-
γόρευται τῇ ἐν Ἀφρικῇ ἐκκλησίᾳ· καὶ
τὰ ψηφίσματα τῆς ἐν Νικαίᾳ εἴτε
κληρικοὺς τοῦ κατωτέρου βαθμοῦ
εἴτε αὐτοὺς τοὺς ἐπισκόπους τοῖς ἰδί-
οις μητροπολίταις φανερώτατα κατε-
πεμψαν· συνετῶς γὰρ καὶ δικαίως

συνειδότων· ἄτιμα δή ποτε πράγματα
ἂν ἀφύωσι· ταῦτα δὲ τοῖς ἰδίοις ὀφεί-
λειν περαιοῦσθαι τόποις· οὔτε γὰρ
μετὰ ἑκάστης προνοίας ἐλογίσαντο ἐλλεί-
πειν τὴν χάριν τοῦ ἁγίου πνεύματος· διὸ
ἡ δικαιοσύνη ἀπὸ τῶν τοῦ Χριστοῦ ἱερέων
καὶ ὁρᾶται φρονίμως καὶ κατέχεται
σταθερῶς· μάλιστα ὅτι καὶ ἑνὶ ἑκάστῳ
συγκεχώρηται· ἐὰν περὶ τῆς δίκης
τῶν διαγνωστῶν προΐσταται αὐτῶν,
πρὸς τὰς συνόδους τῆς ἰδίας ἐπαρ-
χίας· εἰ ἔτι μὴν εἰς οἰκουμενικὴν σύ-
νοδον ἐκκαλεῖσθαι· εἰ μὴ ἄρα τις
ἐμὸς ὅστις πιστεύει ἐν ἰσότητι μὴ δή πο-
τε δύνασθαι τὸν θεὸν ἢ μόνων τῆς κρίσε-
ως ἐμπνεῦσαι τὴν δικαιοσύνην· τοῖς
δὲ ἀναριθμήτοις εἰς σύνοδον συνη-
θροισμένοις ἱερεῦσιν ἀρνεῖσθαι·
πῶς δὲ αὕτη ἡ πρακτικὴ κρίσις βεβαι-
ωθῆναι· πρὸς ἣν τῶν μαρτύρων τὰ
ἀναγκαῖα πρόσωπα· ἢ διὰ τὴν τῆς
φύσεως· ἢ διὰ τὴν τοῦ γήρως ἀσθέ-
νειαν· ἢ πολλοῖς ἄλλοις ἐμποδισμοῖς,
ἐνεχθῆναι οὐ δύνανται· περὶ γὰρ
τοῦ τινὰς ὥσπερ εἰ ἐκ τοῦ πλευροῦ
τῆς σῆς ἁγιωσύνης πέμπεσθαι· τὸ
δὲ μετὰ τῶν πρώτων συνόδων ὁρισθὲν

εὑρίσκομεν· ἐπειδὴ ὅπερ πάλαι δι-
ὰ τοῦ αὐτοῦ συνεπισκόπου ἡμῶν
φαυστίνου· ὡσανεὶ ἐκ μέρους τῆς
ἐν νικαίᾳ συνόδου αὐτόθεν ἀπεστάλ-
τὸ ἐν ταῖς ἀληθεστέραις ἀπογραφαῖς
τῆς ἐν νικαίᾳ· ἅπερ ἐδεξάμεθα
ἀπὸ τοῦ ἁγιωτάτου κυρίλλου τοῦ
τῆς ἀλεξανδρέων ἐκκλησίας συνε-
πισκόπου ἡμῶν· καὶ παρὰ τοῦ
προσκυνητοῦ ἀττικοῦ τοῦ τῆς
κωνσταντινουπόλεως ἐπισκόπου·
πεμφθείσας ἐκ τῶν αὐθεντικῶν·
ἅπερ ἔτι μὴν πρὸ τούτου διὰ ἰν-
νοκεντίου τοῦ πρεσβυτέρου· καὶ
μαρκέλλου τοῦ ὑποδιακόνου· δι' ὧν
πρὸς ὑμᾶς παρ' ἐκείνων ἀπεστάλη-
σαν· τῷ τῆς προσκυνητῆς μνήμης
βονιφατίου τοῦ ἐπισκόπου τοῦ προ-
ηγησαμένου ὑμᾶς παρ' ἡμῶν ἐξε-
πέμφθησαν· τοιοῦτόν τι ποτὲ οὐκ
ἠδυνήθημεν εὑρεῖν· ἐκβιβαστὰς
τοίνυν κληρικοὺς ὑμῶν τισίν· μὴ
θέλετε ἀποστέλλειν· μήτε παραχω-
ρεῖν· ἵνα τὸν καπνώδη τῦφον τοῦ
κόσμου δόξωμεν εἰσάγειν τῇ τοῦ
χριστοῦ ἐκκλησίᾳ· ἥτις τὸ φῶς τῆς ἁ-
πλότητος καὶ τῆς ταπεινοφρο-

σύνης τὴν ἡμετέραν τοῖς τὸν θεὸν ἰδεῖν
ἐπιθυμοῦσι. προσφέρει· τοῦ γὰρ χλαυ-
σίμου Ἀπιαρίου ἤδη ἀπὸ τοῦ ἀδελ-
φοῦ ἡμῶν Φαυστίνου· κατὰ τὰς ἰδί-
ας ἀθεμίτους ἀχειροτονίας· ἐκ τῆς
τοῦ Χριστοῦ ἐκκλησίας ἀποκινηθέντος.
ἀμέριμνοί ἐσμεν. ὅτι τούτων τῇ δο-
κιμῇ καὶ ῥυθμίσει τῆς σῆς ἁγιωσύνης·
ἐν τῷ σώζεσθαι τὴν ἀδελφικὴν ἀγά-
πην. περαιτέρω ἡ Ἀφρικὴ οὐδαμῶς
ὑπομείνῃ· ἡ ὑπογραφή· ὁ θεὸς ἡμῶν
τὴν ἁγιωσύνην ὑμῶν. ἐπὶ μήκιστον
χρόνον φυλάξει ὑπὲρ ἡμῶν εὐχομέ-
νην. κύριε ἀδελφέ :-

[illegible] Constantinopolis [illegible] Constantinopolis [illegible] Agapio et Gabadio [illegible] Bostren[illegible] -

Ἐκ τῶν πραχθέντων ὑπομνημάτων
ἐν Κωνσταντινουπόλει· περὶ Ἀγαπί-
ου καὶ Γαβαδίου· ἑκατέρου ἀντεχομέ-
νου τῆς ἐπισκοπῆς Βόστρης·
ὑπατείας τῶν εὐσεβεστάτων καὶ θε-
οφιλεστάτων βασιλέων ἡμῶν· Φλα-
ουΐου· Ἀρκαδίου· αὐγούστου τὸ τρίτον.
καὶ Ὀνωρίου τὸ δεύτερον· τῇ πρὸ ἑπτὰ
καλανδῶν ὀκτωβρίων· ἐν τῷ
φωστηρίῳ τῆς κατὰ Κωνσταντινού-
πολιν ἁγιωτάτης καθολικῆς ἐκ-
κλησίας· καθεζομένων τῶν ἁγιω-

ἡνώθη τῇ φύσει τῇ παθητῇ· ἵνα
τοῦτο δὴ τὸ ταῖς ἡμετέραις ἰάσε-
-σιν ὑπάρχον ἁρμόδιον· ὁ εἷς καὶ αὐ-
-τὸς ὢν μεσίτης θεοῦ καὶ ἀνθρώπων· ἄνθρωπος
Χριστὸς Ἰησοῦς· καὶ ἀποθνήσκειν ἐκ τοῦ ἑνὸς
δυνηθῇ· καὶ τελευτᾶν ἐκ τοῦ ἑτέρου
μὴ δυνηθῇ· ἐν ἀκραίᾳ τοιγαροῦν
ἀληθῶς ἀνθρώπου· καὶ τελείᾳ τῇ φύσει
θεὸς ἀληθὴς ἐτέχθη· ὅλος ἐν τοῖς
ἑαυτοῦ καὶ ὅλος ἐν τοῖς ἡμῶν· ἡ-
-μέτερα δὲ λέγομεν ἅπερ ἐν ἡμῖν ἐξ ἀρ-
-χῆς ὁ δημιουργὸς ἐναπέθετο· καὶ
ἅπερ ἀνακαινίσαι πάλιν ἐδέξατο·
ἐκεῖνα γὰρ ἅπερ ὁ ἀπατεὼν ἐπει-
-σήγαγε· καὶ ὁ ἀπατηθεὶς ἄνθρωπος ἡμαρ-
-τε· τὸ τυχὸν ἐπὶ τοῦ σωτῆρος ἴχνος, οὐκ
ἔσχηκεν· οὐδ' ἐπειδὴ κοινωνίαν τῆς
ἀνθρωπείας ὑπεισελήλυθεν ἀσθε-
-νείας· διὰ τοῦτο καὶ κοινωνὸς τῶν
ἡμετέρων γέγονεν ἁμαρτημάτων·
προσέλαβε γὰρ δούλου μορφὴν δίχα
ῥύπου τινὸς ἁμαρτήματος· καὶ τὸ
ἀνθρώπινον αὔξων· καὶ τὸ θεῖον
οὐ μειῶν· ἐπειδήπερ ἡ κένωσις ἐ-
-κείνη δι' ἧς ἑαυτὸν ὁρατὸν ὁ ἀόρατος
παρεσκεύασε· καὶ ὁ ποιητὴς καὶ δε-
-σπότης τῶν ὅλων· εἷς τῶν ἀνθρώπων

ἡ βουλήθη γενέσθαι· συγκατάβασις
ἦν εὐσπλαγχνίας· οὐχ ἀσθενείας δυ-
νάμεως· τοιγαροῦν ὃς μὲν ὢν ἐν μορ-
φῇ θ(εο)ῦ πεποίηκεν ἄν(θρωπ)ον· αὐτὸς ἐν μορ-
φῇ δούλου γέγονεν ἄν(θρωπ)ος· φυλάττει
γὰρ ἑκατέρα φύσις ἀνελλιπῶς τὴν
ἑαυτῆς ἰδιότητα· καὶ ὥσπερ οὐκ
ἀναιρεῖ τὴν τοῦ δούλου μορφὴν ἡ
μορφὴ τοῦ θ(εο)ῦ, οὕτως τὴν τοῦ θ(εο)ῦ μορ-
φὴν, ἡ τοῦ δούλου μόρφωσις οὐκ ἐ-
μείωσεν· ἐπειδὴ γὰρ κατεκαυχᾶτο ὁ
διάβολος· τὸν ἄν(θρωπ)ον τὸν ἠπατημέ-
νον ἐκ τῆς πλάνης αὐτοῦ· τῶν θεί-
ων δωρεῶν ἐστερημένον· καὶ τῶν τῆς
ἀφθαρσίας ἀγαθῶν γεγυμνωμένον·
ὑπὸ τὴν τοῦ θανάτου χαλεπὴν ἀπό-
φασιν γεγενῆσθαι· καὶ ἐν τοῖς ἰδίοις
κακοῖς παραμυθίαν αὐτὸν εὑρηκέναι
τινὰ· ἐκ τῆς αὐτοῦ τοῦ γεγονότος
προδότου κοινωνίας· ὡς καὶ τὸν
θ(εὸ)ν· τοῦτο τῆς αὐτοῦ δικαιοσύνης
ἀπαιτούσης· ἀμεῖψαι περὶ τὸν ἄν-
θρωπον τὴν οἰκείαν ἀπόφασιν· ὃν
τοσαύτῃ τιμῇ κατεσκεύασε, χρεία
τῆς οἰκονομίας τοῦ ἀπορρήτου μυ-
στηρίου γεγένηται· ἵνα ὁ ἀναλλοίωτος
θ(εὸ)ς, οὗ τι μος ἡ βούλησις τῆς ἐμφύτου

χρηστότητος στερηθῆναι μὴ δύναται,
πρὸς τὴν περὶ ἡμᾶς τὴν τῆς οἰκει-
ας εὐσεβείας ἀπορρήτῳ μυστηρίῳ,
πληρώσῃ διοίκησιν· καὶ ἵνα ὁ ἄνθρωπος
ὁ τῇ κακουργίᾳ τῆς διαβολικῆς κακί-
ας πρὸς ἁμαρτίαν συνελαθεὶς. μὴ
παρὰ βούλησιν ἀπόληται τοῦ θεοῦ·
προέρχεται τοίνυν εἰς τὸν ταπεινὸν
τοῦτον τοῦ κόσμου ὁ υἱὸς τοῦ θεοῦ ἀπὸ
τοῦ οὐρανίου θρόνου καταβαίνων καὶ
ἀπὸ τῆς πατρικῆς δόξης οὐκ ἀφιστά-
μενος· καὶ μὴ τῇ μὲν τάξει καὶ καὶ μὴ τῇ,
γεννήσει γεννώμενος· καὶ μὴ μὲν
τῇ τάξει, ὅτιπερ ἀόρατος ὢν ἐν τοῖς
ἑαυτοῦ, ὁρατὸς γενόμενος ἐν τοῖς παρ'
ἡμῖν· καὶ ἀκατάληπτος ὢν· ἠβουλή-
θη καταλαμβάνεσθαι· καὶ προαιώνι-
ος μένων, εἶναι ἤρξατο ὑπὸ χρόνον·
καὶ τοῦ παντὸς ὢν δεσπότης, τὴν
δουλικὴν μορφὴν ἀνεδέξατο· τῆς οἰ-
κείας θεότητος ἐπισκιάσας τὸ με-
γεθος· καὶ ὁ ἀπαθὴς θεός, οὐκ ἀπηξί-
ωσε παθητὸς γενέσθαι ἄνθρωπος· καὶ ὁ
ἀθάνατος, νόμοις ὑποκεῖσθαι θανά-
του· καὶ μὴ δὲ τῇ γεννήσει τεχθεὶς. ἐ-
πείπερ ἡ ἄχραντος παρθενία. ἐπι-
θυμίαν μὲν ἠγνόησε· τὴν δὲ τῆς σαρκὸς

ἐχορήγησεν ὕλην· καὶ προσελήφθη
ἐκ τῆς μητρὸς τοῦ δεσπότου, φύσις οὐχ
ἁμαρτία· οὐ μὴν ἐπειδήπερ ἐν τῷ
δεσπότῃ Ἰησοῦ Χριστῷ, τῷ τεχθέντι ἐκ τῆς
γαστρὸς τῆς παρθένου θαυμαστή τις
ἐστὶν ἡ γέννησις· διὰ τοῦτο οὐχ ἡ φύσις
ἡμῖν ὁμοία· ὁ γὰρ ὢν θεὸς ἀληθής, αὐτὸς
ἐστὶ καὶ ἄνθρωπος ἀληθής· καὶ ψεῦδος οὐδὲν
ἐν ταύτῃ τῇ ἑνώσει τυγχάνει· ἐν ὅσῳ
πως ἀμφότερα μετ' ἀλλήλων ἐστί·
καὶ τοῦ ἀνθρώπου τὸ ταπεινὸν καὶ τὸ μέ-
γεθος τῆς θεότητος· ὥσπερ γὰρ τῷ
ἐλεεῖν ὁ θεὸς τροπὴν οὐχ ὑφίσταται, οὕ-
τως ὁ ἄνθρωπος τῷ μεγέθει τῆς θείας ἀξί-
ας οὐ καταναλίσκεται· ἐνεργεῖ γὰρ ἑκά-
τερα μορφὴ μετὰ τῆς θατέρου κοι-
νωνίας, ὅπερ ἴδιον ἔσχηκε· τοῦ μὲν
λόγου κατεργαζομένου τοῦθ' ὅπερ ἐ-
στὶ τοῦ λόγου· τοῦ δὲ σώματος ἐκτελοῦν-
τος ἅπερ ἐστὶ τοῦ σώματος· καὶ τὸ
μὲν, αὐτῶν διαλάμπει τοῖς θαύμα-
σι· τὸ δὲ, ταῖς ὕβρεσιν ὑποπέπτωκε·
καὶ καθάπερ ὁ λόγος ἀπὸ τῆς ἰσό-
τητος τῆς τοῦ πατρὸς δόξης ἐστὶν ἀχώ-
ριστος, οὕτως τὸ σῶμα τὴν φύσιν
τοῦ ἡμετέρου γένους οὐκ ἀπολέλοι-
πεν· εἷς γὰρ καὶ ὁ αὐτὸς ἀληθῶς υἱὸς

χωρίζεται σωμ ἀφείας· ἐπειδήπερ
ἡ καθολικὴ ἐκκλησία ἐν ταύτῃ ζῇ καὶ
προκόπτει τῇ πίστει· ἵνα μήτε δίχα
τῆς ἀληθοῦς θεότητος ἡ ἀνθρωπό-
της γνωρίζηται. μήτε δίχα τῆς ἀλη-
θοῦς ἀνθρωπότητος ἡ θεότης πι-
στεύηται· πρὸς μὲν τοίγε τὴν διαλα-
λιὰν τῆς ὑμετέρας ἀκροάσεως. ὡς ὁ
Εὐτυχὴς ἀπεκρίνατο λέγων· ὁμολογῶ
ἐκ δύο φύσεων γεγενῆσθαι τὸν χ̅ν̅ ἡ-
μῶν πρὸ τῆς ἑνώσεως· μετὰ δὲ τὴν
ἕνωσιν μίαν φύσιν ὁμολογῶ, θαυμά-
ζω τὴν οὕτως ἀλλόκοτον. καὶ οὕτως
διεστραμμένην ὁμολογίαν· μηδεμιᾷ
τῶν δικαζόντων ἐπιτιμήσει δόξα-
σαν ἐπιλήψιμον· καὶ τὸν οὕτως ἀφρο-
να λόγον ἐν παραδρομῇ γεγονότα·
ὡς τῶν ἀκουσθέντων οὐδενὶ προσ-
κρουσάντων· ὁπότε τὸν αὐτὸν τρό-
πον ἐστὶν ἀσεβὲς τὸ λέγειν· ὡς ἐκ δύο
φύσεων πρὸ τῆς ἐνανθρωπήσεως
ὁ μονογενὴς ἐστὶν υἱὸς τοῦ θ̅υ̅· ὥσπερ
ἐστὶν ἀθέμιτον τὸ διαμεμαιοῦσθαι·
ὡς μετὰ τὸ τὸν λόγον σάρκα γενέσθαι,
μία ἐν αὐτῷ φύσις ἐστίν· ὅπερ ὅπως
ἂν μὴ Εὐτυχὴς ὀρθῶς εἴτοι μὰν ἐκ τῶν
ὑπολάμη ἐρηθέν· ἐπειδήπερ ὁζου δὲ

μιᾶς ὑμῶν ἐπεστόμισται ψήφου, τὴν
τῆς σῆς ἀγάπης ὑπομιμνήσκομεν
ἀκρίβειαν ἀδελφὲ τιμιώτατε· ἵν' εἰ
διὰ τῶν τοῦ θεοῦ οἰκτιρμῶν εἰς ἀπολο-
γίαν περιΐσταται τὰ τοῦ πράγματος,
ἢ ἀγνωσία τοῦ ἀμαθοῦς ἀνθρώπου καὶ ἀ-
πὸ ταύτης τῆς φθορᾶς τῆς κατὰ τὴν
οἰκείαν διάνοιαν καθαρθῇ· ὅστις
μὲν οὖν ὡς ἡ τάξις τῶν πεπραγμέ-
νων δηλοῖ. καλῶς ἀναχωρεῖν ἤρξα-
μενος ἀπὸ τῆς ἰδίας ἐνστάσεως·
ὅτι πρὶν καὶ τῇ ὑμῶν ἀποφάσει συνε-
χόμενος· ὁμολογεῖ λέγειν ἑαυτὸν ὃ πρό-
τερον οὐκ εἰρήκει· καὶ ταύτῃ ἐφ' ἧς ἡσυχά-
ζειν τῇ πίστει ἧς ἐτύγχανε πρώην ἀλλό-
τριος· ἀλλ' ὁπότε δὴ τῷ ἀναθέματι στέ-
ρρᾶς ἀσεβεῖ δόγματι συναινεῖν οὐκ ἠβού-
λετο, ἔγνω αὐτὸν ἡ ὑμῶν ἀδελφότης
ἐν τῇ οἰκείᾳ διαμένοντα κακοδοξίᾳ·
καὶ ἄξιον εἶναι τοῦ δέχεσθαι τὴν κρίσιν
τῆς καθαιρέσεως· ἐφ' ᾧ περ εἰ πιστῶς
καὶ συμφερόντως ἀλγεῖ· καὶ εἰ βράδιον
γοῦν. ὅμως ἐπιγινώσκει· ὡς εἰς δέον
ἡ τῶν ἐπισκόπων ἐπ' αὐτῷ αὐθεντί-
α κεκίνηται· εἰ πρὸς τὸ τέλειον τῆς
ἀπολογίας ἴδοι· ὥστε πάντα τὰ παρ'
αὐτοῦ κακῶς φρονηθέντα· ἐναργεῖ

καὶ παρούσῃ τῇ φορμῇ· καὶ οἰκεία δὲ
καταδικασθῆναι ὑπογραφῇ, οὐκ ἔσται
καταγνώσεως ἄξιος· ὁ περὶ τὸν δι-
ορθωθέντα ὁ ἐπὶ τοσοῦτον ἔλεος· ἐπειδὴ
περὶ Χριστὸν ἡμῶν· ὁ ἀληθινὸς καὶ ἀγαθὸς
ποιμήν· ὁ τὴν ψυχὴν τὴν ἑαυτοῦ θεὶς
ὑπὲρ τῶν προβάτων τῶν ἑαυτοῦ·
καὶ ὃς ἦλθε τὰς ψυχὰς τῶν ἀνθρώπων σῶ-
σαι οὐκ ἀπολέσαι, μιμητὰς ἡμᾶς
τῆς οἰκείας ἀγαθότητος εἶναι κελεύ-
ληται· ἵνα τοὺς μὲν ἁμαρτάνοντας
σωφρονίσῃ τὸ δίκαιον· τοὺς ἐπιστρέ-
φοντας δὲ, ὁ τῆς συμπαθείας μη-
δαμῶς οἶκτος ἀπώσηται· τότε γὰρ
ὄντως τότε σὺν ἀγαθῷ τῷ καρπῷ,
τὸ τῆς πίστεως ἀληθὲς ἐκδικεῖται,
ὅτε καὶ παρὰ τῶν τῆς δυναστείας ἐ-
ξαρχόντων ἡ οἰκεία κακοδοξία καταδικά-
ζηται:—

Ἐπιστολὴ τοῦ μακαρίου Κυρίλλου πρὸς
Μεσσόριον: · Τῷ εὐλαβεστάτῳ καὶ
θεοφιλεστάτῳ συλλειτουργῷ Μεσσορίῳ
Κύριλλος ἐν κυρίῳ χαίρειν:—

Καταφλυαροῦσι μὲν ὡς μανθάνω
τινὲς τῆς ἐμῆς ὑπολήψεως, ἐπὶ τῆς
σῆς θεοσεβείας. καὶ τοῦτο συχνῶς
τὰς τῶν ἐν τέλει συνόδοις καιροφυ-

Ep[isto]la Cyrilli ad Mesorium [illegible]

λαχοῦσιν ἐστὶ μάλιστα· καὶ τάχα που
καὶ θέρπειν ὁτιοῦν ὑμῖν τὴν σὴν ἀκοήν·
καὶ ἀβουλήτοις πέμπουσι φωνάς.
ἠδικημένοι μέν, οὐδέν· ἐλεγχθέντες
δὲ καὶ τοῦτο χρηστῶς· ἢ μὲν, ὅτι τυ-
φλοῖς ἠδίκει καὶ πένητας· ὁ δὲ, ὡς
μεῖζον ξίφος ἐπανατείνας· ὁ δὲ, θερα-
παίνης συγκεκλοφὼς χρυσίον ἀλλό-
τριον· καὶ τοιαύτην μὲν ἔσχηκας ἀεὶ τὴν
ὑπόληψιν· ἣν οὐκ ἂν εὔξαιτό τις συμ-
βῆναι τισὶ καὶ τῶν λίαν αἰσχρῶν· πλὴν
οὐ πολλῶν τῶν τοιούτων ὁ λόγος ἐμοί·
ἵνα μὴ πέσω ὑπὲρ τὸν δέοντα ὅτι μὴ καὶ δι-
δάσκαλον· μήτε μὴν ὑπὲρ τοὺς πρὸς
τὸ τῆς ἐμῆς οὔσης ἐμοὶ βραχύτητος ἐκ τῆς
μοι μέτρον· οὐ γὰρ ἐνδέχεται τὰς
τῶν φαύλων διαδρομὰς καὶ ὅτι ἥττας·
ὡς ἂν ἕλοιτό τις διαιωνίου· ἀλλ' ἔχει μοι
μὲν ἀρᾶς καὶ πικρίας μεστὸν ἔχοντος
τὸ στόμα, τῷ πάντων ἀπολογήσομαι
κριτῇ· τέτραμμαι δὲ πάλιν ἐγὼ
πρὸς τὸ ὅ τε μάλιστα πρέπον ἐμαυτῷ·
καὶ ὑπομιμνήσκω καὶ γινώσκω ὡς ἀδελφὸν
εὐχῶν τῆς διδασκαλίας τὸν λόγον·
καὶ τὸ ἐπὶ τῇ πίστει φερόμενον καὶ μετὰ
πάσης ἀσφαλείας ποιεῖσθαι πρὸς
τοὺς λαούς· ἐννοεῖν τε ὅτι τὸ σκανδα-

λίσαι καὶ μόνον ἕνα τῶν μικρῶν τῶν
πιστευόντων εἰς Χριστόν, ἀφόρητον ἔχει
τὴν ἀγανάκτησιν· εἰ δὲ πλῆθος εἴη
τοσαύτη τῶν λελυπημένων, πῶς
οὐχ ἁπάσης εὐτεχνίας ἐν χρείᾳ,
καθεστήκαμεν· πρός γε τὸ δεῖν ἐμ-
φρόνως περιελεῖν τὰ σκάνδαλα·
καὶ τὸν ὑγιᾶ τῆς πίστεως κατευρύ-
ναι λόγον τοῖς ζητοῦσι τὸ ἀληθές· ἔσται
δὲ τοῦτο καὶ μάλα ὀρθῶς, εἰ τοῖς τῶν
ἁγίων πατέρων περιτυγχάνοντες λόγοις
περὶ πολλοῦ τε αὐτοὺς ποιεῖσθαι σπου-
δάζοιμεν· καὶ δοκιμάζοντες ἑαυτοὺς
εἰ ἐσμὲν ἐν τῇ πίστει κατὰ τὸ γεγραμ-
μένον· ταῖς ἐκείνων ὀρθαῖς καὶ ἀνε-
πιλήπτοις δόξαις τὰς ἐν ἡμῖν ἐν-
νοίας εὖ μάλα συμπλάττοιμεν· ἔ-
φη τοίνυν ἡ ἁγία καὶ μεγάλη σύνοδος·
αὐτὸν τὸν ἐκ θεοῦ πατρὸς κατὰ φύσιν γεν-
νηθέντα υἱὸν μονογενῆ· τὸν ἐκ θεοῦ ἀλη-
θινοῦ θεὸν ἀληθινόν· τὸ φῶς τὸ ἐκ τοῦ
φωτός· τὸν δι' οὗ τὰ πάντα πεποί-
ηκεν ὁ πατήρ· κατελθεῖν· σαρκωθῆναι·
ἐνανθρωπῆσαι· παθεῖν· ἀναστῆναι
τῇ τρίτῃ ἡμέρᾳ· καὶ ἀνελθεῖν εἰς τοὺς
οὐρανούς· τούτοις καὶ ἡμᾶς ἕπεσθαι δεῖ
καὶ τοῖς λόγοις καὶ τοῖς δόγμασιν· ἐν

νος οὗτος τί τὸ σαρκωθῆναι καὶ ἐναν
θρωπῆσαι δηλοῖ τὸν ἐκ θεοῦ λόγον· οὐ γὰρ
φαμὲν ὅτι ἡ τοῦ λόγου φύσις μεταποι
ηθεῖσα γέγονε σάρξ· ἀλλ᾽ οὐδὲ ὅτι εἰς ὅλον
ἄνθρωπον μετεβλήθη τὸν ἐκ ψυχῆς καὶ σώ
ματος· ἐκεῖνο δὲ μᾶλλον ὅτι σάρκα ἐ
ψυχωμένην ψυχῇ λογικῇ ἑνώσας ὁ λό
γος ἑαυτῷ καθ᾽ ὑπόστασιν· ἀφράστως
τε καὶ ἀπερινοήτως γέγονεν ἄνθρωπος·
καὶ κεχρημάτικεν υἱὸς ἀνθρώπου· οὐ κατὰ θέ
λησιν μόνην ἢ εὐδοκίαν· ἀλλ᾽ οὐδὲ ὡς
ἐν προσλήψει προσώπου μόνου· καὶ
ὅτι διάφοροι μὲν αἱ πρὸς ἑνότητα
τὴν ἀληθινὴν συνενεχθεῖσαι φύσεις·
εἷς δὲ ἐξ ἀμφοῖν Χριστὸς καὶ υἱός· οὐχ ὡς
τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρη
μένης διὰ τὴν ἕνωσιν· ἀποτελεσα
σῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα κύριον καὶ υἱὸν
καὶ Χριστόν· θεότητός τε καὶ ἀνθρωπότη
τος· διὰ τῆς ἀφράστου καὶ ἀπορρήτου
πρὸς ἑνότητα συνδρομῆς· οὕτω τε
λέγεται καίτοι πρὸ αἰώνων ἔχων τὴν
ὕπαρξιν· καὶ γεννηθεὶς ἐκ πατρός, γεννη
θῆναι καὶ κατὰ σάρκα ἐκ γυναικός·
οὐχ ὡς τῆς θείας αὐτοῦ φύσεως ἀρχὴν
τοῦ εἶναι λαβούσης ἐν τῇ ἁγίᾳ παρθένῳ·
οὔτε μὴν δεηθείσης ἀναγκαίας δι᾽ ἑαυτὴν

δευτέρας γεννήσεως μετὰ τὴν ἐκ
πατρός· ἔφη γὰρ εἰκαῖον τε ὁμοῦ καὶ ἀμα-
θὲς τὸν ὑπάρχοντα πρὸ παντὸς αἰ-
ῶνος καὶ συναΐδιον τῷ πατρὶ δεῖσθαι
λέγειν ἀρχῆς τῆς εἰς τὸ εἶναι δευτέρας·
ἐπειδὴ δὲ δι᾽ ἡμᾶς καὶ διὰ τὴν ἡμετέ-
ραν σωτηρίαν ἑνώσας ἑαυτῷ ὁ λόγος καθ᾽
ὑπόστασιν τὸ ἀνθρώπινον προῆλθεν ἐκ γυ-
ναικός, ταύτῃ τοι λέγεται γεννηθῆναι
σαρκικῶς· οὐ γὰρ πρῶτον ἄνθρωπος ἐγεν-
νήθη κοινὸς ἐκ τῆς ἁγίας παρθένου·
εἶθ᾽ οὕτως καταπεφοίτηκεν ἐπ᾽ αὐτὸν
ὁ λόγος· ἀλλ᾽ ἐξ αὐτῆς μήτρας ἑνωθεὶς
ὑπομεῖναι λέγεται γέννησιν σαρκικήν·
ὡς τῆς οἰκείας σαρκὸς τὴν γέννησιν
οἰκειούμενος· οὕτως φαμὲν αὐτὸν
καὶ παθεῖν καὶ ἀναστῆναι· οὐχ ὡς τοῦ
θεοῦ λόγου παθόντος εἰς ἰδίαν φύσιν·
ἢ πληγὰς ἢ διατρήσεις ἥλων· ἤγουν
τὰ ἕτερα τῶν τραυμάτων· ἀπαθὲς
γὰρ τὸ θεῖον ὅτι καὶ ἀσώματον· ἐπει-
δὴ δὲ τὸ γεγονὸς αὐτοῦ ἴδιον σῶμα
πέπονθε ταῦτα, πάλιν αὐτὸς λέγε-
ται παθεῖν ὑπὲρ ἡμῶν· ἦν γὰρ ὁ ἀ-
παθὴς ἐν τῷ πάσχοντι σώματι·
κατὰ τὸν ἴσον δὲ τρόπον καὶ ἐπὶ τοῦ
τεθνάναι νοοῦμεν· ἀθάνατος γὰρ

κατὰ φύσιν καὶ ἄφθαρτος· καὶ ζωὴ
καὶ ζωοποιός ἐστιν ὁ τοῦ θεοῦ λόγος· ἐ-
πειδὴ δὲ πάλιν τὸ ἴδιον αὐτοῦ σῶμα
χάριτι θεοῦ καθά φησιν ὁ Παῦλος ὑπὲρ
παντὸς ἐγεύσατο θανάτου, λέγεται
παθεῖν αὐτὸς τὸν ὑπὲρ ἡμῶν θά-
νατον· οὐχ ὡς εἰς πεῖραν ἐλθὼν τοῦ
θανάτου τό γε ἧκον εἰς τὴν αὐτοῦ φύ-
σιν· ἀποπληξία γὰρ τοῦτο λέγειν ἢ φρο-
νεῖν· ἀλλ' ὅτι καθάπερ ἔφην ἀρτίως
ἡ σὰρξ αὐτοῦ ἐγεύσατο θανάτου, οὕτω
καὶ ἐγηγερμένης αὐτοῦ τῆς σαρκός,
πάλιν ἡ ἀνάστασις αὐτοῦ λέγεται· οὐχ
ὡς πεσόντος εἰς φθοράν· μὴ γένοιτο·
ἀλλ' ὅτι τὸ αὐτοῦ πάλιν ἐγήγερται σῶ-
μα· οὕτω Χριστὸν ἕνα καὶ κύριον ὁμολογήσο-
μεν· οὐχ ὡς ἄνθρωπον συμπροσκυνοῦν-
τες τῷ λόγῳ ἵνα μὴ τομῆς φαντασία
παρεισκρίνηται διὰ τοῦ λέγειν τὸ σύν·
ἀλλ' ὡς ἕνα καὶ τὸν αὐτὸν προσκυνοῦν-
τες· ὅτι μὴ ἀλλότριον τοῦ λόγου τὸ σῶ-
μα αὐτοῦ μεθ' οὗ καὶ αὐτὸς συνεδρεύει
τῷ πατρί· οὐχ ὡς δύο πάλιν συνεδρευόν-
των υἱῶν· ἀλλ' ὡς ἑνὸς καθ' ἕνωσιν με-
τὰ τῆς σαρκός· ἐὰν δὲ τὴν καθ' ὑπόστα-
σιν ἕνωσιν ἢ ὡς ἀνέφικτον ἢ ὡς ἀκαλ-
λῆ παραιτούμεθα, ἐμπίπτομεν εἰς

τὸ δύο λέγειν υἱούς· ἀνάγκη γὰρ πᾶσα
διορίσαι καὶ εἰπεῖν· τὸν μὲν ἄνθρωπον ἰ-
δικῶς τῇ τοῦ υἱοῦ κλήσει τετιμημένον·
ἰδικῶς δὲ πάλιν τὸν ἐκ θεοῦ λόγον υἱότη-
τος ὄνομά τε καὶ χρῆμα ἔχοντα φυ-
σικῶς· οὐ διαιρετέον τοιγαροῦν εἰς
δύο υἱοὺς τὸν ἕνα κύριον Ἰησοῦν Χριστόν· ὀνήσει δὲ
κατ' οὐδένα τρόπον τὸν ὀρθὸν τῆς
πίστεως λόγον εἰς τὸ οὕτως ἔχειν· κἂν
εἰς προσώπων ἕνωσιν ἐπιφημίζω-
σί τινες· οὐ γὰρ εἴρηκεν ἡ γραφὴ ὅτι ὁ λό-
γος ἀνθρώπου πρόσωπον ἥνωσεν ἑαυτῷ·
ἀλλ' ὅτι γέγονε σάρξ· τὸ δὲ σάρκα γενέσθαι
τὸν λόγον, οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ ὅτι
παραπλησίως ἡμῖν μετέσχεν αἵμα-
τος καὶ σαρκός· ἴδιόν τε σῶμα τὸ ἡμῶν
ἐποιήσατο· καὶ προῆλθεν ἄνθρωπος ἐκ γυ-
ναικός· οὐκ ἀποβεβληκὼς τὸ εἶναι θεὸς
καὶ τὸ ἐκ θεοῦ γεγεννῆσθαι πατρός· ἀλλὰ καὶ
ἐν προσλήψει σαρκὸς μεμενηκὼς ὅ-
περ ἦν· τοῦτο πρεσβεύει πανταχοῦ
τῆς ἀκριβοῦς πίστεως ὁ λόγος· οὕτως
εὑρήσομεν τοὺς ἁγίους πεφρονηκότας
πατέρας· οὕτω τεθαρρήκασι θεοτόκον εἰπεῖν
τὴν ἁγίαν παρθένον· οὐχ ὡς τῆς τοῦ
λόγου φύσεως ἤτοι τῆς θεότητος αὐτοῦ
ἀρχὴν τοῦ εἶναι λαβούσης ἐκ τῆς ἁγίας

παρθένου· ἀλλ' ὡς ἑρμηνεύονται δὲ
αὐτῆς τοῦ ἁγίου σώματος· ψυχωθέν
- τος λογικῶς· ὡς καὶ καθ' ὑπόστασιν
ἑνωθεὶς ὁ λόγος· ἑρμηνεῦσαι λέγεται
κατὰ σάρκα· ταῦτα καὶ μὴ ὡς ἐξ αὐ
- τῆς τῆς ἐν χῷ γραφῶν. παρακαλῶ
ὡς ἀδελφὸν· καὶ διαμαρτύρομαι ἐ
- νώπιον τοῦ χῦ καὶ τῶν ἐκλεκτῶν
ἀγγέλων. ταῦτα μεθ' ἡμῶν καὶ φρο
- νεῖν καὶ διδάσκειν· ἵνα σώζηται τῶν
ἐκκλησιῶν ἡ εἰρήνη· καὶ τῆς ὁμονοί
- ας καὶ ἀγάπης ὁ σύνδεσμος ἀρραγὴς
διαμένῃ τοῖς ἱερεῦσι τοῦ θῦ :-

Epistola cirilli ad Iohannem antiochenum ... constantinopolis ... completa.

Τοῦ μακαρίου κυρίλλου ἐπιστολὴ γρα
φεῖσα πρὸς ἰωάννην ἐπίσκοπον
ἀντιοχείας. περὶ τῆς εἰρήνης :- ει

Κυρίῳ μου ἀγαπητῷ ἀδελφῷ καὶ συλλ
ειτουργῷ ἰωάννῃ. κύριλλος ἐν κῷ χαίρειν
εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλι
- άσθω ἡ γῆ· λέλυται γὰρ τὸ μεσότοιχον
τοῦ φραγμοῦ· καὶ πέπαυται τὸ λυποῦν
καὶ διχονοίας ἁπάσης ἀνῄρηται τρό
- πος· τοῦ πάντων ἡμῶν σρς χῦ ταῖς
ἑαυτοῦ ἐκκλησίαις τὴν εἰρήνην βρα
- βεύοντος· κεκληκότων δὲ πρὸς τοῦτο
ἡμᾶς. καὶ τῶν εὐσεβεστάτων καὶ θεο -

φιλεστάτων βασιλέων· οἳ προγομϊ
χῆς εὐσεβείας ἄριστοι ζηλωταὶ γενό-
μενοι· ἀσφαλῆ μὲν καὶ ἀκατάσειστον
ἐν ἰδίαις ψυχαῖς τὴν αὐτῶν φυλάτ-
τουσι πίστιν· ἐξαίρετον δὲ ποιοῦνται
φροντίδα τὴν ὑπὲρ τῶν ἁγίων ἐκκλη-
σιῶν· ἵνα καὶ διαμονὴν ἔχωσιν εἰς
αἰῶνα τὴν δόξαν· καὶ εὐκλεεστάτην
ἀποφήνωσι τὴν ἑαυτῶν βασιλείαν·
οἷς καὶ αὐτὸς ὁ τῶν δυνάμεων κ(ύριο)ς πλου-
σίᾳ χειρὶ διανέμει τὰ ἀγαθά· καὶ δίδω-
σι μὲν κατακρατεῖν τῶν ἀνθεστηκότ(ων)·
χαρίζεται δὲ τὸ νικᾶν· οὐ γὰρ ἂν διεψεύ-
σατο λέγων· ζῶ ἐγὼ λέγει κ(ύριο)ς· ὅτι τοὺς
δοξάζοντάς με δοξάσω· ἀφικομένου
τοίνυν εἰς τὴν ἀλεξάνδρειαν τοῦ κυ-
ρίου μου· τοῦ θεοσεβεστάτου ἀδελφοῦ
καὶ συλλειτουργοῦ παύλου, θυμηδί-
ας ἐμπεπλήσμεθα καὶ σφόδρα εἰκό-
τως· ὡς ἀνδρὸς τοιούτου μεσιτεύον-
τος· καὶ τοῖς ὑπὲρ δύναμιν πόνοις
ἑλομένου προσομιλεῖν, ἵνα τὸν τοῦ
διαβόλου νικήσῃ φθόνον καὶ συνάψῃ
τὰ διῃρημένα· καὶ τὰ μεταξὺ διερρι-
μένα σκάνδαλα περιελὼν, ὁμονοί-
ᾳ καὶ εἰρήνῃ στεφανώσῃ τάς τε παρ' ἡμ-
ῶν καὶ τὰς παρ' ὑμῶν ἐκκλησίας· ἵνα

μὲν γὰρ δὴ ἥρρην τὸ τρόπον, περὶ τὸν
εἰπεῖν· χρῆναι δὲ μᾶλλον ὑπολαμβά-
νειν πᾶν τὸ τῆς εἰρήνης πρέπον τῷ καιρῷ
καὶ φρονεῖν καὶ λαλεῖν· ἤδη μὲν τοίνυν
ἐπὶ τῆς συντυχίας τοῦ μνημονευθέν-
τος θεοσεβεστάτου ἀνδρὸς· ὥσπερ τάχα
που καὶ ἀρώματος ὄζειν οὐ μικροῖς ὑπε-
ρόχοις ὄν· ἀναπείθομεν ἡμᾶς ὅτι χρὴ
συνάψαι πρὸς εἰρήνην τὰς ἐκκλησί-
ας· καὶ τὸν τῶν ἑτεροδόξων ἀφανισμὸν
τελῶσαι· ἀπαμβλῦναί τε πρὸς τοῦτο
τῆς τοῦ διαβόλου δυσπροπείας τὸ κέν-
τρον· ἑτοίμως δὲ οὕτως ἔχοντας εἰς
τοῦτο κατελάβομεν, ὡς μηδὲ πόνον ὑ-
ποστῆναι παντελῶς· μεμνήμεθα γὰρ
τοῦ σωτῆρος λέγοντος· εἰρήνην τὴν ἐμὴν
δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμὴν, ἀφί-
ημι ὑμῖν· δεδιδάγμεθα δὲ καὶ λέγειν
ἐν προσευχαῖς· κύριε ὁ θεὸς ἡμῶν εἰρήνην
δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν·
ὥστε εἴ τις ἐν μεθέξει γένοιτο τῆς
παρὰ Χριστοῦ χορηγουμένης εἰρήνης,
ἂν μηδενὸς ἔσται πάντως ἀγαθοῦ· ὅτι
δὲ περιττὴ παντελῶς καὶ οὐκ εὔφορ-
μος τῶν ἐκκλησιῶν ἡ διχοστασία γέγο-
νε, νῦν μάλιστα πεπληροφορήμεθα,
τοῦ κυρίου μου τοῦ θεοφιλεστάτου παυ

-λου τοῦ ἐπισκόπου χάρτην προσκο-
-μίσαντα ἀδιάβλητον ἔχοντα τῆς
πίστεως τὴν ὁμολογίαν· καὶ ταύτην
συντετάχθαι διαβεβαιουμένου
παρά τε τῆς σῆς ὁσιότητος καὶ τῶν
αὐτόθι θεοφιλεστάτων ἐπισκόπων·
ἔχει δὲ οὕτως ἡ συγγραφὴ καὶ αὐταῖς
λέξεσιν ἐντέθειται τῇδε ἡμῶν τῇ ἐπι-
στολῇ· περὶ δὲ τῆς θεοτόκου παρθένου
ὅπως καὶ φρονοῦμεν καὶ λέγομεν
τοῦ τε τρόπου τῆς ἐνανθρωπήσε-
-ως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ἀναγ-
-καίως οὐκ ἐν προσθήκης μέρει ἀλλ' ἐν
πληροφορίας εἴδει ὡς ἄνωθεν ἔκ τε
τῶν θείων γραφῶν ἔκ τε τῆς παρα-
δόσεως τῶν ἁγίων πατέρων προειληφό-
-τες ἐσχήκαμεν, διὰ βραχέων ἐροῦμεν·
οὐδὲν τὸ σύνολον προστιθέντες τῇ
τῶν ἁγίων πατέρων τῶν ἐν Νικαίᾳ ἐκτε-
-θείσῃ πίστει· ὡς γὰρ ἔφθημεν εἰρηκότες·
πρὸς πᾶσαν ἐξαρκεῖ καὶ εὐσεβείας
γνῶσιν· καὶ πάσης αἱρετικῆς κακοδο-
-ξίας ἀποκήρυξιν· ἐροῦμεν δὲ οὐ κατα-
τολμῶντες τῶν ἀνεφίκτων· ἀλλὰ τῇ
ὁμολογίᾳ τῆς οἰκείας ἀσθενείας ἀ-
-ποκλείοντες τοῖς ἐπιφύεσθαι βουλο-
-μένοις· ἐν οἷς τὰ ὑπὲρ ἄνθρωπον διασκε-

πτόμεθα· ὁμολογοῦμεν τοιγαροῦν
τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν
μονογενῆ· θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον·
ἐκ ψυχῆς λογικῆς καὶ σώματος· πρὸ
αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα
κατὰ τὴν θεότητα· ἐπ' ἐσχάτων δὲ
τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ
τὴν ἡμετέραν σωτηρίαν· ἐκ Μαρίας τῆς
παρθένου κατὰ τὴν ἀνθρωπότητα·
ὁμοούσιον τῷ πατρὶ τὸν αὐτὸν κατὰ τὴν θεότητα·
καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ
τὴν ἀνθρωπότητα· δύο γὰρ φύσε-
ων ἕνωσις γέγονε· διὸ ἕνα Χριστόν· ἕνα
υἱόν· ἕνα κύριον ὁμολογοῦμεν κατὰ ταύτην
τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοι-
αν· ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον
θεοτόκον· διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι
καὶ ἐνανθρωπῆσαι· καὶ ἐξ αὐτῆς τῆς
συλλήψεως ἑνῶσαι ἑαυτῷ τὸν ἐξ αὐτῆς
ληφθέντα ναόν· τὰς δὲ εὐαγγελικὰς
καὶ ἀποστολικὰς παρὰ τοῦ κυρίου φωνὰς
ἴσμεν τοὺς θεολόγους ἄνδρας· τὰς
μέν, κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς
προσώπου· τὰς δέ, διαιροῦντας
ὡς ἐπὶ δύο φύσεων· καὶ τὰς μέν,
θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ
Χριστοῦ· τὰς δέ, ταπεινὰς κατὰ τὴν ἀν

-θρωπότητα αὐτοῦ παραδιδόντ(ες)
ταύταις ὑμᾶς μὲν ἐντυχόντες ταῖς
ἱεραῖς φωναῖς· οὕτω τε καὶ ἑαυτοῖς
φρονοῦντας εὑρίσκοντες· εἰς γὰρ
Χριστὸν μίαν πίστιν ἐν ἅπασιν· ἐδο-
-ξάσαμεν τὸν τῶν ὅλων σωτῆρα θεόν· ἀλ-
-λήλοις συγχαίροντες· ὅτι ταῖς θεο-
πνεύστοις γραφαῖς καὶ τῇ παραδό-
-σει τῶν ἁγίων ἡμῶν πατέρων συμφω-
-νοῦσαν ἔχουσι τὴν πίστιν αἵ τε παρ' ἡμῖν
καὶ παρ' ὑμῖν ἐκκλησίαι· ἐπειδὴ δὲ
ἐπυθόμην τοὺς φιλονεικεῖν εἰωθότ(ας)
τινὰς· ἀφικομένων ἀγρίων δίχην περιβο-
-βοεῖν· καὶ μοχθηροῖς ἐρεύνεσθαι κατ'
ἐμοῦ λόγοις· ὡς ζητοῦντος καταχοι-
-σθῆν· καὶ οὐκ ἐκ τῆς ἁγίας παρθένου
λέγοντας τὸ ἅγιον σῶμα Χριστοῦ· δεῖν ᾠή-
-θην ὀλίγα πρὸς αὐτοὺς περὶ τούτου
εἰπεῖν· ὧν ἅμ' οἴοντοι καὶ μόνον εἰδότες
τὸ συκοφαντεῖν· πῶς εἰς τοῦτο πο-
-ρη μὲν ἐχθήτε γνώσεως· καὶ τοσαύτην
μεμόσηκα τε μωρίαν· ἔδει γὰρ ἔδει
σαφῶς ἐμμονεῖν ὅ σχεδὸν ἅπας ἡ-
-μῶν ὑπὲρ τῆς πίστεως ἀγώνων συγκε-
-κρότηται· διαμεμενοιομένοις ὅτι
Θεὸς ἐστὶν ἡ ἁγία παρθένος· ἀλλ' εἰ π(ερ)
(μα)ζητοῦντοι καὶ οὐκ ἐξ αὐτῆς τὸ ἅγιον σῶμα

φαμὲν γεγεννῆσθαι τοῦ πάντων ἡμῶν
σωτῆρος χριστοῦ. πῶς δ' ἂν ἔτι μόνοι τὸ θεοτόκος· τὴν
παρθένον ὅλως τέτοκεν εἰ μὴ ἐστὶν ἀληθῶς
ὅτι γεγέννηκε κατὰ σάρκα τὸν ἐμμα-
νουήλ· γελάσθωσαν τοίνυν οἱ ταῦτα
περὶ ἐμοῦ πεφλυαρηκότες· οὐ γὰρ
ψεύδεται λέγων ὁ μακάριος προφήτης
ἡσαΐας· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ
ἕξει· καὶ τέξεται υἱὸν καὶ καλέσουσι τὸ
ὄνομα αὐτοῦ ἐμμανουήλ, ὅ ἐστι μεθερ-
μηνευόμενον μεθ' ἡμῶν ὁ θεός· ἀληθεύ-
ει δὲ πάντως καὶ ὁ θεῖος γαβριὴλ πρὸς
τὴν μακαρίαν παρθένον εἰπών· μὴ
φοβοῦ μαριάμ· εὗρες γὰρ χάριν παρὰ
τῷ θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ
τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ
ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀ-
πὸ τῶν ἁμαρτιῶν αὐτῶν· ὅταν δὲ
λέγωμεν ἐξ οὐρανοῦ καὶ ἄνωθεν τὸν χριστὸν
ἡμῶν τὸν ἰησοῦν χριστόν· οὐχ ὡς ἄνωθεν καὶ ἐξ οὐ-
ρανοῦ κατενεχθείσης τῆς θείας αὐτοῦ
σαρκὸς τὰ τοιαῦτα φαμέν· ἑπόμε-
νοι δὲ μᾶλλον τῷ θεσπεσίῳ παύλῳ
διακεκραγότι σαφῶς· ὁ πρῶτος
ἄνθρωπος ἐκ γῆς χοϊκός· ὁ δεύτερος ἄνθρωπος
ὁ κύριος ἐξ οὐρανοῦ· μεμνήμεθα δὲ καὶ αὐτοῦ
τοῦ σωτῆρος λέγοντος· οὐδεὶς ἀναβέ

βηκεν εἰς τὸν οὐρανόν· εἰ μὴ ὁ ἐκ τοῦ οὐ-
ρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου· καί-
τοι γεγέννηται κατὰ σάρκα καὶ καθά-
περ ἔφην ἀρτίως ἐκ τῆς ἁγίας παρ-
θένου· ἐπειδὴ δὲ ὁ ἄνωθεν καὶ ἐξ οὐρανοῦ
καταφοιτήσας θεὸς λόγος· κεκένωκεν
ἑαυτὸν μορφὴν δούλου λαβών· καὶ κε-
χρημάτικεν υἱὸς ἀνθρώπου μετὰ τοῦ μεῖ-
ναι ὃ ἦν τουτέστι θεός· ἄτρεπτος γὰρ καὶ
ἀναλλοίωτος κατὰ φύσιν ἐστὶν εἷς
ἤδη νοούμενος μετὰ τῆς ἰδίας σαρ-
κός. ἐξ οὐρανοῦ λέγεται κατελθεῖν· ὠνό-
μασται δὲ καὶ ἄνθρωπος ἐξ οὐρανοῦ τέλειος
ὢν ἐν θεότητι· καὶ τέλειος ὁ αὐτὸς ἐν
ἀνθρωπότητι· καὶ ὡς ἐν ἑνὶ προσώ-
πῳ νοούμενος· Εἷς γὰρ κύριος Ἰησοῦς Χριστός·
κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται δια-
φορά· ἐξ ὧν τὴν ἀπόρρητον ἕνωσιν
πεπρᾶχθαι φαμέν· τοὺς δὲ λέγοντας
ὅτι κρᾶσις ἢ σύγχυσις ἢ φυρμὸς ἐγέ-
νετο τοῦ θεοῦ λόγου πρὸς τὴν σάρκα,
καταξιωσάτω ἡ σὴ ὁσιότης ἐπιστο-
μίζειν· εἰκὸς γάρ τινας καὶ ταῦτα πε-
ρὶ ἐμοῦ θρυλλεῖν· ὡς ἢ πεφρονηκότος
ἢ εἰρηκότος· ἐγὼ δὲ τοσοῦτον ἀφέστη-
κα τοῦ φρονῆσαί τι τοιοῦτον· ὥστε
καὶ μαίνεσθαι νομίζω τοὺς οἰηθέντας

ὅλως· ὅτι τροπῆς ἀποσκίασμα
περὶ τὴν θείαν τοῦ λόγου φύσιν συμ-
βῆναι οὐ δύναται· μένει γὰρ ὅ ἐστιν
ἀεὶ καὶ οὐκ ἠλλοίωται· ἀλλ' οὐδ' ἂν ἀλλοι-
ωθείη πώποτε καὶ μεταβολῆς ἐπι-
δεκτική· ἀπαθῆ δὲ πρὸς τούτῳ τὸν
τοῦ θεοῦ λόγον ὁμολογοῦμεν ὑπάρχειν
ἅπαντες· κἂν εἰ πάνσοφος αὐτὸς
οἰκονομικῶς τὸ μυστήριον ἑαυτῷ προσ-
νέμων· ὁρᾶται τῇ ἰδίᾳ σαρκὶ συμβε-
βηκόσι πάθει· ταύτῃ τοι καὶ ὁ πάν-
σοφος Πέτρος· Χριστοῦ οὖν φησι πα-
θόντος ὑπὲρ ἡμῶν σαρκί· καὶ οὐχὶ
τῇ φύσει τῆς ἀρρήτου θεότητος·
ἵνα γὰρ αὐτὸς ὁ τῶν ὅλων σωτὴρ εἶναι
πιστεύηται· κατ' οἰκείωσιν οἰκονο-
μικὴν εἰς ἑαυτὸν ὡς ἔφην τὰ τῆς
ἰδίας σαρκὸς ἀναφέρει πάθη· ὁποῖ-
ον ἔφη τὸ διὰ τῆς τοῦ προφήτου
φωνῆς προαναφωνούμενον ὡς
ἐξ αὐτοῦ· τὸν νῶτόν μου δέδωκα
εἰς μάστιγας· τὰς δὲ σιαγόνας μου εἰς
ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου
οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμ-
πτυσμάτων· ὅτι δὲ ταῖς τῶν ἁγίων
πρώην δόξαις ἑπόμεθα πανταχοῦ.
μάλιστα δὲ ταῖς τοῦ μακαρίου καὶ

πανευφήμου πρὸς ἡμῶν ἀθανα-
σίου· τὸ κατά τι γοῦν ὅλως ἔξω φέρε-
σθαι παραιτούμενοι· πεπιστώμεθα μὲν
ἡ σὴ ὁσιότης· ἐν διαξέτω δὲ τῶν
ἄλλων μηδείς· παρέθηκα δ' ἂν καὶ χ-
ρήσεις αὐτῶν πολλάς· τοὺς ἐμαυτ-
λόγους ἐξ αὐτῶν τηρούμενος· εἰ μὴ
τὸ μῆκος ἐδεδίειν τοῦ γράμματος·
μὴ ἄρα πως γένηται διὰ τοῦτο προσ-
κορές· κατ' οὐδένα δὲ τρόπον σαλέ-
υεσθαι παρά τινων ἀνεχόμεθα τὴν
ὁρισθεῖσαν πίστιν· ἤτοι τὸ τῆς πί-
στεως σύμβολον, παρὰ τῶν ἁγίων
ἡμῶν πατέρων τῶν ἐν νικαίᾳ καὶ τῶν
συνελθόντων κατὰ καιρούς· οὔτε
μὴν ἐπιτρέπομεν ἑαυτοῖς ἢ ἑτέροις·
ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκα-
μοις· ἢ μίαν γοῦν παραμῆναι συλλα-
βήν· μεμνημένοι τοῦ λέγοντος·
μὴ μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο
οἱ πατέρες σου· οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λα-
λοῦντες· ἀλλ' αὐτὸ τὸ πνεῦμα τοῦ θεοῦ καὶ πατρός·
ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ· ἔστι δὲ
οὐκ ἀλλότριον τοῦ υἱοῦ κατὰ τὸν τῆς
οὐσίας λόγον· καὶ πρός γε τούτοις ἡμῖν
οἱ τῶν ἁγίων μυσταγωγῶν πιστοῦνται
λόγοι· ἐν μὲν γὰρ ταῖς πράξεσι τῶν

ἀποστόλων γέγραπται· ἐλθόντες δὲ
κατὰ τὴν μυσίαν, ἐπείραζον εἰς τὴν
βιθυνίαν πορευθῆναι· καὶ οὐκ εἴα-
σεν αὐτοὺς τὸ πνεῦμα τοῦ θεοῦ· ἐπιτέλλει
δὲ καὶ ὁ μακάριος παῦλος· οἱ δὲ ἐν σαρ-
κὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται·
ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ᾽ ἐν πνεύματι·
εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις
πνεῦμα χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ·
ὅταν δὲ τινὲς τῶν τὰ ὀρθὰ διαστρέ-
φειν εἰωθότων· τὰς ἐμὰς παρα-
τρέπωσι φωνὰς εἰς τὸ αὐτοῖς δοκοῦν
μὴ θαυμαζέτω τοῦτο ἡ σὴ ὁσιότης·
εἰδυῖα ὅτι καὶ οἱ ἀπὸ πάσης αἱρέσε-
ως· ἐκ τῆς θεοπνεύστου γραφῆς τὰς
τῆς ἑαυτῶν πλάνης συλλέγουσιν ἀ-
φορμάς· τὰς διὰ τοῦ ἁγίου πνεύματος ὀρ-
θῶς εἰρημένας ταῖς ἑαυτῶν κακονοί-
αις παραφθείροντες· καὶ ταῖς ἰδίαις
κεφαλαῖς τὴν ἄσβεστον ἀνάπτον-
τες φλόγα· ἐπειδὴ δὲ μεμάθηκα μὲν·
ὅτι καὶ τὴν πρὸς τὸν μακάριον ἐπί-
κτητον ἐπιστολὴν τοῦ πανευφήμου
πατρὸς ἡμῶν ἀθανασίου. ὀρθοδόξως
ἔχουσαν παραφθείραντές τινες
ἐκδεδώκασιν· ὥστε ἐντεῦθεν ἀδικεῖ-
σθαι πολλούς· διὰ τοῦτο χρήσιμον



F

Grec 4

(f° 1 à 2

R. 25

(278

:-

N

15

(216v°)

.302

9v) 3.73

11